25. Stans autem Azarias precatus est sic, et aperiens os suum, confitebatur Domino simul cum sodalibus suis in medio igne fornacis succensæ a Chaldæis vehementer, et dixerunt :

25. Στὰς δὲ Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐξωμολογεῖτο τῷ Κυρίῳ ἅμα τοῖς συνεταίροις αὐτοῦ, ἐν μέσῳ τῷ πυρὶ ὑποκαιομένης τῆς καμίνου ὑπὸ τῶν Χαλδαίων σφόδρα, καὶ εἶπαν·

26. Benedictus es, Domine Deus patrum nostrorum, et laudabile et gloriosum nomen tuum in sæcula.

26. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

27. Quia justus es in omnibus, quæ fecisti nobis, et omnia opera tua vera, et viæ tuæ rectæ, et omnia judicia tua vera.

B

27. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ αἱ ὁδοί σου εὐθεῖαι, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί.

28. Et judicia veritatis fecisti secundum omnia, quæ adduxisti nobis, et super civitatem tuam sanctam patrum nostrorum Jerusalem : quoniam in veritate et judicio fecisti omnia hæc propter peccata nostra.

28. Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν σου τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ. Διότι ἐν ἀληθείᾳ καὶ κρίσει ἐποίησας πάντα ταῦτα διὰ τὰς ἁμαρτίας ἡμῶν.

29. Quoniam peccavimus in omnibus, et inique egimus discedendo a te, et peccavimus in omnibus.

29. Ὅτι ἡμάρτομεν ἐν πᾶσι, καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπό σου καὶ ἐξημάρτομεν ἐν πᾶσι.

30. Et mandatis legis tuæ non obaudivimus, neque observavimus, neque fecimus sicut præcepisti nobis, ut bene nobis esset.

30. Καὶ τῶν ἐντολῶν τοῦ νόμου σου οὐχ ὑπηκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

31. Et nunc omnia quæcumque nobis induxisti, et omnia quæcumque fecisti nobis in vero judicio fecisti.

C

31. Καὶ νῦν πάντα ὅσα ἡμῖν ἐπήγαγες, καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας.

32. Et tradidisti nos in manus inimicorum nostrorum iniquorum, et inimicissimorum apostatarum, et regi iniquo et nequissimo supra omnem terram.

32. Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἡμῶν ἀνόμων, καὶ ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν

33. Et nunc non licet nobis aperire os : confusio et exprobratio facta est servorum tuorum, et colentium te.

33. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τῶν δούλων σου καὶ τῶν σεβομένων σε.

34. Ne tradas nos in finem propter nomen tuum et ne dissipes testamentum tuum.

34. Μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς σου τὴν διαθήκην.

35. Et ne avertas misericordiam tuam a nobis propter Abraham dilectum a te, et propter Isaac servum tuum, et Israel sanctum tuum.

35. Καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπό σου, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

36. Quemadmodum loquutus es ad eos, dicens, quod multiplicaretur semen eorum quasi stellæ cœli multitudine, et quasi arena, quæ est ad oram maris.

D

36. Ὡς ἐλάλησας πρὸς αὐτοὺς λέγων, πολυπληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

37. Quia, Domine, minorati sumus præ omnibus gentibus, et sumus humiles in omni terra hodie propter peccata nostra.

37. Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

38. Et non est in tempore hoc princeps, et propheta, neque dux, neque holocaustum, neque sacrificium, neque oblatio, neque incensum, neque locus offerendi in conspectu tuo.

38. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης, οὐδὲ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου.

39. Et inveniendi misericordiam : sed in anima contribulata, et spiritu humiliato suscipiamur.

39. Καὶ εὑρεῖν ἔλεος· ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι τεταπεινωμένῳ προσδεχθείημεν.

40. Quasi in holocaustis arietum, et taurorum, et quasi in millibus agnorum pinguium : sic fiat sacrificium nostrum in conspectu tuo hodie, et propitiari

40. Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων· οὕτω γενέσθω ἡμῶν ἡ θυσία ἐνώπιόν σου σήμερον, καὶ ἐξιλάσαι ὄπισθέν

Digitized by Google

σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπί σοι A post te, quia non est confusio confidentibus in te et
τ᾽ καὶ τελειῶσαι ὄπισθέν σου /. perficere post te.

41. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ ἡμῶν, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου.

42. Μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν ἔλεος /. κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

43. Καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

44. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

45. Γνώτωσαν ὅτι σὺ εἶ μόνος Κύριος ὁ Θεὸς, καὶ ἔνδοξος ἐφ᾽ ὅλην τὴν οἰκουμένην.

46. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέ- B
τται τοῦ βασιλέως, καίοντες τὴν κάμινον· καὶ ἡνίκα ἐνεβάλοσαν τοὺς τρεῖς εἰσάπαξ εἰς τὴν κάμινον, καὶ ἡ κάμινος ἦν διάπυρος κατὰ τὴν θερμασίαν αὐτῆς ἑπταπλασίως· καὶ ὅτε αὐτοὺς ἐνεβάλοσαν, οἱ μὲν ἐμβάλλοντες αὐτοὺς ἦσαν ὑπεράνω αὐτῶν, οἱ δὲ ὑπέκαιον ὑποκάτωθεν αὐτῶν νάφθαν, καὶ στυπίον, καὶ πίσσαν, καὶ κληματίδα.

47. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα.

48. Καὶ διεξώδευσεν, καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

49. Ἄγγελος δὲ Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου. C

50. Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡσεὶ πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησε, καὶ οὐ παρηνώχλησεν αὐτούς.

51. Ἀναλαβόντες δὲ οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, καὶ ἐδόξαζον, καὶ εὐλόγουν + καὶ ἐξύψουν /. τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

52. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, καὶ ὑπεραινετὸν, καὶ ὑπερυψωμένον εἰς πάντας τοὺς αἰῶνας.

53. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερυμνητὸς, καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. D

54. Εὐλογητὸς εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ὑμνητὸς, καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας.

55. Εὐλογητὸς εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ, καὶ αἰνετὸς, καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

56. Εὐλογητὸς εἶ ἐν τῷ στερεώματι ✠ τοῦ οὐρανοῦ, καὶ ὑμνητὸς, καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

57. Εὐλογεῖτε πάντα τὰ ἔργα τοῦ Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

58. Εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

59. Εὐλογεῖτε οὐρανοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

60. Εὐλογεῖτε ὕδατα, καὶ πάντα τὰ ἐπάνω τοῦ οὐ-

41. Et nunc exsequimur in toto corde nostro, et timemus te, et quærimus faciem tuam.

42. Ne confundas nos, sed fac nobiscum misericordiam secundum mansuetudinem tuam, et secundum multitudinem miserationis tuæ.

43. Et libera nos secundum mirabilia tua, et da gloriam nomini tuo, Domine.

44. Et confundantur omnes, qui ostendunt servis tuis mala, et confundantur ab omni potentia, et fortitudo eorum conteratur.

45. Cognoscant, quoniam tu es solus Dominus Deus, et gloriosus super universum orbem terrarum.

46. Et non cessabant, qui injiciebant eos, ministri regis succendentes fornacem : et quando immiserunt tres simul in fornacem, etiam fornax erat succensa secundum inflammationem suam septuplum, et quando injecerunt eos, qui quidem injiciebant eos, erant supra eos ; alii vero succendebant subter eos naphtham, et stupam, et picem, et sarmenta.

47. Et effundebatur flamma super fornacem ad cubitos quadraginta novem.

48. Et pervagata est, et incendit quos reperit circa fornacem de Chaldæis.

49. Angelus autem Domini descendit simul cum eis, qui erant cum Azaria in fornacem, et excussit flammam ignis de fornace.

50. Et fecit medium fornacis quasi spiritum roris flantem, et non tetigit eos prorsus ignis, neque contristavit, neque molestiam intulit eis.

51. Assumentes autem tres quasi ex uno ore hymnum dicebant et glorificabant, et benedicebant, et exaltabant Deum in fornace dicentes :

52. Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis, et superexaltatus in sæcula : et benedictum nomen gloriæ tuæ sanctum, et superlaudabile, et superexaltatum in omnia sæcula

53. Benedictus es in templo sanctæ gloriæ tuæ, et superlaudabilis, et supergloriosus in sæcula.

54. Benedictus es in throno gloriæ regni tui, et laudabilis, et superexaltatus in sæcula.

55. Benedictus es qui cernis abyssos, sedens super Cherubim, et laudabilis, et gloriosus in sæcula.

56. Benedictus es in firmamento cœli, et laudabilis, et gloriosus in sæcula.

57. Benedicite, omnia opera Domini, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

58. Benedicite, angeli Domini, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

59. Benedicite, cœli, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

60. Benedicite, aquæ, et omnia, quæ super cœlum

Digitized by Google

sunt, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

61. Benedicite, omnes virtutes Domini, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

62. Benedicite, sol, et luna, Domino, laudate, et superexaltate eum in sæcula.

63. Benedicite, stellæ cœli, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

64. Benedicite, omnis imber et ros, Domino, laudate, et superexaltate eum in sæcula.

65. Benedicite, omnes spiritus, Domino, laudate, et superexaltate eum in sæcula.

66. Benedicite, ignis et æstus, Domino, laudate, et superexaltate eum in sæcula.

67. Benedicite, gelu et frigus, Domino, laudate, et superexaltate eum in sæcula.

68. Benedicite, rores et nives, Domino, laudate, et superexaltate eum in sæcula.

69. Benedicite, glacies et frigus, Domino, laudate, et superexaltate eum in sæcula.

70. Benedicite, pruinæ et nives, Domino, laudate, et superexaltate eum in sæcula.

71. Benedicite, noctes et dies, Domino, laudate, et superexaltate eum in sæcula.

72. Benedicite, lux et tenebræ, Domino, laudate, et superexaltate eum in sæcula.

73. Benedicite, fulgura et nubes, Domino, laudate, et superexaltate eum in sæcula.

74. Benedicat terra Domino, laudet, et superexaltet eum in sæcula.

75. Benedicite, montes et colles, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

76. Benedicite, omnia nascentia in terra, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

77. Benedicite, pluviæ et fontes, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

78. Benedicite, maria et flumina, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

79. Benedicite, cete et omnia, quæ moventur in aquis, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

80. Benedicite, omnes volucres cœli, Domino hymnum dicite, et superexaltate eum in sæcula.

81. Benedicite, omnes feræ et jumenta quadrupeda, et bestiæ terræ, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

82. Benedicite, filii hominum, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

83. Benedicite, Israel, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

84. Benedicite, sacerdotes servi Domini, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

85. Benedicite, servi, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

86. Benedicite, spiritus, et animæ justorum, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

ρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

61. Εὐλογεῖτε πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

62. Εὐλογεῖτε ἥλιος, καὶ σελήνη τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

63. Εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

64. Εὐλογεῖτε πᾶς ὄμβρος, καὶ δρόσος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

65. Εὐλογεῖτε πάντα τὰ πνεύματα τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

66. Εὐλογεῖτε πῦρ, καὶ καῦμα τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

67. Εὐλογεῖτε ῥῖγος, καὶ ψύχος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

68. Εὐλογεῖτε δρόσοι, καὶ νιφετοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

69. Εὐλογεῖτε πάγοι, καὶ ψύχος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

70. Εὐλογεῖτε πάχναι, καὶ χιόνες τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

71. Εὐλογεῖτε νύκτες, καὶ ἡμέραι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

72. Εὐλογεῖτε φῶς, καὶ σκότος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

73. Εὐλογεῖτε ἀστραπαὶ, καὶ νεφέλαι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

74. Εὐλογείτω ἡ γῆ τὸν Κύριον, ὑμνείτω, καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

75. Εὐλογεῖτε ὄρη, καὶ βουνοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

76. Εὐλογεῖτε πάντα τὰ φυόμενα ἐπὶ τῆς γῆς τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

77. Εὐλογεῖτε ὄμβροι, καὶ αἱ πηγαὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

78. Εὐλογεῖτε θάλασσαι, καὶ ποταμοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

79. Εὐλογεῖτε κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

80. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

81. Εὐλογεῖτε πάντα τὰ θηρία, καὶ τὰ κτήνη τετράποδα, καὶ θηρία τῆς γῆς τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

82. Εὐλογεῖτε οἱ υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

83. Εὐλογεῖτε Ἰσραὴλ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

84. Εὐλογεῖτε ἱερεῖς δοῦλοι Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

85. Εὐλογεῖτε δοῦλοι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

86. Εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Digitized by Google

87. Εὐλογεῖτε ὅσιοι, καὶ ταπεινοὶ καρδίᾳ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. A

88. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου, καὶ ἔσωσεν ἡμᾶς ἐκ χειρὸς θανάτου, καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καιομένης φλογὸς, καὶ ἐκ τοῦ πυρὸς ἐλυτρώσατο ἡμᾶς.

89. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

90. Εὐλογεῖτε πάντες οἱ σεβόμενοι τὸν Κύριον τὸν Θεὸν τῶν θεῶν, ὑμνεῖτε, καὶ ἐξομολογεῖσθε, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ + καὶ εἰς τὸν + αἰῶνα τῶν αἰώνων.

91. Καὶ ἐγέ+νετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα + ὑμνούντων αὐτῶν + καὶ ἐστὼς ἐθεώρει αὐτοὺς ζῶντας /. Τότε Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐθαύμασε, B καὶ ἀνέστη σπεύσας, καὶ εἶπεν τοῖς φίλοις αὐτοῦ+ ✻Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς μέσον τοῦ πυρὸς πεπεδημένους, Καὶ εἶπον τῷ βασιλεῖ· Ἀληθῶς, βασιλεῦ.

92. Καὶ εἶπεν ὁ βασιλεύς /. Ἰδοὺ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους περιπατοῦντας ἐν τῷ πυρὶ, καὶ φθορὰ οὐδεμία ἐγενήθη ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοίωμα ἀγγέλου Θεοῦ.

93. Καὶ προσελθὼν ὁ βασιλεὺς πρὸς τὴν θύραν τῆς καμίνου καιομένης τῷ πυρὶ, ἐκάλεσεν αὐτοὺς ἐξ ὀνόματος· Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, οἱ παῖδες τοῦ Θεοῦ τῶν θεῶν τοῦ ὑψίστου, ἐξέλθετε ἐκ τοῦ πυρός. Οὕτως οὖν ἐξῆλθον οἱ ἄνδρες ἐκ μέσου τοῦ πυρός.

94. Καὶ συνήχθησαν οἱ ὕπατοι, τοπάρχαι, καὶ ἀρχιπατριῶται, καὶ οἱ φίλοι τοῦ βασιλέως, καὶ ἐθεώρουν C τοὺς ἀνθρώπους ἐκείνους, ὅτι οὐχ ἥψατο τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ αἱ τρίχες αὐτῶν οὐ κατεκάησαν, καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθησαν, οὐδὲ ὀσμὴ τοῦ πυρὸς ἦν ἐν αὐτοῖς.

95. Ὑπολαβὼν δὲ Ναβουχοδονόσορ ὁ βασιλεὺς εἶπεν· Εὐλογητὸς Κύριος τοῦ Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἔσωσε τοὺς παῖδας αὐτοῦ, τοὺς ἐλπίσαντας ἐπ' αὐτόν. Τὴν γὰρ προσταγὴν τοῦ βασιλέως ἠθέτησαν, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν + εἰς ἐμπυ + ρισμὸν /. Ἵνα μὴ λατρεύσωσι, μηδὲ προσκυνήσωσι Θεῷ ἑτέρῳ, ἀλλ' ἢ τῷ Θεῷ αὐτῶν.

96. Καὶ νῦν ἐγὼ κρίνω, ἵνα πᾶν ἔθνος, καὶ πᾶσαι φυλαὶ, καὶ πᾶσαι γλῶσσαι, ὃς ἂν βλασφημήσῃ εἰς τὸν Κύριον τὸν Θεὸν Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, διαD μελισθήσεται, καὶ ἡ οἰκία αὐτοῦ δημευθήσεται· διότι οὐκ ἔστι Θεὸς ἕτερος, ὃς δυνήσεται ἐξελέσθαι οὕτως.

97. Οὕτως οὖν βασιλεὺς τῷ Σεδρὰχ, Μισὰχ, Ἀβδεναγὼ, ἐξουσίαν δοὺς ἐφ' ὅλης τῆς χώρας, κατέστησεν αὐτοὺς ἄρχοντας ✻.

98. Ἀρχὴ τῆς Ἐπιστολῆς ✻ NABOUΧΟΔΟΝΟΣΟΡ ✻ ὁ βασιλεὺς, πᾶσι τοῖς λαοῖς, φυλαῖς, καὶ γλώσ- ✻ σαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· εἰρήνη ὑμῖν ✻ πληθυνθείη.

99. ✻ Τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ✻ ἐμοῦ ὁ Θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον μου ἀναγ- ✻ γεῖλαι ὑμῖν, ὡς μεγάλα καὶ ἰσχυρά.

100. — Ὡς μεγάλη καὶ ἰσχυρὰ ἡ βασιλεία αὐτοῦ /.

87. Benedicite, sancti, et humiles corde, Domino, hymnum dicite, et superexaltate eum in sæcula.

88. Benedicite, Anania, Azaria, Misael, Domino, hymnum dicite, et superexaltate eum in sæcula. Quoniam eripuit nos de inferis, et salvos fecit nos de manu mortis, et liberavit nos de medio flammæ ardentis, et de igne redemit nos.

89. Confitemini Domino quoniam bonus, quoniam in sæculum misericordia ejus.

90. Benedicite, omnes colentes Dominum Deum deorum, laudate, et confitemini, quoniam in sæculum misericordia ejus et in sæculum sæculorum.

91. Et factum est, cum audiret rex laudantes illos et stans videret eos viventes. Tunc Nabuchodonosor rex obstupuit, et surrexit festinus, et dixit amicis suis : Nonne viros tres misimus in medium ignis vinctos? Et dixerunt regi : Vere, rex.

92. Et dixit rex : Ecce ego video viros quatuor solutos deambulantes in igne, et corruptio nulla facta est in eis, et aspectus quarti similitudo angeli Dei.

93. Et cum accessisset rex ad ostium fornacis ardentis igne, vocavit eos ex nomine : Sedrach, Misach, Abdenago, servi Dei deorum excelsi, egredimini de igne. Sic igitur egressi sunt viri de medio ignis.

94. Et congregati sunt consules, toparchæ, et principes familiarum, et amici regis, et contemplabantur homines illos, quoniam non tetigit ignis corpus eorum, et capilli eorum non adusti sunt, et sarabara eorum non immutata sunt, neque odor ignis erat in eis.

95. Respondens autem Nabuchodonosor rex dixit : Benedictus Dominus Sedrach, Misach, Abdenago, qui misit angelum suum, et salvavit pueros suos, qui speraverunt in eum; mandatum enim regis spreverunt, et tradiderunt corpora sua in combustionem ne colerent, neque adorarent deum alium præter Deum suum.

96. Et nunc ego decerno, ut omnis gens, et omnes tribus, et omnes linguæ, quicumque blasphemaverit in Dominum Deum Sedrach, Misach, Abdenago, membratim concidatur, et domus ejus publicetur, quia non est Deus alius, qui possit ita liberare.

97. Sic igitur rex, Sedrach, Misach, Abdenago, potestatem dans super universam regionem, constituit eos principes.

98. Initium Epistolæ. NABUCHODONOSOR rex omnibus populis, tribubus, et linguis habitantibus in universa terra; pax vobis multiplicetur.

99. Signa, et ostenta, quæ fecit mecum Deus excelsus, placuit in conspectu meo annuntiare vobis, eo quod magna, et fortia.

100. Quam magnum et potens regnum ejus, re-

Digitized by Google

gnum ejus, regnum sempiternum, potestas ejus in generationem et generationem.

CAPUT IV.

1. Anno decimo octavo regni Nabuchodonosor dixit : Pacificus eram in domo mea, et felix in throno meo.

2. Somnium vidi, et veritus sum, et timor cecidit super me.

7. In cubili meo dormiebam : et ecce arbor excelsa, quæ nascebatur super terram, et aspectus ejus magnus, et non erat alia similis ei.

9. Rami ejus longitudine quasi stadiorum triginta, et subter eam habitabant omnes bestiæ terræ, et in ea volucres cœli nidificabant; fructus ejus multus, et bonus, et subministrabat omnibus animalibus.

8. Et species ejus magna, vertex illius appropinquabat usque ad cœlum, et truncus ejus usque ad nubes, replens ea, quæ subter cœlum : sol et luna erant, in ea habitabant, et illuminabant universam terram.

10. Contemplabar in somno meo, et ecce Angelus missus est in fortitudine de cœlo.

11. Et clamavit, et dixit ei : Succidite eam, et destruite eam : mandatum enim est ab Altissimo, ut eradicetur, et inutilis fiat ipsa.

12. Et sic dixit : Radicem unam ejus relinquite in terra, ut cum bestiis terræ in montibus fœno sicut bos pascatur.

13. Et de rore cœli corpus ejus immutetur, et septem annis pascatur cum eis.

14. Donec cognoverit Dominum cœli potestatem habere omnium, quæ sunt in cœlo, et omnium, quæ super terram, et quæcumque voluerit facere, facit in eis.

15. In conspectu meo succisa est in die una, et destructio ejus in hora una diei, et rami ejus dati sunt ad omnem ventum, et extracta est, et projecta est : et fœnum terræ comedebat, et in custodiam tradita est, et in compedibus, et in manicis æreis ligata est ab eis. Vehementer admiratus sum super his, et somnus meus recessit ab oculis meis : et surgens mane de cubili meo vocavi Danielem principem sophistarum, et ducem interpretantium somnia, et enarravi ei somnium, et demonstravit mihi omnem interpretationem ejus.

16. Magnopere vero obstupuit Daniel, et conjectura conturbabat eum; et expavescens, quum tremor apprehendisset eum, et immutatus esset aspectus ejus, movens caput, hora una admiratus, respondit mihi voce leni : Rex, somnium istud his, qui te oderunt, et interpretatio ejus super hostes tuos veniat.

17. Arbor, quæ in terra nata est, cujus aspectus est magnus, tu es, rex.

18. Et omnes volucres cœli, quæ nidificabant in ea, fortitudo terræ, et gentium, et linguarum om-

A ※ ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, ἡ ἐξουσία αὐ- ※ τοῦ εἰς γενεὰν καὶ γενεάν.

ΚΕΦΑΛ. Δ'.

1. ÷ Ἔτους ὀκτωκαιδεκάτου τῆς βασιλείας /. Ναβουχοδονόσορ εἶπεν· Εἰρηνεύων ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθηνῶν ἐπὶ τοῦ θρόνου μου.

2. Ἐνύπνιον εἶδον, καὶ εὐλαβήθην, καὶ φόβος μοι ἐπέπεσεν.

7. Ἐπὶ τῆς κοίτης μου ἐκάθευδον, καὶ ἰδοὺ δένδρον ὑψηλὸν φυόμενον ἐπὶ τῆς γῆς, καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη, καὶ οὐκ ἦν ἄλλο ὅμοιον αὐτῷ.

9. Οἱ κλάδοι αὐτοῦ τῷ μήκει ὡς σταδίων τριάκοντα, καὶ ὑποκάτω αὐτοῦ ἐσκίαζον πάντα τὰ θηρία τῆς γῆς, καὶ ἐν αὐτῷ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνόσσευον· ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ ἀγαθὸς, καὶ ἐχορήγει B πᾶσι τοῖς ζώοις ÷.

8. ⁂ Καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη, ἡ κορυφὴ αὐτοῦ ⁂ ἤγγισεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ ἕως ⁂ τῶν νεφελῶν, πληροῦν τὰ ὑποκάτω τοῦ οὐρανοῦ· ⁂ ὁ ἥλιος καὶ ἡ σελήνη ἦν, ἐν αὐτῷ ᾤκουν καὶ ἐφώ- ⁂ τιζον πᾶσαν τὴν γῆν.

10. Ἐθεώρουν ἐν τῷ ὕπνῳ μου, καὶ ἰδοὺ ἄγγελος ἀπεστάλη ἐν ἰσχύϊ ἐκ τοῦ οὐρανοῦ.

11. Καὶ ἐφώνησε, καὶ εἶπεν αὐτῷ· Ἐκκόψατε αὐτὸ, καὶ καταφθείρατε αὐτό· προστέτακται γὰρ ἀπὸ τοῦ Ὑψίστου ἐκριζῶσαι καὶ ἀχρειῶσαι αὐτό.

12. Καὶ οὕτως εἶπε· Ῥίζαν μίαν ἄφετε αὐτοῦ ἐν τῇ γῇ, ὅπως μετὰ τῶν θηρίων τῆς γῆς ἐν τοῖς ὄρεσι χόρτον ὡς βοῦς νέμηται.

13. Καὶ ἀπὸ τῆς ὁρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἀλλοιωθῇ, καὶ ἑπτὰ ἔτη βοσκηθῇ σὺν αὐτοῖς. C

14. Ἕως ἂν γνῷ τὸν Κύριον τοῦ οὐρανοῦ ἐξουσίαν ἔχειν πάντων τῶν ἐν τῷ οὐρανῷ, καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅσα ἂν θέλῃ ποιεῖν, ποιεῖ ἐν αὐτοῖς.

15. Ἐνώπιόν μου ἐξεκόπη ἐν ἡμέρᾳ μιᾷ, καὶ ἡ καταφθορὰ αὐτοῦ ἐν ὥρᾳ μιᾷ τῆς ἡμέρας, καὶ οἱ κλάδοι αὐτοῦ ἐδόθησαν εἰς πάντα ἄνεμον, καὶ εἱλκύσθη, καὶ ἐρρίφη. Καὶ τὸν χόρτον τῆς γῆς ἤσθιε, καὶ εἰς φυλακὴν παρεδόθη, καὶ ἐν πέδαις, καὶ ἐν χειροπέδαις χαλκαῖς ἐδέθη ὑπ' αὐτῶν. Σφόδρα ἐθαύμασα ἐπὶ τούτοις, καὶ ὁ ὕπνος μου ἀπέστη ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ ἀναστὰς τὸ πρωῒ ἐκ τῆς κοίτης μου, ἐκάλεσα τὸν Δανιὴλ τὸν ἄρχοντα τῶν σοφιστῶν, καὶ D τὸν ἡγούμενον τῶν κρινόντων τὰ ἐνύπνια, καὶ διηγησάμην αὐτῷ τὸ ἐνύπνιον, καὶ ὑπέδειξέ μοι πᾶσαν τὴν σύγκρισιν αὐτοῦ.

16. Μεγάλως δὲ ἐθαύμασεν ὁ Δανιὴλ, καὶ ὑπόνοια κατέσπευδεν αὐτόν· καὶ φοβηθεὶς, τρόμου λαβόντος αὐτὸν, καὶ ἀλλοιωθείσης τῆς ὁράσεως αὐτοῦ, κινήσας τὴν κεφαλὴν, ὥραν μίαν ἀποθαυμάσας, ἀπεκρίθη μοι φωνῇ πραείᾳ· Βασιλεῦ, τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου ἐπέλθοι.

17. Τὸ δένδρον, τὸ ἐν τῇ γῇ πεφυτευμένον, οὗ ἡ ὅρασις μεγάλη, σὺ εἶ, βασιλεῦ.

18. Καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὰ νοσσεύοντα ἐν αὐτῷ, ἡ ἰσχὺς τῆς γῆς, καὶ τῶν ἐθνῶν, καὶ

Digitized by Google

τῶν γλωσσῶν πασῶν ἕως τῶν περάτων τῆς γῆς, καὶ πᾶσαι αἱ χῶραι σοὶ δουλεύσουσι.

19. Τὸ δὲ ἀνυψωθῆναι τὸ δένδρον ἐκεῖνο, καὶ ἐγγίσαι τῷ οὐρανῷ, καὶ τὸ κύτος αὐτοῦ ἅψασθαι τῶν νεφελῶν, σὺ, βασιλεῦ, ὑψώθης ὑπὲρ πάντας τοὺς ἀνθρώπους, τοὺς ὄντας ἐπὶ προσώπου πάσης τῆς γῆς· ὑψώθη σου ἡ καρδία ὑπερηφανίᾳ καὶ ἰσχύϊ ὑπὲρ τὰ πρὸς τὸν ἅγιον καὶ τοὺς ἀγγέλους αὐτοῦ· τὰ ἔργα σου ὤφθη, καθ' ὅτι ἐξηρήμωσας τὸν οἶκον τοῦ Θεοῦ τοῦ ζῶντος ἐπὶ ταῖς ἁμαρτίαις τοῦ λαοῦ τοῦ ἡγιασμένου.

20. Καὶ ἡ ὅρασις, ἣν εἶδες, ὅτι ἄγγελος ἐν ἰσχύϊ ἀπεστάλη παρὰ τοῦ Κυρίου, καὶ ὅτι εἶπεν· Ἔξαραι τὸ δένδρον, καὶ ἐκκόψαι, ἡ κρίσις τοῦ Θεοῦ ταῦ μεγάλου ἥξει ἐπὶ σέ.

21. Καὶ ὁ Ὕψιστος, καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπὶ σὲ B κατατρέχουσιν, εἰς φυλακὴν ἀπάξουσί σε, καὶ εἰς τόπον ἔρημον ἀποστελοῦσί σε.

23. Καὶ ἡ ῥίζα τοῦ δένδρου, ἡ ἀφεθεῖσα, ἐπεὶ οὐκ ἐξεριζώθη, ὁ τόπος τοῦ θρόνου σου σοὶ συντηρηθήσεται εἰς καιρὸν καὶ ὥραν. Ἰδοὺ ἐπὶ σὲ ἑτοιμάζονται, καὶ μαστιγώσουσί σε, καὶ ἐπάξουσι τὰ κεκριμένα ἐπὶ σε. Κύριος ζῇ ἐν οὐρανῷ, καὶ ἡ ἐξουσία αὐτοῦ ἐπὶ πάσῃ τῇ γῇ.

24. Αὐτοῦ δεήθητι περὶ τῶν ἁμαρτιῶν σου, καὶ πάσας τὰς ἀδικίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, ἵνα ἐπιείκεια δοθῇ σοι, καὶ πολυήμερος γένῃ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας σου, καὶ μὴ καταφθείρῃ σε.

25. Τούτους τοὺς λόγους ἀγάπησον· ἀκριβὴς γάρ μου ὁ λόγος, καὶ πλήρης ὁ χρόνος σου. Καὶ ἐπὶ συντελείᾳ τῶν λόγων Ναβουχοδονόσορ, ὡς ἤκουσε τὴν C κρίσιν τοῦ ὁράματος, τοὺς λόγους ἐν τῇ καρδίᾳ συνετήρησε.

26. Καὶ μετὰ μῆνας δώδεκα ὁ βασιλεὺς ἐπὶ τῶν τειχῶν τῆς πόλεως μετὰ πάσης τῆς δόξης αὐτοῦ περιεπάτει, καὶ ἐπὶ τῶν πύργων αὐτῆς διεπορεύετο, καὶ ἀποκριθεὶς εἶπεν·

27. Αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα, καὶ οἶκος βασιλείας μου ἐν ἰσχύϊ κράτους μου κληθήσεται εἰς τιμὴν τῆς δόξης μου.

28. Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, ἐπὶ συντελείας τοῦ λόγου αὐτοῦ, φωνὴν ἐκ τοῦ οὐρανοῦ ἤκουσε· Σοὶ λέγεται, Ναβουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία Βαβυλῶνος ἀφῄρηταί σου, καὶ ἑτέρῳ δίδοται ἐξουθενημένῳ ἀνθρώπῳ ἐν τῷ οἴκῳ σου. D

Ἰδοὺ ἐγὼ καθίστημι αὐτὸν ἐπὶ τῆς βασιλείας σου, καὶ τὴν ἐξουσίαν σου, καὶ τὴν δόξαν σου, καὶ τὴν τρυφήν σου παραλήψεται· ὅπως ἐπιγνῷς, ὅτι ἐξουσίαν ἔχει ὁ Θεὸς τοῦ οὐρανοῦ ἐν τῇ βασιλείᾳ τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν βούληται, δώσει αὐτήν· ἕως δὲ ἡλίου ἀνατολῆς, βασιλεὺς ἕτερος εὐφρανθήσεται ἐν τῷ οἴκῳ σου, καὶ κρατήσει τῆς δόξης σου, καὶ τῆς ἰσχύος σου, καὶ τῆς ἐξουσίας σου.

29. Καὶ οἱ ἄγγελοι διώξονταί σε ἐπὶ ἔτη ἑπτὰ, καὶ οὐ μὴ ὀφθῇς, οὐδ' οὐ μὴ λαλήσῃς μετὰ παντὸς ἀνθρώπου, χόρτον ὡς βοῦν σε ψωμίσουσι, καὶ ἀπὸ τῆς χλόης τῆς γῆς ἔσται ἡ νομή σου. Ἰδοὺ ἀντὶ τῆς δόξης σου δήσουσί σε, καὶ τὸν οἶκον τῆς τρυφῆς σου, καὶ τῆς βασιλείας σου ἕτερος ἕξει.

nium usque ad termines terræ, et omnes regiones servient tibi.

19. Quod autem exaltata fuerit arbor illa, et appropinquaverit cœlo, et truncus ejus tetigerit nubes : tu, rex, elevatus es super omnes homines, qui sunt super faciem universæ terræ : elevatum est cor tuum superbia, et fortitudine supra ea, quæ sancti sunt, et angelorum ejus. Opera tua inspecta sunt, secundum quod devastasti domum Dei viventis propter peccata populi sanctificati.

20. Et visio, quam vidisti, quia angelus in fortitudine missus est a Domino, et quia dixit : Tolle arborem, et succide : judicium Dei magni veniet super te.

21. Et Altissimus, et angeli ejus in te incurrunt, in custodiam abducent te, et in locum desertum mittent te.

23. Et radix arboris, quæ relicta est, quoniam eradicata non est, locus throni tui tibi conservabitur ad tempus, et horam. Ecce super te præparantur, et flagellabunt te, et inducent, quæ decreta sunt super te : Dominus vivit in cœlo, et potestas ejus in universa terra.

24. Ipsum deprecare pro peccatis tuis, et omnes injustitias tuas eleemosynis redime, ut mansuetudo detur tibi, et multis diebus sis super thronum regni tui, et non disperdat te.

25. Hos sermones observa : certus enim est meus sermo, et completum tempus tuum. Et in fine verborum Nabuchodonosor, postquam audivit interpretationem visionis, verba in corde conservavit.

26. Et post menses duodecim rex super muros civitatis cum omni majestate sua deambulabat, et super turres ejus pertransibat, et respondens dixit :

27. Hæc est Babylon magna, quam ego ædificavi, et domus regni mei in fortitudine potentiæ meæ vocabitur ad honorem gloriæ meæ.

28. Cum adhuc sermo in ore regis esset,' in fine sermonis sui vocem de cœlo audivit : Tibi dicitur, Nabuchodonosor rex : regnum Babylonis ablatum est a te, et alteri datur abjecto homini in domo tua.

Ecce ego constituo eum super regnum tuum, et potestatem tuam, et gloriam tuam, et delicias tuas accipiet, ut noscas, quia potestatem habet Deus cœli in regno hominum, et cui voluerit, dabit illud. Usque ad solis ortum rex alter lætabitur in domo tua, et obtinebit gloriam tuam, et fortitudinem tuam, et potestatem tuam.

29. Et angeli persequentur te ad annos septem : et non aspicieris, neque loqueris cum omni homine : fœno ut bovem pascent te, et de gramine terræ erit pabulum tuum. Ecce pro gloria tua ligabunt te, et domum deliciarum tuarum, et regni tui alter habebit.

Digitized by Google

30. Sed usque mane omnia implebuntur super te, Nabuchodonosor rex Babylonis, et non deerit de omnibus istis quidquam. Ego Nabuchodonosor rex Babylonis septem annis colligatus fui, fœno ut bovem paverunt me, et de herba terræ comedebam.

31. Et post annos septem dedi animam meam ad obsecrationem, et rogavi pro peccatis meis in facie Domini Dei cœli, et pro ignorantiis meis Deum deorum magnum deprecatus sum : et capilli mei facti sunt quasi alæ aquilæ, et ungues mei quasi leonis, immutata est caro mea et cor meum, nudus ambulabam cum bestiis terræ.

32. Somnium vidi, et suspiciones me occupaverunt, et ex tempore somnus gravis me apprehendit, et dormitatio cecidit super me. Et in fine septem annorum tempus redemptionis meæ venit, et peccata mea et ignorantiæ meæ completæ sunt in conspectu Dei cœli, et obsecravi pro ignorantiis meis Deum deorum magnum. Et ecce angelus unus vocavit me de cœlo dicens : Nabuchodonosor, servito Deo cœli sancto, et da gloriam Altissimo. Regnum gentis tuæ tibi redditur.

33. In illo tempore restitutum est regnum meum mihi, et gloria mea reddita est mihi.

34. Altissimo confiteor, et laudo : Creatori cœli, et terræ, et maris, et fluminum, et omnium, quæ in eis sunt, confiteor, et laudo, quia ipse est Deus deorum, et Dominus dominantium, et rex regum, quoniam ipse facit signa et ostenta, et mutat tempora et ætates, auferens regnum regum, et constituens alios pro eis. Ex hoc tempore ipsum colam, et a timore ejus tremor apprehendit me, et omnes sanctos ejus laudo : dii enim gentium non habent in semetipsis virtutem transferendi regnum regis in alium regem, et interficiendi, vivificandi, et operandi signa, et mirabilia magna et terribilia, et permutandi ultra modum res, sicut fecit in me Deus cœli, et permutavit in me magnas res.

Ego cunctis diebus regni mei pro anima mea sacrificia Altissimo offeram in odorem suavitatis Domino : et quod placitum est in conspectu ejus, faciam ego, et populus meus, gens mea, et regiones meæ, quæ sunt in potestate mea. Et quicumque loquuti fuerint contra Deum cœli, et quicumque deprehensi fuerint loquentes aliquid, hos morte damnabo.

Scripsit autem rex Nabuchodonosor epistolam circularem omnibus per locum gentibus, et regionibus, et linguis omnibus habitantibus in cunctis regionibus, generationibus et generationibus.

Dominum Deum cœli laudate, et sacrificium et oblationem offerte ei gloriose.

Ego rex regum confiteor ei magnifice, quia sic fecit mecum.

In ipsa die collocavit me supra thronum meum,

30. Ἕως δὲ πρωῒ πάντα τελεσθήσεται ἐπί σε, Ναβουχοδονόσορ βασιλεῦ Βαβυλῶνος, καὶ οὐχ ὑστερήσει ἀπὸ πάντων τούτων οὐθέν. Ἐγὼ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἑπτὰ ἔτη ἐπεδήθην, χόρτον ὡς βοῦν ἐψώμισάν με, καὶ ἀπὸ τῆς χλόης τῆς γῆς ἤσθιον.

31. Καὶ μετὰ ἔτη ἑπτὰ ἔδωκα τὴν ψυχήν μου εἰς δέησιν, καὶ ἠξίωσα περὶ τῶν ἁμαρτιῶν μου κατὰ πρόσωπον Κυρίου τοῦ Θεοῦ τοῦ οὐρανοῦ, καὶ περὶ τῶν ἀγνοιῶν μου τοῦ Θεοῦ τῶν θεῶν τοῦ μεγάλου ἐδεήθην· καὶ αἱ τρίχες μου ἐγένοντό ὡς πτέρυγες ἀετοῦ, οἱ ὄνυχές μου ὡσεὶ λέοντος, ἠλλοιώθη ἡ σάρξ μου καὶ ἡ καρδία μου, γυμνὸς περιεπάτουν μετὰ τῶν θηρίων τῆς γῆς.

32. Ἐνύπνιον εἶδον, καὶ ὑπόνοιαί με εἰλήφασι, καὶ διὰ χρόνου ὕπνος με ἔλαβε πολὺς, καὶ νυσταγμὸς ἐπέπεσέ μοι. Καὶ ἐπὶ συντελείᾳ τῶν ἑπτὰ ἐτῶν ὁ χρόνος μου τῆς ἀπολυτρώσεως ἦλθε, καὶ αἱ ἁμαρτίαι μου καὶ αἱ ἄγνοιαί μου ἐπληρώθησαν ἐναντίον τοῦ Θεοῦ τοῦ οὐρανοῦ· καὶ ἐδεήθην περὶ τῶν ἀγνοιῶν μου τοῦ Θεοῦ τῶν θεῶν τοῦ μεγάλου. Καὶ ἰδοὺ ἄγγελος εἷς ἐκάλεσέ με ἐκ τοῦ οὐρανοῦ, λέγων· Ναβουχοδονόσορ, δούλευσον τῷ Θεῷ τοῦ οὐρανοῦ τῷ ἁγίῳ, καὶ δὸς δόξαν τῷ Ὑψίστῳ. Τὸ βασίλειον τοῦ ἔθνους σου σοὶ ἀποδίδοται.

33. Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκατεστάθη ἡ βασιλεία + μου ἐμοὶ, καὶ ἡ δόξα μου ἀπεδόθη μοι /.

34. Τῷ Ὑψίστῳ ἀνθομολογοῦμαι, καὶ αἰνῶ· τῷ κτίσαντι τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰς θαλάσσας, καὶ τοὺς ποταμοὺς, καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐξομολογοῦμαι, καὶ αἰνῶ, ὅτι αὐτός ἐστι Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, καὶ Βασιλεὺς τῶν βασιλέων· ὅτι αὐτὸς ποιεῖ σημεῖα καὶ τέρατα, καὶ ἀλλοιοῖ καιροὺς καὶ χρόνους, ἀφαιρῶν βασιλείαν βασιλέων, καὶ καθιστῶν ἑτέρους ἀντ' αὐτῶν· ἀπὸ τοῦ νῦν αὐτῷ λατρεύσω, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ τρόμος εἵληφέ με, καὶ πάντας τοὺς ἁγίους αὐτοῦ αἰνῶ· οἱ γὰρ θεοὶ τῶν ἐθνῶν οὐκ ἔχουσιν ἐν ἑαυτοῖς ἰσχὺν ἀποστρέψαι βασιλείαν βασιλέως εἰς ἕτερον βασιλέα, καὶ ἀποκτεῖναι, καὶ ζῆν ποιῆσαι, καὶ ποιῆσαι σημεῖα, καὶ θαυμάσια μεγάλα καὶ φοβερὰ, καὶ ἀλλοιῶσαι ὑπερμεγέθη πράγματα, καθὼς ἐποίησεν ἐν ἐμοὶ ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ ἠλλοίωσεν ἐπ' ἐμοὶ μεγάλα πράγματα.

Ἐγὼ πάσας τὰς ἡμέρας τῆς βασιλείας μου περὶ τῆς ψυχῆς μου τῷ Ὑψίστῳ θυσίας προσοίσω εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, καὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσω ἐγὼ, καὶ ὁ λαός μου, τὸ ἔθνος μου, καὶ αἱ χῶραί μου, αἱ ἐν τῇ ἐξουσίᾳ μου. Καὶ ὅσοι ἐλάλησαν εἰς τὸν Θεὸν τοῦ οὐρανοῦ, καὶ ὅσοι ἂν καταληφθῶσι λαλοῦντές τι, τούτους κατακρινῶ θανάτῳ.

Ἔγραψε δὲ ὁ βασιλεὺς Ναβουχοδονόσορ ἐπιστολὴν ἐγκύκλιον πᾶσι τοῖς κατὰ τόπον ἔθνεσι, καὶ χώραις, καὶ γλώσσαις πάσαις ταῖς οἰκούσαις ἐν πάσαις ταῖς χώραις, γενεαῖς καὶ γενεαῖς.

Κυρίῳ τῷ Θεῷ τοῦ οὐρανοῦ αἰνεῖτε, καὶ θυσίαν καὶ προσφορὰν προσφέρετε αὐτῷ ἐνδόξως.

Ἐγὼ βασιλεὺς βασιλέων ἀνθομολογοῦμαι αὐτῷ ἐνδόξως, ὅτι οὕτως ἐποίησε μετ' ἐμοῦ.

Ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐκάθισέ με ἐπὶ τοῦ θρόνου

Digitized by Google

ιου, καὶ τῆς ἐξουσίας μου, καὶ τῆς βασιλείας μου· A et potestatem meam, et regnum meum; in populo
ν τῷ λαῷ μου ἐκράτησα, καὶ ἡ μεγαλωσύνη μου ἀπο- meo regnavi, et magnificentia mea restituta est
τατεστάθη μοι. mihi.

Ναβουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς ἔθνεσι, καὶ Nabuchodonosor rex omnibus gentibus, et cunctis
πάσαις ταῖς χώραις, καὶ πᾶσι τοῖς οἰκοῦσιν ἐν αὐ- regionibus, et universis habitantibus in eis. Pax
ταῖς· Εἰρήνη ὑμῖν πληθυνθείη ἐν παντὶ καιρῷ. Καὶ vobis multiplicetur in omni tempore. Et nunc ma-
νῦν ὑποδείξω ὑμῖν τὰς πράξεις, ἃς ἐποίησε μετ' ἐμοῦ nifestabo vobis opera, quæ fecit mecum Deus ma-
5 Θεὸς ὁ μέγας· ἔδοξε δέ μοι ἀποδεῖξαι ὑμῖν, καὶ τοῖς gnus : visum est autem mihi ostendere vobis, et
σοφισταῖς ὑμῶν, ὅτι ἔστι Θεὸς, καὶ τὰ θαυμάσια αὐ- sophistis vestris, quia est Deus, et mirabilia ejus
τοῦ μεγάλα· τὸ βασίλειον αὐτοῦ, βασίλειον εἰς τὸν magna : regnum ejus regnum in æternum : pote-
αἰῶνα· ἡ ἐξουσία αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς. Καὶ stas ejus a generationibus in generationes. Et misit
ἀπέστειλεν ἐπιστολὰς περὶ πάντων τῶν γενηθέντων epistolas de omnibus, quæ evenerant sibi in regno
αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ, πᾶσι τοῖς ἔθνεσι τοῖς suo omnibus gentibus, quæ erant sub regno ejus.
οὖσιν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

ΚΕΦΑΛ. Ε'

CAPUT V.

1. Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δοχὴν μεγάλην ἐν B 1. Baltasar rex fecit convivium magnum in die
ἡμέρᾳ ἐγκαινισμοῦ τῶν βασιλειῶν αὐτοῦ· ἐκάλεσεν dedicationis regnorum suorum; vocavit viros bis
ἄνδρας δισχιλίους. mille.

4. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Βαλτάσαρ ἐνυφούμενος 4. In die illa Baltasar elatus a vino, et glorians
ἀπὸ τοῦ οἴνου, καὶ καυχώμενος, ἐπῄνεσε πάντας τοὺς laudavit omnes deos gentium conflatiles, et scul-
θεοὺς τῶν ἐθνῶν, τοὺς χωνευτοὺς, καὶ γλυπτοὺς ἐν ptiles in loco suo, et Deo excelso non dedit lau-
τῷ τόπῳ αὐτοῦ, καὶ τῷ Θεῷ τῷ ὑψίστῳ οὐκ ἔδωκεν dem.
αἶνεσιν.

5. Ἐν αὐτῇ τῇ νυκτὶ ἐξῆλθον δάκτυλοι ὡσεὶ ἀν- 5. In eadem nocte exierunt digiti quasi hominis,
θρώπου, καὶ ἐπέγραψαν ἐπὶ τοῦ τοίχου οἴκου αὐτοῦ et scripserunt in muro domus ejus super albario
ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ λύχνους. *Μανῆ, Φάρες, Θεκέλ.* Ἔστι δὲ ἡ ἑρμηνεία αὐτῶν· ΜΑΝΗ parietis e regione lucernæ : *Mane, Phares, Thecel.* Est autem interpretatio eorum : MANE numeratum
ἠρίθμηται, ΦΑΡΕΣ ἐξῆρται, ΘΕΚΕΛ ἔσταται. est, PHARES ablatum est, THECEL appensum est.

1. Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησεν ἑστιατορίαν με- 1. Baltasar rex fecit convivium magnum amicis
γάλην τοῖς ἑταίροις αὐτοῦ. C suis.

2. Καὶ ἔπινεν οἶνον, καὶ ἀνυψώθη ἡ καρδία αὐτοῦ, 2. Et bibebat vinum, et elevatum est cor ejus, et
καὶ εἶπεν ἐνέγκαι τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ dixit afferri vasa aurea, et argentea domus Dei, quæ
τοῦ οἴκου τοῦ Θεοῦ, ἃ ἤνεγκε Ναβουχοδονόσορ ὁ πα- asportaverat Nabuchodonosor pater ejus de Jeru-
τὴρ αὐτοῦ ἀπὸ Ἰερουσαλὴμ, καὶ οἰνοχοῆσαι ἐν αὐτοῖς salem, et ministrari in eis vinum amicis suis.
τοῖς ἑταίροις αὐτοῦ.

3. Καὶ ἠνέχθη, καὶ ἔπινον ἐν αὐτοῖς, καὶ ηὐλόγουν 3. Et allata sunt; et bibebant in eis, et bene-
τὰ εἴδωλα τὰ χειροποίητα αὐτῶν. dicebant idolis suis manufactis.

4. Καὶ τὸν Θεὸν τοῦ αἰῶνος οὐκ εὐλόγησαν, τὸν 4. Et Deo sæculi non benedixerunt, qui habebat
ἔχοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. potestatem spiritus eorum.

5. Ἐν αὐτῇ τῇ ὥρᾳ ἐκείνῃ ἐξῆλθον δάκτυλοι, ὡσεὶ 5. In ipsa hora illa exierunt digiti quasi manus
χειρὸς ἀνθρώπου, καὶ ἔγραψαν ἐπὶ τοῦ τοίχου τοῦ hominis, et scripserunt in muro domus ejus super
οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ φωτὸς albario parietis e regione luminis in conspectu
ἐναντι τοῦ βασιλέως Βαλτάσαρ, καὶ εἶδε χεῖρα γρά- regis Baltasar; et vidit manum scribentem.
φουσαν.

6. Καὶ ἡ ὅρασις αὐτοῦ ἠλλοιώθη, καὶ φόβοι καὶ D 6. Et aspectus ejus immutatus est, et timores et
ὑπόνοιαι αὐτὸν κατέσπευδον. Ἔσπευσεν οὖν ὁ βασι- suspiciones eum incitabant. Festinavit itaque rex,
λεὺς, καὶ ἐξανέστη, καὶ ἐώρα τὴν γραφὴν ἐκείνην, et surrexit, et videbat scripturam illam; et amici
καὶ οἱ συνεταῖροι κύκλῳ αὐτοῦ ἐκαυχῶντο. in circuitu ejus gloriabantur.

7. Καὶ ὁ βασιλεὺς ἐφώνησε φωνῇ μεγάλῃ, καλέσαι 7. Et rex voce magna clamavit, ut vocarent
τοὺς ἐπαοιδοὺς, καὶ φαρμακοὺς, καὶ Χαλδαίους, καὶ incantatores, et maleficos, et Chaldæos, et gazare-
γαζαρηνοὺς, ἀπαγγεῖλαι τὸ σύγκριμα τῆς γραφῆς. nos ad annuntiandam interpretationem scripturæ.
Καὶ εἰσεπορεύοντο ἐπὶ θεωρίαν, ἰδεῖν τὴν γραφὴν, Et ingressi sunt ad spectaculum, ut viderent scrip-
καὶ τὸ σύγκριμα τῆς γραφῆς οὐκ ἐδύναντο συγκρίναι turam, et interpretationem scripturæ non potuerunt
τῷ βασιλεῖ. Τότε ὁ βασιλεὺς ἐξέθηκε πρόσταγμα. interpretari regi. Tunc rex edidit edictum dicens :
λέγων· Πᾶς ἀνὴρ ὃς ἂν ὑποδείξῃ τὸ σύγκριμα τῆς Omnis vir quicumque demonstraverit interpretatio-
γραφῆς, στολισθήσεται αὐτὸν πορφύραν, καὶ μανιάκην χρυ- nem scripturæ, vestietur ipse purpura, et torques
σοῦν περιθήσει αὐτῷ, καὶ δοθήσεται αὐτῷ ἐξουσία τοῦ aureus circumponetur ei, et dabitur ei potestas
τρίτου μέρους τῆς βασιλείας. tertiæ partis regni.

8. Καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ καὶ οἱ φαρμακοὶ, 8. Et introibant incantatores, et malefici et gaza-

Digitized by Google

reni, et nemo poterat interpretationem scripturæ annuntiare.

9. Tunc rex vocavit reginam propter hoc signum, et ostendit ei, quam magnum esset, et quod nullus homo posset annuntiare regi interpretationem scripturæ.

10. Eodem tempore regina mentionem Danielis apud eum fecit, qui erat de captivitate Judææ.

11. Et dixit regi : Homo scientia præditus erat, et sapiens, et superans omnes sapientes Babylonis, et Spiritus sanctus in eo est : et in diebus patris tui regis interpretationes sublimes demonstravit Nabuchodonosor patri tuo.

13. Tunc Daniel introductus est ad regem, et respondens rex dixit ei :

14. O Daniel, potes indicare mihi interpretationem scripturæ?

16. Et vestiam te purpura, et torque aureo circumdabo te, et habebis potestatem tertiæ partis regni mei.

17. Tunc Daniel stetit e regione scripturæ, et legit, et sic respondit regi : Hæc est scriptura : Numeratum est, computatum est, ablatum est : et stetit manus scribens, et hæc est interpretatio eorum.

23. Rex, tu fecisti convivium amicis tuis, et bibebas vinum, et vasa domus Dei viventis allata sunt tibi, et bibebatis in eis, tu et optimates tui, et laudastis omnia idola hominum manufacta, et Deo viventi non benedixistis, et spiritus tuus in manu ejus, et regnum tuum ipse dedit tibi, et non benedixisti ei, neque laudasti eum.

26. Hæc est interpretatio scripturæ : Numeratum est tempus regni tui.

27. Finit regnum tuum; præcisum est, et consummatum est.

28. Regnum tuum Medis et Persis datur.

29. Tunc Baltasar rex induit Danielem purpura, et torquem aureum circumposuit ei, et dedit potestatem ei tertiæ partis regni sui.

30. Et interpretatio venit super Baltasar regem : et regnum ablatum est a Chaldæis, et datum est Medis, et Persis.

31. Et Artaxerxes Medus accepit regnum, et Darius plenus dierum, et gloriosus in senectute.

CAPUT VI.

1. Et constituit satrapas centum viginti septem super universum regnum suum.

2. Et super eos, viros tres duces eorum : et Daniel unus erat ex tribus viris,

3. Super omnes habens potestatem in regno.

4. Daniel autem erat indutus purpura, et magnus et honoratus in conspectu Darii regis, propterea quod esset celebris, et scientia præditus, et intelli-

καὶ γαζαρηνοὶ, καὶ οὐκ ἠδύνατο οὐδεὶς τὸ σύγκριμα τῆς γραφῆς ἀπαγγεῖλαι.

9. Τότε ὁ βασιλεὺς ἐκάλεσε τὴν βασίλισσαν περὶ τούτου σημείου, καὶ ὑπέδειξεν αὐτῇ, ὡς μέγα ἐστὶ, καὶ ὅτι πᾶς ἄνθρωπος οὐ δύναται ἀπαγγεῖλαι τῷ βασιλεῖ τὸ σύγκριμα τῆς γραφῆς.

10. Τότε ἡ βασίλισσα ἐμνήσθη πρὸς αὐτὸν περὶ τοῦ Δανιὴλ, ὃς ἦν ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας.

11. Καὶ εἶπε τῷ βασιλεῖ· Ὁ ἄνθρωπος ἐπιστήμων ἦν καὶ σοφὸς, καὶ ὑπερέχων πάντας τοὺς σοφοὺς Βαβυλῶνος, καὶ Πνεῦμα ἅγιον ἐν αὐτῷ ἐστι, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου τοῦ βασιλέως συγκρίματα ὑπέρογκα ὑπέδειξε Ναβουχοδονόσορ τῷ πατρί σου.

13. Τότε Δανιὴλ εἰσήχθη πρὸς τὸν βασιλέα· καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν αὐτῷ·

14. Ὦ Δανιὴλ, δύνῃ μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς γραφῆς;

16. Καὶ στολιῶ σε πορφύραν, καὶ μανιάκην χρυσοῦν περιθήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου μέρους τῆς βασιλείας μου.

17. Τότε Δανιὴλ ἔστη κατέναντι τῆς γραφῆς, καὶ ἀνέγνω, καὶ οὕτως ἀπεκρίθη τῷ βασιλεῖ· Αὕτη ἡ γραφὴ, Ἠρίθμηται, κατελογίσθη, ἐξῆρται, καὶ ἕστη ἡ γράψασα χεὶρ, καὶ αὕτη ἡ σύγκρισις αὐτῶν.

23. Βασιλεῦ, σὺ ἐποιήσω ἑστιατορίαν τοῖς φίλοις σου, καὶ ἔπινες οἶνον, καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ Θεοῦ τοῦ ζῶντος ἠνέχθη σοι, καὶ ἐπίνετε ἐν αὐτοῖς, σὺ καὶ οἱ μεγιστᾶνές σου, καὶ ἠνέσατε πάντα τὰ εἴδωλα τὰ χειροποίητα τῶν ἀνθρώπων, καὶ τῷ Θεῷ τῷ ζῶντι οὐκ εὐλογήσατε, καὶ τὸ πνεῦμά σου ἐν τῇ χειρὶ αὐτοῦ, καὶ τὸ βασίλειόν σου αὐτὸς ἔδωκέ σοι ·· καὶ οὐκ εὐλόγησας αὐτὸν, οὐδὲ ἤνεσας αὐτῷ.

26. Τοῦτο τὸ σύγκριμα τῆς γραφῆς· Ἠρίθμηται ὁ χρόνος σου τῆς βασιλείας.

27. Ἀπολήγει ἡ βασιλεία σου· συντέτμηται, καὶ συντετέλεσται.

28. Ἡ βασιλεία σου τοῖς Μήδοις καὶ τοῖς Πέρσαις δίδοται.

29. Τότε Βαλτάσαρ ὁ βασιλεὺς ἐνέδυσε τὸν Δανιὴλ πορφύραν, καὶ μανιάκην χρυσοῦν περιέθηκεν αὐτῷ, καὶ ἔδωκεν ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους τῆς βασιλείας αὐτοῦ.

30. Καὶ τὸ σύγκριμα ἐπῆλθε Βαλτάσαρ τῷ βασιλεῖ· καὶ τὸ βασίλειον ἐξῆρται ἀπὸ τῶν Χαλδαίων, καὶ ἐδόθη τοῖς Μήδοις καὶ τοῖς Πέρσαις.

31. Καὶ Ἀρταξέρξης ὁ τῶν Μήδων παρέλαβε τὴν βασιλείαν, καὶ Δαρεῖος πλήρης τῶν ἡμερῶν, καὶ ἔνδοξος ἐν γήρει.

ΚΕΦΑΛ. Ϛ'.

1. Καὶ κατέστησε σατράπας ἑκατὸν εἴκοσι ἑπτὰ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ.

2. Καὶ ἐπ' αὐτῶν ἄνδρας τρεῖς ἡγουμένους αὐτῶν· καὶ Δανιὴλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν.

3. Ὑπὲρ πάντας ἔχων ἐξουσίαν ἐν τῇ βασιλείᾳ.

4. Καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύραν, καὶ μέγας καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, καθότι ἦν ἔνδοξος, καὶ ἐπιστήμων, καὶ συνετὸς, καὶ Πνεῦμα

Digitized by Google

ἅγιον ἐν αὐτῷ +, καὶ εὐ+ιδούμενος ἐν ταῖς πραγ- A gens, et Spiritus sanctus in eo, et prospere agens in
ματείαις + τοῦ βασιλέως, αἷς ἔπρασσε. negotiis regis quæ gerebat.

Τότε ὁ βασιλεὺς ἐβουλεύσατο καταστῆσαι τὸν Δα- Tunc rex decrevit constituere Danielem super
νιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, καὶ τοὺς δύο universum regnum suum, et duos viros, quos con-
ἄνδρας, οὓς κατέστησε μετ' αὐτοῦ, καὶ σατράπας stituit cum eo, et satrapas centum viginti septem.
ἑκατὸν εἴκοσι ἑπτά. Ὅτε δὲ ἐβουλεύσατο ὁ βασιλεὺς Quando autem deliberavit rex constituere Dani-
καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐ- elem super omne regnum suum.
τοῦ.

5. Τότε βουλὴν καὶ γνώμην ἐβουλεύσαντο ἐν ἑαυ- 5. Tunc consilium et sententiam inierunt illi
τοῖς οἱ δύο νεανίσκοι πρὸς ἀλλήλους λέγοντες (ἐπεὶ duo adolescentes inter se loquentes invicem (quo-
οὐδεμίαν ἁμαρτίαν οὐδὲ ἄγνοιαν ηὕρισκον κατὰ τοῦ niam nullam delictum, neque ignorantiam invenie-
Δανιὴλ, περὶ ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς τὸν βα- bant contra Danielem, de qua accusarent eum
σιλέα), καὶ εἶπαν· Δεῦτε, στήσωμεν ὁρισμὸν καθ' ἑαυ- apud regem) et dixerunt: Venite, statuamus de-
τῶν, ὅτι πᾶς ἄνθρωπος οὐκ ἀξιώσει ἀξίωμα, καὶ οὐ finitam legem contra nosmetipsos, quod nullus
μὴ εὔξηται εὐχὴν ἀπὸ παντὸς θεοῦ ἕως ἡμερῶν τριά- homo rogabit petitionem, neque deprecabitur qua-
κοντα, ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βασιλέως· εἰ δὲ μή, B lemcunque deum usque ad dies triginta, præter-
ἀποθανεῖται· ἵνα ἠττήσωσι τὸν Δανιὴλ ἐναντίον τοῦ quam Darium regem: quod ni faciat, morietur;
βασιλέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. ut vincerent Danielem in conspectu regis, et pro-
Ἤιδεισαν γὰρ, ὅτι Δανιὴλ προσεύχεται, καὶ δεῖται jiceretur in lacum leonum. Noverant enim, quod
Κυρίου τοῦ Θεοῦ αὐτοῦ τρὶς τῆς ἡμέρας. Daniel oraret, et deprecaretur Dominum Deum
suum ter in die.

6. Τότε προσῆλθοσαν οἱ ἄνθρωποι ἐκεῖνοι, καὶ εἶπαν 6. Tunc accesserunt homines illi, et dixerunt
ἐναντίον τοῦ βασιλέως. coram rege.

7. Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν, ὅτι πᾶς ἄνθρω- 7. Definitam legem, et constitutionem statuimus,
πος, ὃς ἂν εὔξηται εὐχὴν, ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ quod omnis homo quicumque oraverit, et roga-
παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ verit petitionem aliquam ab omni deo usque ad dies
Δαρείου τοῦ βασιλέως. triginta, nisi a Dario rege,

8. Ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων. 8. Projicietur in lacum leonum.

9. Καὶ οὕτως ὁ βασιλεὺς Δαρεῖος ἔστησε, καὶ ἐκύ- 9. Et ita rex Darius statuit, et ratum fecit.
ρωσεν. C

10. Ἐπιγνοὺς δὲ Δανιὴλ τὸν ὁρισμὸν, ὃν ἔστησε 10. Cum autem Daniel cognovisset constitutio-
κατ' αὐτοῦ, θυρίδας ἠνοιξεν ἐν τῷ ὑπερῴῳ αὐτοῦ nem, quam statuerat contra se, fenestras aperuit
κατέναντι Ἱερουσαλήμ· καὶ ἔπιπτεν ἐπὶ πρόσωπον in summa ædium suarum parte contra Jerusalem,
αὐτοῦ τρὶς τῆς ἡμέρας, καθὼς ἐποίει ἔμπροσθεν, καὶ et procidebat super faciem suam ter in die, sicut
ἐδεῖτο. faciebat antea, et deprecabatur.

11. Καὶ αὐτοὶ ἐτήρησαν τὸν Δανιὴλ, καὶ κατελά- 11. Et ipsi observarunt Danielem, et deprehen-
βοσαν αὐτὸν εὐχόμενον τρὶς τῆς ἡμέρας καθ' ἑκάστην derunt eum orantem ter in die quotidie.
ἡμέραν.

12. Τότε οὗτοι οἱ ἄνθρωποι ἐνέτυχον τῷ βασιλεῖ, 12. Tunc isti homines convenerunt regem, et
καὶ εἶπαν· Δαρεῖε βασιλεῦ, οὐχ ὁρισμὸν ὥρισω, ἵνα dixerunt: Darie rex, nonne legem statuisti, ut om-
πᾶς ἄνθρωπος μὴ εὔξηται εὐχὴν, μηδὲ ἀξιώσῃ ἀξίω- nis homo non oret, neque roget petitionem ab omni
μα παρὰ παντὸς Θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλὰ Deo usque ad dies triginta, nisi a te, rex: secus
παρὰ σοῦ, βασιλεῦ; εἰ δὲ μή, ῥιφήσεται εἰς τὸν λάκ- vero, projiciatur in lacum leonum?
κον τῶν λεόντων. D

13. Ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν αὐτοῖς, Ἀκρι- 13. Respondens autem rex dixit eis: Certus est
βὴς ὁ λόγος, καὶ μενεῖ ὁ ὁρισμός. Καὶ εἶπον αὐτῷ· sermo, et manebit lex. Et dixerunt ei: Adjuramus
Ὁρκίζομέν σε τοῖς Μήδων καὶ Περσῶν δόγμασιν, ἵνα te per Medorum et Persarum decreta, ut non per-
μὴ ἀλλοιώσῃς τὸ πρόσταγμα, μηδὲ θαυμάσῃς πρόσ- mutes præceptum, neque admireris personam: et
ωπον· καὶ ἵνα μὴ ἐλαττώσῃς τι τῶν εἰρημένων, ἀλλὰ ut non detrahas quidquam ex his, quæ decreta
καὶ κολάσῃς τὸν ἄνθρωπον, ὃς οὐκ ἐνέμεινε τῷ ὁρι- sunt; quin imo punias hominem, quicumque non
σμῷ τούτῳ. Καὶ εἶπεν· Οὕτως ποιήσω, καθὼς λέγετε, steterit constitutioni huic. Et dixit: Ita faciam,
καὶ ἔστηκέ μοι τοῦτο. quemadmodum dicitis, et ratum est mihi istud.

14. Καὶ εἶπαν· Ἰδοὺ εὕρομεν Δανιὴλ τὸν φίλον σου 14. Et dixerunt: Ecce invenimus Danielem ami-
εὐχόμενον καὶ δεόμενον τοῦ προσώπου τοῦ Θεοῦ αὐ- cum tuum orantem, et deprecantem faciem Dei sui
τοῦ τρὶς τῆς ἡμέρας. Καὶ λυπούμενος ὁ βασιλεὺς, ter in die. Et contristatus rex, dixit ut projice-
εἶπεν ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόν- retur Daniel in lacum leonum juxta constitutionem,
των, κατὰ τὸν ὁρισμὸν ὃν ἔστησε κατ' αὐτοῦ. Τότε ὁ quam statuerat adversus eum. Tunc rex vehementi
βασιλεὺς σφόδρα ἐλυπήθη ἐπὶ τὸν Δανιὴλ, καὶ ἐβοή- dolore affectus est super Danielem, et adjuvabat

Digitized by Google

usque ad occasum solis, ut eriperet eum de manibus satraparum.

15. Et non potuit liberare eum ab eis.

16. Exclamans autem Darius rex dixit Danieli : Deus tuus, quem tu colis jugiter ter in die, ipse eripiet te de manu leonum; usque mane confide.

17. Tunc Daniel projectus est in lacum leonum. Et allatus est lapis, et positus est super os laci ; et obsignavit rex annulo suo, et annulis optimatum suorum, ut non ab illis tolleretur Daniel, aut rex extraheret eum de lacu.

18. Tunc reversus est rex in regiam suam, et pernoctavit jejunus, et erat mœstus propter Danielem. Tunc Deus Danielis, curam habens illius, conclusit ora leonum, et molestiam non attulerunt Danieli.

19. Et rex Darius surrexit diluculo, et assumpsit secum satrapas, et abiens stetit super os laci leonum.

20. Postea rex vocavit Danielem voce magna cum fletu dicens : O Daniel, si forte vivis, et Deus tuus, quem colis semper, servavit te de leonibus, et non contriverunt te ?

21. Tunc Daniel clamavit voce magna, et dixit:

22. Rex, adhuc sum vivens, et liberavit me Deus de leonibus, eo quod justitia in me inventa est coram eo ; sed et in conspectu tuo, rex, neque ignorantia, neque delictum deprehensum est in me : tu autem audisti homines, qui seducunt reges, et projecisti me in lacum leonum ad perditionem.

23. Eodem tempore congregati sunt omnes magistratus, et intuebantur Danielem, quomodo nullam molestiam attulissent ei leones.

24. Tunc duo homines illi, qui adversus Danielem testimonium dixerant, ipsi, et uxores eorum, et filii eorum projecti sunt leonibus, et leones interfecerunt eos, et comminuerunt ossa eorum.

25. Tunc Darius scripsit omnibus gentibus, et linguis, et regionibus, et habitantibus in universa terra ejus, dicens :

26. Omnes homines, qui sunt in regno meo, sint adoratores, et cultores Dei Danielis : ipse enim est Deus manens, et vivens in generationes generationum usque in æternum.

27. Ego Darius ero adorans eum, et serviens cunctis diebus meis. Idola enim manufacta non possunt servare, sicut liberavit Deus Danielis Danielem.

28 Et rex Darius apposuit est ad genus suum, et Daniel constitutus est super regnum Darii. Et Cyrus Persa suscepit regnum ejus.

CAPUT VII.

1. Anno primo imperante Baltasar regionibus Babylonis, Daniel visionem vidit supra caput in

A θει τοῦ ἐξελέσθαι αὐτὸν ἕως δυσμῶν ἡλίου ἀπὸ τῶν χειρῶν τῶν σατραπῶν.

15. Καὶ οὐκ ἠδύνατο ἐξελέσθαι αὐτὸν ἀπ' αὐτῶν.

16. Ἀναβοήσας δὲ Δαρεῖος ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ· Ὁ Θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, τρὶς τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ χειρὸς τῶν λεόντων, ἕως πρωῒ θάρρει.

17. Τότε Δανιὴλ ἐρρίφη εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἠνέχθη λίθος, καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ ἑαυτοῦ, καὶ ἐν τοῖς δακτυλίοις τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀπ' αὐτῶν ἀρθῇ ὁ Δανιὴλ ✠, ἢ ὁ βασιλεὺς αὐτὸν ἀναспάσῃ ἐκ τοῦ λάκκου /

18. Τότε ὑπέστρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ, καὶ ηὐλίσθη νήστης, καὶ ἦν λυπούμενος περὶ τοῦ Δανιήλ. Τότε ὁ Θεὸς τοῦ Δανιὴλ, πρόνοιαν ποιούμενος αὐτοῦ, ἀπέκλεισε τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιήλ.

19. Καὶ ὁ βασιλεὺς Δαρεῖος ὠρθρισε πρωΐ, καὶ παρέλαβε μεθ' ἑαυτοῦ τοὺς σατράπας, καὶ πορευθεὶς ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου τῶν λεόντων.

20. Τότε ὁ βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ, λέγων· Ὦ Δανιήλ, εἰ ἄρα ζῇς, καὶ ὁ Θεός σου, ᾧ λατρεύεις ἐνδελεχῶς, σέσωκέ σε ἀπὸ τῶν λεόντων, καὶ οὐκ ἠχρείωκάν σε ;

21. Τότε Δανιὴλ ἐπήχουσε φωνῇ μεγάλῃ, καὶ εἶπεν·

22. Βασιλεῦ, ἔτι εἰμὶ ζῶν, καὶ σέσωκέ με ὁ Θεὸς ἀπὸ τῶν λεόντων, καθ' ὅτι δικαιοσύνη ἐν ἐμοὶ εὑρέθη ἐναντίον αὐτοῦ· καὶ ἐναντίον δέ σου, βασιλεῦ, οὔτε ἄγνοια, οὔτε ἁμαρτία εὑρέθη ἐν ἐμοί· σὺ δὲ ἤκουσας ἀνθρώπων πλανώντων βασιλεῖς, καὶ ἔρριψάς με εἰς τὸν λάκκον τῶν λεόντων εἰς ἀπώλειαν.

23. Τότε συνήχθησαν πᾶσαι αἱ δυνάμεις, καὶ εἶδον τὸν Δανιὴλ, ὡς οὐ παρηνώχλησαν αὐτῷ οἱ λέοντες.

24. Τότε οἱ δύο ἄνθρωποι ἐκεῖνοι οἱ καταμαρτυρήσαντες τοῦ Δανιὴλ, αὐτοὶ, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν ἐρρίφησαν τοῖς λέουσι, καὶ οἱ λέοντες ἀπέκτειναν αὐτοὺς, καὶ ἔθλασαν τὰ ὀστᾶ αὐτῶν.

25. Τότε Δαρεῖος ἔγραψε πᾶσι τοῖς ἔθνεσι, καὶ γλώσσαις, καὶ χώραις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ, λέγων·

26. Πάντες οἱ ἄνθρωποι, οἱ ὄντες ἐν τῇ βασιλείᾳ μου, ἔστωσαν προσκυνοῦντες καὶ λατρεύοντες τῷ Θεῷ τοῦ Δανιήλ· αὐτὸς γάρ ἐστι Θεὸς μένων, καὶ ζῶν εἰς γενεὰς γενεῶν ἕως τοῦ αἰῶνος.

27. Ἐγὼ Δαρεῖος ἔσομαι αὐτῷ προσκυνῶν, καὶ δουλεύων πάσας τὰς ἡμέρας μου· τὰ γὰρ εἴδωλα τὰ χειροποίητα οὐ δύνανται σῶσαι, ὡς ἐλυτρώσατο ὁ Θεὸς τοῦ Δανιὴλ, τὸν Δανιήλ.

28. Καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη πρὸς τὸ γένος αὐτοῦ ✠, καὶ Δανιὴλ ✠ κατεστάθη ἐπὶ τῆς βασιλείας Δαρείου /. καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτοῦ.

ΚΕΦΑΛ. Ζ'.

1. Ἔτους πρώτου βασιλεύοντος Βαλτάσαρ χώρας Βαβυλωνίας, Δανιὴλ ὅραμα εἶδε κατὰ κεφαλὴν ἐπὶ

τῆς κοίτης αὐτοῦ. Τότε Δανιὴλ τὸ ὅραμα, ὃ εἶδεν, ἔγραψεν εἰς κεφάλαια λόγων.

2. Ἐπὶ τῆς κοίτης μου ἐθεώρουν καθ' ὕπνους νυκτός· καὶ ἰδοὺ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ ἐνέπεσον εἰς τὴν θάλασσαν τὴν μεγάλην.

3. Καὶ τέσσαρα θηρία ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἓν παρὰ τὸ ἕν.

4. Τὸ πρῶτον ὡσεὶ λέαινα ἔχουσα πτερὰ ὡσεὶ ἀετοῦ. Ἐθεώρουν ἕως ὅτου ἐτίλη τὰ πτερὰ αὐτῆς, καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρωπίνων ἐστάθη, καὶ ἀνθρωπίνη καρδία ἐδόθη αὐτῇ.

5. Καὶ ἰδοὺ μετ' αὐτὴν ἄλλο θηρίον ὁμοίωσιν ἔχον ἄρκου, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ ἐστάθη. καὶ τρία πλευρὰ ἦν ἐν τῷ στόματι αὐτῆς ✠ ἐν μέσῳ ὀδόντων αὐτῆς /. καὶ οὕτως εἶπεν· Ἀνάστα, κατάφαγε σάρκας πολλάς.

6. Καὶ μετὰ ταῦτα ἐθεώρουν θηρίον ἄλλο ὡσεὶ πάρδαλιν, καὶ πτερὰ τέσσαρα ἐπέτεινον ἐπάνω αὐτοῦ, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ.

7. Μετὰ δὲ ταῦτα ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς θηρίον τέταρτον φοβερὸν, καὶ ὁ φόβος αὐτοῦ ὑπερφέρων ἰσχύϊ. ἔχον ὀδόντας σιδηροῦς μεγάλους, ἐσθίον καὶ κοπανίζον, κύκλῳ τοῖς ποσὶ καταπατοῦν, διαφόρως χρώμενον παρὰ πάντα τὰ πρὸ αὐτοῦ θηρία· εἶχε δὲ κέρατα δέκα, καὶ βουλαὶ πολλαὶ ἐν τοῖς κέρασιν αὐτοῦ.

8. Καὶ ἰδοὺ ἄλλο ἐν κέρας ἀνεφύη ἀναμέσον αὐτῶν μικρὸν ἐν τοῖς κέρασιν αὐτοῦ, καὶ τρία τῶν κεράτων τῶν πρώτων ἐξηράνθησαν δι' αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὥσπερ ἀνθρώπινοι ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα ✠ καὶ ἐποίει πόλεμον πρὸς τοὺς ✠ ἁγίους /.

9. Ἐθεώρουν ἕως ὅτε θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο, ἔχων περιβολὴν ὡσεὶ χιόνα, καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον λευκὸν καθαρὸν, ὁ θρόνος ὡσεὶ φλὸξ πυρὸς ✠ τροχοὶ αὐτοῦ πῦρ καιόμενον.

10. ✠ Ποταμὸς πυρὸς εἶλκων, καὶ ἐξεπορεύετο κατὰ πρόσωπον αὐτοῦ ποταμὸς πυρός· χίλιαι χιλιάδες ἐθεράπευον αὐτὸν, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.

11. Ἐθεώρουν τότε τὴν φωνὴν τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐλάλει· θεωρῶν ἤμην, καὶ ἀπετυμπανίσθη τὸ θηρίον, καὶ ἀπώλετο τὸ σῶμα αὐτοῦ, καὶ ἐδόθη εἰς καῦσιν πυρός.

12. Καὶ τοὺς κύκλῳ αὐτοῦ ἀπέστησε τῆς ἐξουσίας αὐτῶν, καὶ χρόνος ζωῆς ἐδόθη αὐτοῖς ἕως χρόνου καὶ καιροῦ.

13. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἤρχετο, καὶ ὡς Παλαιὸς ἡμερῶν παρῆν, καὶ οἱ παρεστηκότες παρῆσαν — αὐτῷ.

14. Καὶ ἐδόθη αὐτῷ ἐξουσία ✠ καὶ ✠ τιμὴ βασιλικὴ /. καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ γένη, καὶ πᾶσα δόξα αὐτῷ λατρεύσουσα, καὶ ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ μὴ ἀρθῇ, καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ φθαρῇ.

15. Καὶ ἀκηδιάσας ἐγὼ Δανιὴλ ἐν τούτοις ἐν τῷ

cubili suo. Tunc Daniel visionem, quam vidit, scripsit in capitibus sermonum.

2. In cubili meo videbam per somnos noctis : et ecce quatuor venti cœli irruerunt in mare magnum.

3. Et quatuor bestiæ ascendebant de mari, differentes una ab alia.

4. Prima quasi leæna habens alas sicut aquilæ. Aspiciebam donec evulsæ sunt alæ ejus, et sublata est de terra, et super pedes humanos stetit, et humanum cor datum est ei.

5. Et ecce post eam alia bestia similitudinem habens ursi, et in latere uno stetit : et tria latera erant in ore ejus in medio dentium ejus, et sic dixit : Surge, manduca carnes multas.

6. Et post hæc aspiciebam bestiam aliam sicut pardum, et alæ quatuor extendebantur super eam, et quatuor capita bestiæ.

7. Post autem hæc aspiciebam in visione noctis bestiam quartam terribilem, et terror ejus excedebat fortitudine : quæ habebat dentes ferreos magnos, manducans, et comminuens, in circuitu pedibus conculcans, diverse operans ab omnibus, quæ fuerunt ante eam, bestiis; habebat autem cornua decem, et consilia multa in cornibus ejus.

8. Et ecce aliud unum cornu renatum est in medio eorum parvum in cornibus ejus : et tria de cornibus primis exaruerunt propter illud : et ecce oculi, sicut oculi humani in cornu isto, et os loquens magna, et faciebat bellum adversus sanctos.

9. Videbam, quoadusque throni positi sunt, et Vetustus dierum sedebat, habens amictum sicut nivem, et capillitium capitis sui sicut lanam candidam mundam; thronus sicut flamma ignis, rotæ ejus ignis ardens.

10. Flumen ignis trahens, et egrediebatur ante faciem ejus fluvius ignis; mille millia serviebant ei, et dena millia denum millium assistebant ei, et judicium sedit, et libri aperti sunt.

11. Contemplabar tunc vocem sermonum magnorum, quos cornu loquebatur : aspiciens eram, et fustibus cæsa est bestia, et periit corpus ejus, et datum est in combustionem ignis.

12. Et ab iis, qui in circuitu ejus erant, abstulit potestatem eorum, et tempus vitæ datum est eis usque ad tempus et opportunitatem.

13. Videbam in visione noctis, et ecce super nubes cœli sicut filius hominis veniebat, et sicut Vetustus dierum aderat, et adstantes aderant ei.

14. Et data est ei potestas et honor regius, et omnes gentes terræ secundum genera, et omnis gloria serviens ei : et potestas ejus, potestas perpetua, quæ non auferetur, et regnum ejus, quod non destruetur.

15. Et cum mœrore gravi affectus essem ego Da-

Digitized by Google

niel super his in visione noctis conturbabant me cogitationes meæ.

16. Accessi ad unum stantium, et veritatem quærebam ab eo super omnibus his. Respondens autem dicit mihi, et interpretationem sermonum declaravit mihi.

17. Hæ bestiæ magnæ sunt quatuor regna, quæ peribunt de terra.

18. Et accipient regnum sancti Altissimi, et obtinebunt regnum usque in sæculum sæculorum.

19. Eodem tempore volui quærere diligenter de bestia quarta destruente omnia, et horribili valde: et ecce dentes ejus ferrei, et ungues ejusærei, quæ devorabat omnes in circuitu, et conculcabat pedibus.

20. Et de decem cornibus ejus, quæ erant super caput, et de uno alio, quod adnatum fuerat, et deciderant propter illud tria, et cornu illud habebat oculos, et os loquens magna, et aspectus ejus superabat alia.

21. Et considerabam cornu illud, quod bellum faciebat adversus sanctos, et fugabat eos.

22. Quoadusque venit Vetustus dierum, et judicium dedit sanctis Altissimi, et tempus datum est, et regnum obtinuerunt sancti.

23. Et dictum est mihi de quarta bestia, quia regnum quartum erit super terram, quod eminebit supra omnem terram, et devorabit omnem terram, et subvertet eam, et concidet eam.

24. Et decem cornua regni, decem reges stabunt: et alius rex post eos stabit, et ipse malis superabit primos, et tres reges humiliabit.

25. Et verba contra Altissimum loquetur, et sanctos Altissimi conteret: et assumet mutare tempora, et legem, et tradentur omnia in manibus ejus usque ad tempus, et tempora, et usque ad dimidium temporis.

26. Et judicium sedebit, et potestatem destruent, et deliberabunt contaminare, et perdere usque in finem.

27. Et regnum, et potestatem, et magnificentiam eorum, et principatum omnium sub cœlo regnorum, dedit populo sancto excelso ad regnandum regno sempiterno, et omnes potestates ei subjicientur, et obedient ei usque ad finem sermonis.

28. Ego Daniel multo stupore correptus sum, et forma mea immutata est super me, et verbum in corde meo firmiter stetui.

CAPUT VIII.

1. Anno tertio regnante Baltasar, visio, quam vidi ego Daniel, postquam vidissem primam.

2. Et vidi in visione somnii mei, cum ego essem in Susis civitate, quæ est in Elymaide regione, et vidi in visione, cum adhuc essem juxta portam Aelam.

ὁράματι τῆς νυκτὸς ※ ἐτάραξάν με οἱ διαλογισμοί μου.

16. Προσῆλθον πρὸς ἕνα τῶν ἑστώτων, καὶ τὴ ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ ὑπὲρ πάντων τούτων ἀποκριθεὶς δὲ λέγει μοι, καὶ τὴν κρίσιν τῶν λόγων ἐδήλωσέ μοι.

17. Ταῦτα τὰ θηρία τὰ μεγάλα εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ ἀπολοῦνται ἀπὸ τῆς γῆς.

18. Καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι Ὑψίστου, καὶ καθέξουσι τὴν βασιλείαν ἕως τοῦ αἰῶνος τῶν αἰώνων.

19. Τότε ἤθελον ἐξακριβώσασθαι περὶ τοῦ θηρίου τοῦ τετάρτου, τοῦ διαφθείροντος πάντα, καὶ ὑπερφόβου· καὶ ἰδοὺ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, κατεσθίοντος πάντας κυκλόθεν, καὶ καταπατοῦντος τοῖς ποσί.

20. Καὶ περὶ τῶν δέκα κεράτων αὐτοῦ τῶν ἐπὶ τῆς κεφαλῆς, καὶ τοῦ ἑνὸς τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ ἐξέπεσαν δι' αὐτοῦ τρία, καὶ τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς, καὶ στόμα λαλοῦν μεγάλα· καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε τὰ ἄλλα.

21. Καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς τοὺς ἁγίους, καὶ τροπούμενον αὐτούς.

22. Ἕως τοῦ ἐλθεῖν τὸν Παλαιὸν ἡμερῶν, καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ Ὑψίστου· καὶ ὁ καιρὸς ἐδόθη, καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι.

23. Καὶ ἐρρέθη μοι περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς γῆς, ἥτις διοίσει παρὰ πᾶσαν τὴν γῆν ※, καὶ καταφάγεται πᾶσαν τὴν γῆν /. καὶ ἀναστατώσει αὐτὴν, καὶ καταλεανεῖ αὐτήν.

24. Καὶ τὰ δέκα κέρατα τῆς βασιλείας, δέκα βασιλεῖς στήσονται· καὶ ὁ ἄλλος βασιλεὺς μετὰ τούτους στήσεται, καὶ αὐτὸς διοίσει κακοῖς ὑπὲρ τοὺς πρώτους, καὶ τρεῖς βασιλεῖς ταπεινώσει.

25. Καὶ ῥήματα εἰς τὸν Ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους τοῦ Ὑψίστου κατατρίψει, καὶ προσδέξεται ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ παραδοθήσεται πάντα εἰς τὰς χεῖρας αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν, καὶ ἕως ἡμίσους καιροῦ.

26. Καὶ ἡ κρίσις καθίσεται, καὶ τὴν ἐξουσίαν ἀπολοῦσι, καὶ βουλεύσονται μιᾶναι καὶ ἀπολέσαι ἕως τέλους.

27. Καὶ τὴν βασιλείαν, καὶ τὴν ἐξουσίαν, καὶ τὴν μεγαλειότητα αὐτῶν, καὶ τὴν ἀρχὴν πασῶν τῶν ὑπὸ τὸν οὐρανὸν βασιλειῶν, ἔδωκε λαῷ ἁγίῳ ὑψίστῳ βασιλεῦσαι βασιλείαν αἰώνιον, καὶ πᾶσαι ἐξουσίαι αὐτῷ ὑποταγήσονται, καὶ πειθαρχήσουσιν αὐτῷ ἕως καταστροφῆς τοῦ λόγου.

28. Ἐγὼ Δανιὴλ σφόδρα ἐκστάσει περιειχόμην, καὶ ἡ ἕξις μου διήνεγκεν ἐμοὶ, καὶ τὸ ῥῆμα ἐν καρδίᾳ μου ἐστήριξα.

ΚΕΦΑΛ. Η'

1. Ἔτους τρίτου βασιλεύοντος Βαλτάσαρ, ὅρασις, ἣν εἶδον ἐγὼ Δανιὴλ, μετὰ τὸ ἰδεῖν με τὴν πρώτην.

2. Καὶ εἶδον ἐν τῷ ὁράματι τοῦ ἐνυπνίου μου, ἐμοῦ ὄντος ἐν Σούσοις τῇ πόλει, ἥτις ἐστὶν ἐν Ἐλυμαΐδι χώρᾳ ※ καὶ εἶδον ἐν ὁράματι /. ἔτι ὄντος μου πρὸς τῇ πύλῃ Αἰλάμ.

Digitized by Google

3. Ἀναβλέψας εἶδον κριὸν ἕνα μέγαν ἑστῶτα ἀπέναντι τῆς πύλης· καὶ εἶχε κέρατα, ※ καὶ τὰ κέρατα ※ ὑψηλά, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινε. A

4. Μετὰ δὲ ταῦτα εἶδον τὸν κριὸν κερατίζοντα πρὸς ἀνατολάς, καὶ πρὸς βορρᾶν, καὶ πρὸς δυσμάς, καὶ μεσημβρίαν· καὶ πάντα τὰ θηρία οὐκ ἔστησαν ὀπίσω αὐτοῦ, καὶ οὐκ ἦν ὁ ῥυόμενος ἐκ τῶν χειρῶν αὐτοῦ, καὶ ἐποίει ὡς ἤθελε, καὶ ὑψώθη.

5. Καὶ ἐγὼ διενοούμην, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ δυσμῶν ἐπὶ προσώπου τῆς γῆς· καὶ ἦν τοῦ τράγου κέρας ἓν ※ θεωρητὸν /. ἀναμέσον τῶν ὀφθαλμῶν αὐτῶν /.

6. Καὶ ἦλθεν ἐπὶ τὸν κριὸν τὸν τὰ κέρατα ἔχοντα, ὃν εἶδον ἑστῶτα πρὸς τῇ πύλῃ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν θυμῷ ὀργῆς. B

7. Καὶ εἶδον αὐτὸν προσάγοντα πρὸς τὸν κριὸν, καὶ ἐθυμώθη ἐπ' αὐτὸν, καὶ ἐπάταξε ※ τὸν κριὸν, καὶ συνέτριψε τὰ δύο κέρατα αὐτοῦ, καὶ οὐκ ἔτι ἦν ἰσχὺς ἐν τῷ κριῷ στῆναι κατέναντι τοῦ τράγου, καὶ ἐσπάραξεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνέτριψεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ῥυόμενος τὸν κριὸν ἀπὸ τοῦ τράγου.

8. Καὶ ὁ τράγος τῶν αἰγῶν κατίσχυσε σφόδρα, καὶ ὅτε κατίσχυσε, συνετρίβη αὐτοῦ τὸ κέρας τὸ μέγα, καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα κατόπισθεν αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ.

9. Καὶ ἐξ ἑνὸς αὐτῶν ἀνεφύη κέρας ἰσχυρὸν ἕν, καὶ κατίσχυσε, καὶ ἐπάταξεν ἐπὶ μεσημβρίαν, ἐπὶ νότον, καὶ ἐπ' ἀνατολὰς, καὶ ἐπὶ βορρᾶν. C

10. Καὶ ὑψώθη ἕως τῶν ἀστέρων τοῦ οὐρανοῦ· καὶ ἐρράχθη ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων, καὶ ἀπὸ αὐτῶν κατεπατήθη.

11. Ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχμαλωσίαν· καὶ δι' αὐτὸν τὰ ὄρη τὰ ἀπ' αἰῶνος ἐρράχθη· καὶ ἐξῄρθη ὁ τόπος αὐτῶν, καὶ θυσία· καὶ ἔθηκεν αὐτὴν ἕως χαμαὶ ἐπὶ τὴν γῆν, καὶ εὐωδώθησαν, καὶ ἐγενήθη· καὶ τὸ ἅγιον ἐρημωθήσεται.

12. Καὶ ἐγενήθησαν ἐπὶ τῇ θυσίᾳ αἱ ἁμαρτίαι, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ ἐποίησε, καὶ εὐωδώθη.

13. Καὶ ἤκουον ἑτέρου ἁγίου λαλοῦντος· καὶ εἶπεν ὁ ἕτερος ἅγιος /. τῷ Φελμουνὶ τῷ λαλοῦντι· Ἕως τίνος τὸ ὅραμα στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα; D

14. Καὶ εἶπεν αὐτῷ· Ἕως ἑσπέρας, καὶ πρωΐ, ἡμέραι δισχίλιαι τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον.

15. Καὶ ἐγένετο ἐν τῷ θεωρεῖν με ἐγὼ Δανιὴλ τὸ ὅραμα, ἐζήτουν διανοηθῆναι, καὶ ἰδοὺ ἕστη κατεναντίον μου, ὡς ὅρασις ἀνθρώπου.

16. Καὶ ἤκουσα φωνὴν ἀνθρώπου ἀναμέσον τοῦ Οὐλαΐ· καὶ ἐκάλεσε, καὶ εἶπεν· Γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν + καὶ ἀναβοήσας εἶπεν ὁ ἄνθρωπος + ἐπὶ τὸ πρόσταγμα ἐκεῖνο ἡ ὅρασις /.

17. Καὶ ἦλθε, καὶ ἔστη ἐχόμενός μου τῆς στάσεως, καὶ ἐν τῷ ἔρχεσθαι αὐτὸν ἐθορυβήθην, καὶ ἔπεσα ἐπὶ

3. Suspiciens vidi arietem unum magnum stantem e regione portæ, et habebat cornua, et cornua excelsa, et unum excelsius altero, et excelsius ascendebat.

4. Post autem hæc vidi arietem cornibus ventilantem ad orientem, et ad aquilonem, et ad occidentem, et ad meridiem : et cunctæ bestiæ non steterunt post eum, et non erat qui liberaret de manibus ejus, et faciebat, sicut volebat, et exaltatus est.

5. Et ego animadvertebam : et ecce hircus caprarum veniebat ab occidente super faciem terræ ; et erat hirci cornu unum spectabile in medio oculorum suorum.

6. Et venit ad arietem, qui cornua habebat, quem videram stantem juxta portam, et cucurrit contra eum in furore iræ.

7. Et vidi eum accedentem ad arietem, et indignatus est contra eum, et percussit arietem, et contrivit duo cornua ejus, et non amplius erat fortitudo in ariete standi coram hirco : et dilaniavit eum super terram, et contrivit eum, et non erat qui liberaret arietem ab hirco.

8. Et hircus caprarum prævaluit valde, et postquam roboratus fuit, contritum est ejus cornu magnum, et ascenderunt alia cornua quatuor post illud in quatuor ventos cœli.

9. Et de uno illorum renatum est cornu forte unum, et prævaluit, et percussit ad meridiem, ad austrum, ad orientem, et ad aquilonem.

10. Et elevatum est usque ad stellas cœli, et detraxit super terram e stellis, atque de eis conculcavit.

11. Donec princeps militiæ liberabit captivitatem, et per ipsum montes, qui a sæculo sunt, effracti sunt : et ablatus est locus eorum, et sacrificium : et posuit illud usque ad humum super terram, et prospere evenerunt, et facta sunt, et sanctuarium desolabitur.

12. Et fuerunt in sacrificio peccata, et projecta est in terra justitia, et fecit, et prospere cessit.

13. Et audivi alium sanctum loquentem : et dixit alius sanctus Phelmuni loquenti : Usquequo visio stabit, et sacrificium, quod ablatum est, et peccatum desolationis, quod datum est, et sancta desolabuntur in conculcationem?

14. Et dixit ei : Usque ad vesperam, et mane, dies duo millia tercenti, et mundabitur sanctum.

15. Factum est autem, cum viderem ego Daniel visionem, quærebam intelligere : et ecce stetit coram me veluti aspectus hominis.

16. Et audivi vocem viri inter Ulai : et vocavit, et dixit : Gabriel, fac illum intelligere visionem, et exclamans ait homo, ad mandatum illud visio.

17. Et venit, et stetit prope stationem meam. Et cum ille venisset, perturbatus sum, et corrui in

Digitized by Google

faciem meam, et dixit mihi : Animadverte, fili hominis, adhuc enim ad horam temporis ista visio.

18. Cumque loqueretur ipse mecum, cubavi super faciem humi ; et cum tetigisset me, erexit me super locum, et dixit mihi :

19. Ecce ego annuntio tibi, quæ erunt in novissimo iræ filiis populi tui : adhuc enim ad horas temporis consummationis manebunt.

20. Aries, quem vidisti habentem cornua, rex Medorum et Persarum est.

21. Et hircus caprarum, rex Græcorum est, et cornu grande, quod erat inter oculos ejus, ipse est rex primus.

22. Quod autem confracto illo, etiam ascenderunt post illud quatuor cornua, quatuor reges de gente ejus consurgent, non juxta fortitudinem suam.

23. Et in novissimo regni eorum, completis peccatis ipsorum exsurget rex impudens facie, excogitans ænigmata.

24. Et roborabitur fortitudo ejus, sed non in virtute sua : et mirabiliter destruet, et prosperabitur, et faciet, et exterminabit principes et populum sanctorum.

25. Et super sanctos cogitatio ejus : et prosperabitur mendacium in manibus ejus, et cor ejus elevabitur, et dolo disperdet multos ; et in perditione virorum stabit, et congregabit exercitum, et retribuet.

26. Visio, quæ est vespere, et mane, inventa est in veritate : sed nunc occlusa est visio, adhuc enim ad dies multos.

27. Ego Daniel ægrotavi diebus multis : cumque surrexissem, administrabam rursus regia negotia, et deficiebam super visione, et nemo erat qui intelligeret.

CAPUT IX.

1. Anno primo sub Dario Xerxis filio de genere Medorum, qui regnarunt in imperio Chaldæorum.

2. Anno primo regni ejus ego Daniel excogitavi in libris numerum annorum, quando factum est decretum terræ ad Jeremiam prophetam, ut suscitarentur ad completionem opprobrii Jerusalem septuaginta anni.

3. Et dedi faciem meam ad Dominum Deum, ut invenirem deprecationem, et misericordiam in jejuniis, et sacco, et cinere.

4. Et precatus sum ad Dominum Deum, confessus sum, et dixi : Ecce, Domine, tu es Deus magnus, et fortis, et terribilis, servans testamentum, et misericordiam diligentibus te, et custodientibus mandata tua.

5. Peccavimus, iniquitatem fecimus, impie egimus, et recessimus, et transgressi sumus mandata tua et judicia tua.

6. Et non audivimus pueros tuos prophetas, qui locuti sunt in nomine tuo ad reges nostros, et ma-

A πρόσωπόν μου, καὶ εἶπέν μοι· Διανοήθητι, υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς ὥραν καιροῦ τοῦτο τὸ ὅραμα.

18. Καὶ λαλοῦντος αὐτοῦ μετ' ἐμοῦ, ἐκοιμήθην ἐπὶ πρόσωπον χαμαί, καὶ ἀψάμενός μου ἤγειρέ με ἐπὶ τοῦ τόπου, καὶ εἶπέ μοι·

19. Ἰδοὺ ἐγὼ ἀπαγγέλλω σοι ἃ ἔσται ἐπ' ἐσχάτου τῆς ὀργῆς τοῖς υἱοῖς τοῦ λαοῦ σου· ἔτι γὰρ εἰς ὥρας καιροῦ συντελείας μενεῖ.

20. Τὸν κριὸν, ὃν εἶδες, τὸν ἔχοντα τὰ κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν ἐστι.

21. Καὶ ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς τῶν Ἑλλήνων ἐστί· καὶ τὸ κέρας τὸ μέγα τὸ ἀνάμεσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτὸς ὁ βασιλεὺς ὁ πρῶτος.

22. Καὶ τοῦ συντριβέντος, καὶ ἀναβάντα ὀπίσω αὐτοῦ τέσσαρα κέρατα· τέσσαρες βασιλεῖς τοῦ ἔθνους B αὐτοῦ ἀναστήσονται, οὐ κατὰ τὴν ἰσχὺν αὐτῶν.

23. Καὶ ἐπ' ἐσχάτου τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς, ἀναιδὴς προσώπῳ, διανοούμενος αἰνίγματα.

24. Καὶ στερεωθήσεται ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ θαυμαστῶς φθερεῖ, καὶ εὐοδωθήσεται, καὶ ποιήσει, καὶ φθερεῖ δυνάστας καὶ δῆμον ἁγίων.

25. Καὶ ἐπὶ τοὺς ἁγίους τὸ διανόημα αὐτοῦ, καὶ εὐοδωθήσεται τὸ ψεῦδος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ὑψωθήσεται, καὶ δόλῳ ἀφανιεῖ πολλοὺς, καὶ ἐπὶ ἀπωλείας ἀνδρῶν στήσεται· καὶ ποιήσει συναγωγὴν χειρὸς, καὶ ἀποδώσεται ·—

C 26. Τὸ ὅραμα τὸ ἑσπέρας καὶ πρωΐ, ηὑρέθη ἐπ' ἀληθείας, καὶ νῦν πεφραγμένον τὸ ὅραμα· ἔτι γὰρ εἰς ἡμέρας πολλάς.

27. Ἐγὼ Δανιὴλ ἀσθενήσας ἡμέρας πολλὰς, καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν βασιλικὰ, καὶ ἐξελυόμην ἐπὶ τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμενος.

ΚΕΦΑΛ. Θ'.

1. Ἔτους πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς τῆς Μηδικῆς, οἳ ἐβασίλευσαν ἐπὶ τὴν βασιλείαν τῶν Χαλδαίων.

2. Τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ διενοήθην ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτε ἐγένετο πρόσταγμα τῇ γῇ ἐπὶ Ἱερεμίαν τὸν προD φήτην, ἐγεῖραι εἰς ἀναπλήρωσιν ὀνειδισμοῦ Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη.

3. Καὶ ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ Κύριον τὸν Θεὸν, εὑρεῖν προσευχὴν, καὶ ἔλεος ἐν νηστείαις, καὶ σάκκῳ, καὶ σποδῷ.

4. Καὶ προσηυξάμην πρὸς Κύριον τὸν Θεὸν, ἐξωμολογησάμην, καὶ εἶπα· Ἰδοὺ, Κύριε, σὺ εἶ ὁ Θεὸς ὁ μέγας, καὶ ὁ ἰσχυρὸς, καὶ ὁ φοβερὸς, τηρῶν τὴν διαθήκην, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά σου.

5. Ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, καὶ ἀπέστημεν, καὶ παρέβημεν τὰς ἐντολάς σου καὶ τὰ κρίματά σου.

6. Καὶ οὐκ ἠκούσαμεν τῶν παίδων σου τῶν προφητῶν, οἳ ἐλάλησαν ἐπὶ τῷ ὀνόματί σου ἐπὶ τοὺς

Digitized by Google

βασιλεῖς ἡμῶν, καὶ δυνάστας ἡμῶν, καὶ πατέρας ἡμῶν, καὶ παντὶ ἔθνει ἐπὶ τῆς γῆς.

gistratus nostros, et patres nostros, et omni genti super terram.

7. Σοὶ, Κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου κατὰ τὴν ἡμέραν ταύτην ἀνθρώποις Ἰούδα, καὶ καθημένοις ἐν Ἰερουσαλὴμ, καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ, τῷ ἐγγιστα, καὶ τῷ ἀπωτέρω, ἐν πάσαις ταῖς χώραις, εἰς ἃς διεσκόρπισας αὐτοὺς ἐκεῖ, ἐν τῇ πλημμελείᾳ, ᾗ ἐπλημμέλησαν ἐναντίον σου.

7. Tibi, Domine, justitia, nobis autem confusio faciei secundum diem hanc hominibus Juda, et sedentibus in Jerusalem, et omni populo Israel, qui prope est, et ei, qui procul in universis regionibus, ad quas dispersisti eos illuc propter iniquitatem, quia improbe se gesserunt in conspectu tuo.

8. Δέσποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ δυνάσταις, καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρτομέν σοι.

8. Domine, nobis confusio faciei, et regibus nostris, et principibus, et patribus nostris, quia peccavimus tibi.

9. Τῷ Κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ σοῦ.

9. Domino justitia et misericordia, quoniam recessimus a te.

10. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, κατακολουθῆσαι τῷ νόμῳ σου, ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡμῶν, διὰ τῶν παίδων σου τῶν προφητῶν.

10. Et non audivimus vocem Domini Dei nostri, ut sequeremur legem tuam, quam dedisti coram Mose et nobis, per pueros tuos prophetas.

11. Καὶ πᾶς Ἰσραὴλ ἐγκατέλιπε τὸν νόμον σου, καὶ ἀπέστησαν, τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου· καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα, καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν τῷ νόμῳ Μωσῆ παιδὸς τοῦ Θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ.

11. Et omnis Israel dereliquit legem tuam: et recesserunt, ne audirent vocem tuam, et supervenit super nos maledictio, et jusjurandum, quod scriptum est in lege Mosis pueri Dei, quia peccavimus ei.

12. Καὶ ἔστησεν ἡμῖν τὰ προστάγματα αὐτοῦ, ὅσα ἐλάλησεν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, ὅσα ἔκρινας ἡμῖν ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐκ ἐγενήθη ὑπὸ τὸν οὐρανὸν, καθ' ὅτι ἐγενήθη ἐν Ἰερουσαλήμ.

12. Et statuit nobis præcepta sua quæcumque locutus est super nos, et super judices nostros, quæcumque judicasti nobis superinducere in nos mala magna, qualia non facta sunt sub cœlo, sicut facta sunt in Jerusalem.

13. Κατὰ τὰ γεγραμμένα ἐν διαθήκῃ Μωσῆ, πάντα τὰ κακὰ ἐπῆλθεν ἡμῖν· καὶ οὐκ ἐξεζητήσαμεν τὸ πρόσωπον Κυρίου Θεοῦ ἡμῶν, ἀποστῆναι ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ διανοηθῆναι τὴν δικαιοσύνην σου, Κύριε.

13. Juxta ea, quæ scripta sunt in testamento Mosis, omnia mala venerunt super nos; et non exquisivimus faciem Domini Dei nostri, ut recederemus a peccatis nostris, et cogitaremus justitiam tuam, Domine.

14. Καὶ ἠγρύπνησε Κύριος ὁ Θεὸς ἐπὶ τὰ κακὰ, καὶ ἐπήγαγεν ἐφ' ἡμᾶς, ὅτι δίκαιος Κύριος ὁ Θεὸς ἡμῶν ἐπὶ πάντα ὅσα ἂν ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ.

14. Et vigilavit Dominus Deus super mala, et adduxit super nos, quoniam justus Dominus Deus noster in omnibus quæ fecerit, et non audivimus vocem ejus.

15. Καὶ νῦν, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐξ Αἰγύπτου τῷ βραχίονί σου τῷ ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα κατὰ τὴν ἡμέραν ταύτην· ἡμάρτομεν, ἠγνοήκαμεν.

15. Et nunc, Domine Deus noster, qui eduxisti populum tuum de Ægypto, brachio tuo excelso, et fecisti tibi nomen secundum diem hanc; peccavimus, ignoravimus.

16. Δέσποτα, κατὰ τὴν δικαιοσύνην σου, ἀποστραφήτω ὁ θυμός σου, καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἰερουσαλὴμ, ὄρους τοῦ ἁγίου σου, ὅτι ἐν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέρων ἡμῶν, Ἰερουσαλὴμ, καὶ ὁ δῆμος σου, Κύριε, εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν.

16. Domine, secundum justitiam tuam avertatur furor tuus, et ira tua a civitate tua Jerusalem, monte sancto tuo. Quia in peccatis nostris, et in ignorantiis patrum nostrorum, Jerusalem, et populus tuus, Domine, est in opprobrium omnibus, qui in circuitu nostro sunt.

17. Καὶ νῦν ἐπάκουσον, Δέσποτα, τῆς προσευχῆς τοῦ παιδός σου καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐπίβλεψάτω τὸ πρόσωπόν σου ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου, τὸ ἔρημον ἕνεκεν τῶν δούλων σου, Δέσποτα.

17. Et nunc exaudi, Domine, orationem pueri tui, et super preces meas: et respiciat facies tua super montem sanctum tuum, qui desertus est propter servos tuos, Domine.

18. Πρόσχες, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου· ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε τὴν ἐρήμωσιν ἡμῶν, καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπεκλήθη τὸ ὄνομά σου ἐπ' αὐτῆς· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν, ἡμεῖς δεόμεθα ἐν ταῖς προσευχαῖς ἡμῶν ἐνώπιόν σου, ἀλλὰ διὰ τὸ σὸν ἔλεος, Κύριε, σὺ ἱλάτευσον.

18. Inclina aurem tuam, Domine, et exaudi me: aperi oculos tuos, et vide desolationem nostram, et civitatis tuæ, super quam invocatum est nomen tuum super eam; non enim in justitiis nostris nos orainus in precibus nostris in conspectu tuo, sed propter misericordiam tuam, Domine, tu propitius esto.

19. Κύριε, ἐπάκουσον καὶ ποίησον, καὶ μὴ χρονί-

19. Domine, exaudi, et fac, et ne tardaveris

Digitized by Google

propter temetipsum, Domine, quoniam nomen tuum invocatum est super civitatem tuam Sion, et super populum tuum Israel.

20. Et dum ego loquebar orans, et confitens peccata mea, et peccata populi mei Israel, et orans in deprecationibus coram Domino Deo meo etiam pro monte sancto Dei nostri.

21. Et adhuc me loquente in oratione mea, et ecce vir, quem vidi in somno meo ab initio Gabriel, cito veniens appropinquavit mihi in hora sacrificii vespertini.

22. Et accessit, et loquutus est mecum, et dixit: Daniel, nunc exivi ostendere tibi sensum.

23. In principio obsecrationis tuæ exivit decretum a Domino, et ego veni, ut demonstrem tibi, quia misericordiam consecutus es; et animadverte mandatum.

24. Septuaginta hebdomades decretæ sunt super populum tuum, et super civitatem Sion, ut consummetur peccatum, et deficiant iniquitates, et deleantur injustitiæ, et intelligatur visio, et detur justitia sempiterna, et consummentur visiones et propheta, et lætetur Sanctus sanctorum.

25. Et scies, et intelliges, et lætaberis, et invenies præcepta, ut respondeatur: et ædificabis Jerusalem civitatem Domino.

26. Et post septem et septuaginta, et sexaginta duos deficiet unctio, et non erit: et regnum gentium destruet civitatem, et sanctuarium cum uncto: et veniet consummatio ejus cum furore, et usque ad tempus consummationis a bello oppugnabitur.

27. Et prævalebit testamentum in multis, et rursus revertetur, et rædificabitur in latitudine, et longitudine, et juxta consummationem temporum: et post septem et septuaginta tempora, et sexaginta duo annorum, usque ad tempus consummationis belli, et auferetur desolatio in prævalendo testamento ad multas hebdomadas, et in fine hebdomadæ auferetur sacrificium, et libamen, et in templo abominatio desolationum erit usque ad consummationem: et consummatio dabitur super desolationem.

CAPUT X.

1. In anno primo Cyri regis Persarum mandatum demonstratum est Danieli, cui impositum fuerat nomen Baltasar, et vera visio, et mandatum; et multitudo fortis intelliget mandatum, et intellexi illud in visione.

2. In diebus illis ego Daniel eram lugens tres hebdomadas.

3. Panem desideriorum non comedi, et caro, et vinum non introierunt in os meum: oleo non unctus sum, donec consummarem ego tres hebdomadas dierum.

4. Et factum est die quarta et vigesima mensis primi, et ego eram super labium fluvii magni, qui est Tigris.

5. Et levavi oculos meos, et vidi, et ecce homo

σης ἕνεκα σεαυτοῦ, Δέσποτα, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου Σιὼν, καὶ ἐπὶ τὸν λαόν σου Ἰσραήλ.

20. Καὶ ἔως ἐγὼ ἐλάλουν προσευχόμενος, καὶ ἐξομολογούμενος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραήλ, καὶ δεόμενος ἐν ταῖς προσευχαῖς ἐναντίον Κυρίου Θεοῦ μου, καὶ ὑπὲρ τοῦ ὄρους τοῦ ἁγίου τοῦ Θεοῦ ἡμῶν.

21. Καὶ ἔτι λαλοῦντός μου ἐν τῇ προσευχῇ μου, καὶ ἰδοὺ ὁ ἀνὴρ, ὃν εἶδον ἐν τῷ ὕπνῳ μου τὴν ἀρχὴν Γαβριὴλ, τάχει φερόμενος προσήγγισέ μοι ἐν ὥρᾳ θυσίας ἑσπερινῆς.

22. Καὶ προσῆλθε, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπεν· Δανιὴλ, ἄρτι ἐξῆλθον ὑποδεῖξαί σοι διάνοιαν.

23. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε πρόσταγμα παρὰ Κυρίου, καὶ ἐγὼ ἦλθον ὑποδεῖξαί σοι, ὅτι ἐλεινὸς εἶ, καὶ διανοήθητι τὸ πρόσταγμα.

24. Ἑβδομήκοντα ἑβδομάδες ἐκρίθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν Σιὼν συντελεσθῆναι τὴν ἁμαρτίαν, καὶ τὰς ἀδικίας σπανίσαι, καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ διανοηθῆναι τὸ ὅραμα, καὶ δοθῆναι δικαιοσύνην αἰώνιον, καὶ συντελεσθῆναι τὰ ὁράματα ✻ καὶ ✻ προφήτην, καὶ εὐφράναι Ἅγιον ἁγίων.

25. Καὶ γνώσῃ, καὶ διανοηθήσῃ, καὶ εὐφρανθήσῃ, καὶ εὑρήσεις προστάγματα ἀποκριθῆναι, καὶ οἰκοδομήσεις Ἱερουσαλὴμ πόλιν Κυρίῳ.

26. Καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα, καὶ ἑξήκοντα δύο ἀποσταθήσεται χρίσμα, καὶ οὐκ ἔσται, καὶ βασιλεία ἐθνῶν φθερεῖ τὴν πόλιν, καὶ τὸ ἅγιον μετὰ τοῦ χριστοῦ· καὶ ἥξει ἡ συντέλεια αὐτοῦ μετ' ὀργῆς, καὶ ἕως καιροῦ συντελείας, ἀπὸ πολέμου πολεμηθήσεται.

27. Καὶ δυναστεύσει ἡ διαθήκη εἰς πολλοὺς, καὶ πάλιν ἐπιστρέψει, καὶ ἀνοικοδομηθήσεται εἰς πλάτος, καὶ μῆκος, καὶ κατὰ συντέλειαν καιρῶν· καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα καιροὺς, καὶ ξβ' ἐτῶν, ἕως καιροῦ συντελείας πολέμου, καὶ ἀφαιρεθήσεται ἡ ἐρήμωσις ἐν τῷ κατισχύσαι τὴν διαθήκην ἐπὶ πολλὰς ἑβδομάδας, καὶ ἐν τῷ τέλει τῆς ἑβδομάδος ἀρθήσεται ἡ θυσία, καὶ ἡ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται ἕως συντελείας, καὶ συντέλεια δοθήσεται ✚ ἐπὶ τὴν ἐρήμωσιν.

ΚΕΦΑΛ. Ι'.

1. Ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως Περσῶν πρόσταγμα ἐδείχθη τῷ Δανιὴλ, ὃς ἐπεκλήθη τὸ ὄνομα Βαλτάσαρ· καὶ ἀληθὲς τὸ ὅραμα, καὶ τὸ πρόσταγμα· καὶ τὸ πλῆθος τὸ ἰσχυρὸν διανοηθήσεται τὸ πρόσταγμα, καὶ διενοήθην ✚ αὐτὸ ἐν ὁράματι /.

2. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας.

3. Ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας, καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, ἔλαιον οὐκ ἠλειψάμην, ἕως τοῦ συντελέσαι με τὰς τρεῖς ἑβδομάδας τῶν ἡμερῶν.

4. Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ πρώτου, καὶ ἐγὼ ἤμην ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ τοῦ μεγάλου, ὅς ἐστι Τίγρης.

5. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ

Digitized by Google

ἄνθρωπος εἷς ἐνδεδυμένος βύσσινα, καὶ τὴν ὀσφὺν περιεζωσμένος βυσσίνῳ, καὶ ἐκ μέσου αὐτοῦ φῶς, καὶ τὸ στόμα αὐτοῦ ὡσεὶ θαλάσσης.

6. Καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτοῦ, καὶ οἱ πόδες ὡσεὶ χαλκὸς ἐξαστράπτων, καὶ φωνὴ λαλιᾶς αὐτοῦ ὡσεὶ φωνὴ θορύβου.

7. Καὶ εἶδον ἐγὼ Δανιὴλ τὴν ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οἱ ἄνθρωποι οἱ ὄντες μετ' ἐμοῦ οὐκ εἶδοσαν τὴν ὅρασιν ταύτην, καὶ φόβος ἰσχυρὸς ἐπέπεσεν ἐπ' αὐτοὺς, καὶ ἀπέδρασαν ἐν σπουδῇ.

8. Καὶ ἐγὼ κατελείφθην μόνος, καὶ εἶδον τὴν ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οὐ κατελείφθη ἐν ἐμοὶ ἰσχύς· καὶ ἰδοὺ πνεῦμα ἐπεστράφη ἐπ' ἐμὲ εἰς φθοράν, καὶ οὐ κατίσχυσα.

9. Καὶ οὐκ ἤκουσα τὴν φωνὴν λαλιᾶς αὐτοῦ· ἐγὼ ἤμην πεπτωκὼς ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν.

10. Καὶ ἰδοὺ χεῖρα προσήγαγέ μοι, καὶ ἤγειρέ με ἐπὶ τῶν γονάτων ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου.

11. Καὶ εἶπέν μοι· Δανιὴλ, ἄνθρωπος ἐλεηνὸς εἶ, διανοήθητι τοῖς προστάγμασιν οἷς ἐγὼ λαλῶ ἐπὶ σὲ, καὶ στῆθι ἐπὶ τοῦ τόπου σου· ἄρτι γὰρ ἀπεστάλην ἐπί σε· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ τὸ πρόσταγμα τοῦτο, ἔστην τρέμων.

12. Καὶ εἶπεν πρὸς μέ· Μὴ φοβοῦ, Δανιὴλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἧς ἔδωκας τὸ πρόσωπόν σου διανοηθῆναι, καὶ ταπεινωθῆναι ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, εἰσηκούσθη τὸ ῥῆμά σου, καὶ ἐγὼ εἰσῆλθον τῷ ῥήματί σου.

13. Καὶ ὁ στρατηγὸς βασιλέως Περσῶν ἀνθειστήκει ἐναντίον μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ αὐτὸν ἐκεῖ κατέλιπον μετὰ τοῦ στρατηγοῦ τοῦ βασιλέως Περσῶν.

14. Καὶ εἶπέν μοι· Ἦλθον ὑποδεῖξαί σοι τί ὑπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτου τῶν ἡμερῶν· ἔτι γὰρ ὅρασις εἰς ἡμέρας.

15. Καὶ ἐν τῷ αὐτὸν λαλῆσαι μετ' ἐμοῦ τὰ προστάγματα ταῦτα, ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἐσιώπησα.

16. Καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς ἀνθρώπου ἥψατό μου τῶν χειλέων, καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, καὶ εἶπα τῷ ἑστηκότι ἀπέναντί μου· Κύριε· καὶ ὡς ὅρασις ἐπεστράφη ἐπὶ τὸ πλευρόν μου ἐπ' ἐμὲ, καὶ οὐκ ἦν ἐπ' ἐμοὶ ἰσχύς.

17. Καὶ πῶς δυνήσεται ὁ παῖς λαλῆσαι μετὰ τοῦ Κυρίου αὐτοῦ; Καὶ ἐγὼ ἠσθένησα, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχὺς, καὶ πνεῦμα οὐ κατελείφθη ἐν ἐμοί.

18. Καὶ προσέθηκέ, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ κατίσχυσέ με.

19. Καὶ εἶπέν μοι· Ἄνθρωπος ἐλεηνὸς εἶ, μὴ φοβοῦ, ὑγίαινε, ἀνδρίζου, καὶ ἴσχυε· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα, καὶ εἶπα· Λαλησάτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσέ με.

20. Καὶ εἶπεν πρὸς μέ· Γινώσκεις τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω διαμάχεσθαι μετὰ τοῦ στρατηγοῦ βασιλέως τῶν Περσῶν. Καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰσεπορεύετο.

21. Καὶ μάλα ὑποδείξω σοι τὰ πρῶτα ἐν ἀπογραφῇ

A unus vestitus byssinis, et renes accincti byssino; et de medio ejus lux, et os ejus quasi maris.

6. Et facies ejus quasi species fulguris, et oculi ejus quasi lampades ignis, et brachia ejus et pedes quasi æs refulgens: et vox loquelæ ejus quasi vox turbæ.

7. Et vidi ego Daniel visionem hanc magnam, et homines, qui erant mecum non viderunt visionem hanc: et terror vehemens irruit super eos, et aufugerunt celeriter.

8. Et ego derelictus sum solus, et vidi visionem magnam hanc: et non relicta est in me fortitudo, et ecce spiritus conversus est in me ad mortem; et non habui vires.

B 9. Et non audivi vocem loquelæ ejus: ego eram lapsus in faciem meam super terram.

10. Et ecce manum applicuit mihi, et erexit me in genubus super plantas pedum meorum.

11. Et dixit mihi: Daniel, homo misericordiæ es, animadverte mandata, quæ ego loquor ad te, et sta in loco tuo; modo enim missus sum ad te. Cumque loqueretur ipse mecum mandatum hoc, steti tremens.

12. Et dixit ad me: Ne timeas, Daniel, quia ex die prima, qua dedisti faciem tuam ad recogitandum et affligendum te coram Domino Deo tuo, exauditum est verbum tuum, et ego adveni verbo tuo.

C 13. Et dux regis Persarum restitit ex adverso mihi viginti et uno diebus: et ecce Michael unus de principibus primis supervenit ad auxiliandum mihi, et ipsum ibi reliqui cum duce regis Persarum.

14. Et dixit mihi: Veni, ut demonstrarem tibi, quid obveniet populo tuo in novissimo dierum; adhuc enim visio in dies.

15. Cumque ipse loqueretur mecum mandata hæc, dedi faciem meam super terram, et silui.

16. Et ecce quasi similitudo manus hominis tetigit labia mea, et aperui os meum, et locutus sum, et dixi ei, qui stabat coram me: Domine; et tanquam visio conversa est in latus meum super me, et
D non fuit in me fortitudo.

17. Et quomodo poterit servus loqui cum Domino suo? Et ego defeci, et non est in me fortitudo, et spiritus non relictus est in me.

18. Et apposuit, et tetigit me quasi visio hominis, et confortavit me.

19. Et dixit mihi: Homo misericordiæ es, ne timeas: vale, viriliter age, et confortare. Cumque loqueretur ipse mecum, confortatus sum, et dixi: Loquatur Dominus meus, quia confortavit me.

20. Et dixit ad me: Cognoscis quare venerim ad te? Et nunc revertar ad pugnandum cum duce regis Persarum. Et ego exivi, et ecce dux Græcorum introivit.

21. Et sane ostendam tibi præcipua in scr'

Digitized by Google

veritatis : et nemo erat, qui adjuvaret me superhis, nisi Michael angelus.

CAPUT XI.

1. Et anno primo Cyri regis dixit mihi, ut confortarer, et viriliter agerem.

2. Et nunc veni, ut veritatem demonstrarem tibi. Ecce tres reges restiterunt in Perside, et quartus ditabitur divitiis magnis super omnes : et cum roboratus fuerit ipse in divitiis suis, insurget super omnem regem Græcorum.

3. Et stabit rex potens, et dominabitur dominatione multa, et faciet sicut voluerit.

4. Et cum exaltatus fuerit ipse, concidetur regnum ejus, et dividetur in quatuor ventos cœli, non secundum vires ejus, neque juxta dominationem ejus, qua dominatus est, quia deficiet regnum ejus, et alios docebunt ista.

5. Et confortabitur regnum Ægypti, et unus de principibus prævalebit ei, et dominabitur : dominatio magna, dominatio ejus.

6. Et in finem annorum adducet eos : et ingredietur rex Ægypti in regnum Aquilonis facturus fœdera, et non prævalebit, quia brachium ejus non stabit fortitudine, et brachium ejus torpescet, et eorum, qui conveniunt cum eo ; et manebit ad horas.

7. Et surget germen de radice ejus pro ipso : et veniet ad exercitum ejus in fortitudine sua rex Aquilonis, et faciet tumultum, et prævalebit.

8. Et deos eorum subvertet cum conflatilibus eorum, et turbas eorum cum vasis desideriorum suorum, argentum et aurum in captivitate asportabunt in Ægyptum ; et erit annus regi Aquilonis.

9. Et ingredietur in regnum rex Ægypti ad dies, et revertetur ad terram suam.

10. Et filius ejus etiam provocabitur, et colliget congregationem turbæ multæ, et ingredietur cum ea adversus Syros, pertransibit, et revertetur.

11. Et exacerbabitur vehementer, et indignabitur rex Ægypti et egredietur. Et pugnabit cum rege Aquilonis, et statuet turbam multam, et tradetur congregatio in manus ejus.

12. Et capiet congregationem, et exaltabitur cor ejus, et turbabit multos, et non timebit

13. Et revertetur rex Aquilonis, et congregabit civitatis congregationem majorem ultra priorem, secundum consummationem temporis anni : et ingredietur in eam adversus eum in turba multa, et in opibus multis.

14. In temporibus illis cogitationes surgent super regem Ægypti, et reparabit ruinas gentis tuæ : et excitabitur, ut surgere faciat prophetiam ; et impingent.

15. Et superveniet rex Aquilonis, et convertet arma sua, et capiet urbem munitam : et brachia

A ἀληθείας· καὶ οὐδεὶς ἦν ὁ βοηθῶν μετ' ἐμοῦ ὑπὲρ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄγγελος.

ΚΕΦΑΛ. ΙΑ'.

1. Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέν μοι ἐνισχύσαι, καὶ ἀνδρίζεσθαι.

2. Καὶ νῦν ἦλθον τὴν ἀλήθειαν ὑποδεῖξαί σοι· Ἰδοὺ τρεῖς βασιλεῖς ἀνθεστήκασιν ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ ἐν τῷ κατισχύσαι αὐτὸν ἐν τῷ πλούτῳ αὐτοῦ, ἐπαναστήσεται παντὶ βασιλεῖ Ἑλλήνων.

3. Καὶ στήσεται βασιλεὺς δυνατὸς, καὶ κυριεύσει κυρείας πολλῆς, καὶ ποιήσει καθὼς ἂν βούληται.

4. Καὶ ἐν τῷ ἀναστῆναι αὐτὸν συντριβήσεται ἡ βασιλεία αὐτοῦ, καὶ μερισθήσεται εἰς τοὺς τέσσαρας
B ἀνέμους τοῦ οὐρανοῦ· οὐ κατὰ τὴν ἀλκὴν αὐτοῦ οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ, ἣν ἐδυνάστευσε, ὅτι ἀποσταθήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέρους διδάξει ταῦτα.

5. Καὶ ἐνισχύσει βασιλείαν Αἰγύπτου, καὶ εἷς ἐκ τῶν δυναστῶν κατισχύσει αὐτὸν, καὶ δυναστεύσει· δυναστεία μεγάλη ἡ δυναστεία αὐτοῦ.

6. Καὶ εἰς συντέλειαν ἐνιαυτῶν ἄξει αὐτούς· καὶ εἰσελεύσεται βασιλεὺς Αἰγύπτου εἰς τὴν βασιλείαν τὴν Βορρᾶ ποιήσασθαι συνθήκας, καὶ οὐ μὴ κατισχύσει, ὅτι ὁ βραχίων αὐτοῦ οὐ στήσει ἰσχὺν, καὶ ὁ βραχίων αὐτοῦ ναρκήσει, καὶ τῶν συμπορευομένων μετ' αὐτοῦ, καὶ μενεῖ εἰς ὥρας.

7. Καὶ ἀναστήσεται φυτὸν ἐκ τῆς ῥίζης αὐτοῦ καθ' ἑαυτὸν, καὶ ἥξει ἐπὶ τὴν δύναμιν αὐτοῦ ἐν ἰσχύϊ αὐτοῦ βασιλεὺς Βορρᾶ, καὶ ποιήσει ταραχὴν, καὶ κατα
C ἰσχύσει.

8. Καὶ τοὺς θεοὺς αὐτῶν καταστρέψει μετὰ τῶν χωνευτῶν αὐτῶν, καὶ τοὺς ὄχλους αὐτῶν μετὰ τῶν σκευῶν τῶν ἐπιθυμημάτων αὐτῶν, τὸ ἀργύριον καὶ τὸ χρυσίον ἐν αἰχμαλωσίᾳ ἀποίσουσιν εἰς Αἴγυπτον, καὶ ἔσται ἔτος βασιλεῖ Βορρᾶ.

9. Καὶ εἰσελεύσεται εἰς βασιλείαν βασιλεὺς Αἰγύπτου ἡμέρας, καὶ ἐπιστρέψει ἐπὶ τὴν γῆν αὐτοῦ.

10. Καὶ ὁ υἱὸς αὐτοῦ καὶ ἐρεθισθήσεται, καὶ συνάξει συναγωγὴν ὄχλου πολλοῦ, καὶ εἰσελεύσεται κατ' αὐτὴν κατὰ Σύρων, παρελεύσεται, καὶ ἐπιστρέψει.

11. Καὶ παροξυνθήσεται ἐπὶ πολὺ, καὶ ὀργισθήσεται βασιλεὺς Αἰγύπτου ✻ καὶ ἐξελεύσεται /. καὶ πολεμήσει μετὰ βασιλέως Βορρᾶ ✻ καὶ στήσει ὄχλον
D πολὺν /. καὶ παραδοθήσει ἡ συναγωγὴ εἰς τὰς χεῖρας αὐτοῦ.

12. Καὶ λήψεται τὴν συναγωγὴν, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ ταράξει πολλοὺς, καὶ οὐ μὴ φοβηθῇ.

13. Καὶ ἐπιστρέψει βασιλεὺς Βορρᾶ, καὶ συνάξει πόλεως συναγωγὴν μείζονα παρὰ τὴν πρώτην, κατὰ συντέλειαν καιροῦ ἐνιαυτοῦ, καὶ εἰσελεύσεται εἰς αὐτὴν ἐπ' αὐτὸν ἐν ὄχλῳ πολλῷ, καὶ ἐν χρήμασι πολλοῖς.

14. Καὶ ἐν τοῖς καιροῖς ἐκείνοις διάνοιαι ἀναστήσονται ἐπὶ τὸν βασιλέα Αἰγύπτου, καὶ ἀνοικοδομήσει τὰ πεπτωκότα τοῦ ἔθνους σου, καὶ ἀναστήσεται εἰς τὸ ἀναστῆσαι τὴν προφητείαν, καὶ προσκόψουσι.

15. Καὶ ἐπελεύσεται βασιλεὺς Βορρᾶ, καὶ ἐπιστρέψει τὰ ὅρατα αὐτοῦ, καὶ λήψεται τὴν πόλιν τὴν ὀχυ-

Digitized by Google

ρὰν, καὶ οἱ βραχίονες βασιλέως Αἰγύπτου στήσονται μετὰ τῶν δυναστῶν αὐτοῦ, καὶ οὐκ ἔσται αὐτῷ ἰσχὺς εἰς τὸ ἀντιστῆναι αὐτῷ.

16. Καὶ ποιήσει ὁ εἰσπορευόμενος ἐπ' αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἀνθεστηκὼς ἐναντίον αὐτοῦ· καὶ στήσεται ἐν τῇ χώρᾳ, καὶ ἐπιτελεσθήσεται πάντα τὰ ἐν ταῖς χερσὶν αὐτοῦ.

17. Καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἐπελθεῖν βίᾳ τὸ ἔργον αὐτοῦ, καὶ συνθήκας μετ' αὐτοῦ ποιήσεται· καὶ θυγατέρα ἀνθρώπου δώσει αὐτῷ εἰς τὸ φθεῖραι αὐτὴν, καὶ οὐ πείσεται, καὶ οὐκ ἔσται.

18. Καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὴν θάλασσαν, καὶ λήψεται πολλοὺς, καὶ ἐπιστρέψει ὀργὴν ὀνειδισμοῦ αὐτῶν ἐν ὅρκῳ κατὰ τὸν ὀνειδισμὸν αὐτοῦ.

19. Ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὸ κατισχύσαι τὴν χώραν αὐτοῦ, καὶ προσκόψει, καὶ πεσεῖται, καὶ οὐχ εὑρεθήσεται.

20. Καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας εἰς ἀνάστασιν, ἀνὴρ τύπτων δόξαν βασιλέως.

21. Καὶ ἐν ἡμέραις ἐσχάταις συντριβήσεται, καὶ οὐκ ἐν ὀργῇ, οὐδὲ ἐν πολέμῳ· καὶ ἀναστήσεται ἐπὶ τὸν τόπον αὐτοῦ εὐκαταφρόνητος, καὶ οὐ δοθήσεται ἐπ' αὐτὸν δόξα βασιλέως, καὶ ἥξει ἐξάπινα· κατισχύσει βασιλεὺς ἐν κληροδοσίᾳ αὐτοῦ.

22. Καὶ τοὺς βραχίονας τοὺς συντριβέντας συντρίψει ἀπὸ προσώπου αὐτοῦ.

23. Καὶ μετὰ τῆς διαθήκης, καὶ δήμου συνταγέντος μετ' αὐτοῦ, ποιήσει ψεῦδος, καὶ ἐπὶ ἔθνος ἰσχυρὸν ἐν ὀλιγοστῷ ἔθνει.

24. Ἐξάπινα ἐρημώσει πόλιν, καὶ ποιήσει ὅσα οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ, οὐδὲ οἱ πατέρες τῶν πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ χρήματα αὐτοῖς δώσει, καὶ ἐπὶ τὴν πόλιν τὴν ἰσχυρὰν διανοηθήσεται, καὶ οἱ λογισμοὶ αὐτοῦ εἰς μάτην.

25. Καὶ ἐγερθήσεται ἡ ἰσχὺς αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὸν βασιλέα Αἰγύπτου ἐν ὄχλῳ πολλῷ, καὶ ὁ βασιλεὺς Αἰγύπτου ἐρεθισθήσεται εἰς πόλεμον ἐν ὄχλῳ ἰσχυρῷ σφόδρα λίαν, καὶ οὐ στήσεται, ὅτι διανοηθήσεται ἐπ' αὐτὸν διάνοια.

26. Καὶ καταναλώσουσιν αὐτὸν μέριμναι αὐτοῦ, καὶ ἀποστρίψουσιν αὐτὸν, καὶ παρελεύσονται, καὶ κατασυριεῖ, καὶ πεσοῦνται τραυματίαι πολλοί.

27. Καὶ δύο βασιλεῖς μόνοι δειπνήσουσιν ἐπὶ τὸ αὐτὸ, καὶ ἐπὶ μιᾶ; τραπέζης φάγονται, καὶ ψευδολογήσουσι, καὶ οὐκ εὐοδωθήσονται· ἔτι γὰρ συντέλεια εἰς καιρόν.

28. Καὶ ἐπιστρέψει εἰς τὴν χώραν αὐτοῦ ἐν χρήμασι πολλοῖς, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου· ποιήσει, καὶ ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ.

29. Εἰς καιρὸν ※ ἐπιστρέψει /. καὶ εἰσελεύσεται εἰς Αἴγυπτον, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχάτη.

30. Καὶ ἥξουσι Ῥωμαῖοι, καὶ ἐξώσουσιν αὐτὸν, καὶ ἐμβριμήσονται αὐτῷ ÷ καὶ ἐπιστρέψει, καὶ ὀργισθήσεται /. ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου, καὶ ποιήσει, καὶ ἐπιστρέψει, καὶ διανοηθήσεται ἐπ' αὐτοὺς, ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην τοῦ ἁγίου.

regis Ægypti stabunt cum principibus suis, et non erunt ei vires ad resistendum ei.

16. Et faciet, qui ingreditur adversus eum, juxta voluntatem suam, et non erit, qui resistat coram eo : et stabit in regione, et perficientur omnia, quæ in manibus ejus sunt.

17. Et dabit faciem suam, ut veniat per vim ad opus suum, et fœdera cum eo faciet, et filiam hominis dabit ei ad perdendam eam ; et non persuadebit, et non erit.

18. Et dabit faciem suam super mare, et capiet multos, et convertet iram opprobrii eorum in jurejurando secundum opprobrium suum

19. Convertet faciem suam ad corroborandam regionem suam, et offendet, et cadet, et non invenietur.

20. Et surget de radice ejus planta regni ad restaurandum, vir percutiens gloriam regis.

21. Et in diebus novissimis conteretur, et non in ira, neque in bello. Et surget super locum ejus contemptibilis, et non dabitur super eum gloria regis, et veniet repente ; corroborabitur rex in hæreditate sua.

22. Et brachia, quæ contrita sunt, conteret a facie sua.

23. Et cum testamento, et populo secum conjuncto, faciet dolum : et contra gentem fortem in paucissima gente.

24. Statim devastabit civitatem, et faciet, quæ non fecerunt patres ejus, neque patres patrum ejus: deprædationem, et spolia, et pecunias eis dabit, et super urbem fortem cogitabit ; sed cogitationes ejus in vanum.

25. Et excitabitur fortitudo ejus, et cor ejus super regem Ægypti in turba multa : et rex Ægypti provocabitur ad bellum in multitudine forti valde nimis : et non stabit, quia excogitabitur super eum consilium.

26. Et consument eum sollicitudines ejus, et avertent eum, et transibunt, et buccina canet, et cadent vulnerati multi.

27. Et duo reges soli convivabuntur pariter, et super unam mensam comedent, et mendaciter loquentur, et non prosperabuntur : adhuc enim consummatio ad tempus.

28. Et revertetur in regionem suam in opibus multis, et cor ejus super testamentum sancti ; faciet, et revertetur in regionem suam.

29. Ad tempus revertetur et ingredietur in Ægyptum : et non erunt sicut priora etiam novissima.

30. Et venient Romani, et expellent eum, et acriter comminabuntur ei, et revertetur, et indignabitur super testamentum sancti, et faciet : et revertetur, et cogitabit super eos, eo quod dereliquerunt testamentum sancti.

Digitized by Google

31 Et brachia ex eo stabunt, et polluent sanctum timoris; et amovebunt sacrificium, et dabunt abominationem desolationis.

32. Et in peccatis testamenti polluent in duro populo : et populus sciens hæc, confortabitur et faciet.

33. Et prudentes de gente intelligent in multos, et impingent gladio, et inveterascent in eo, et in captivitate, et in directione dierum maculabuntur.

34. Cumque afflicti fuerint, congregabunt vires exiguas : et aggregabuntur ad eos multi in civitate, et multi tanquam in partium divisione.

35. Et de intelligentibus cogitabunt ad mundandum seipsos, et ut seligantur, et purificentur usque ad consummationem temporis : adhuc enim tempus in horas.

36. Et faciet juxta voluntatem suam rex, et irritabitur, et extolletur super omnem Deum, et adversus Deum deorum magnifica loquetur : et prosperabitur, donec consummetur ira; in ipsum enim consummatio fit.

37. Et super deos patrum suorum non intelliget, et in concupiscentia fœminæ non excogitabit, quia in omni elevabitur, et subjcientur ei gentes fortes.

38. Super locum suum excitabit, et Deum, quem non cognoverunt patres ejus, honorabit in auro, et argento, et lapide pretioso.

39. Et in concupiscentiis aget civitatum, et in munitionem fortem veniet cum deo alieno, quem cum cognoverit, multiplicabit gloriam, et dominabitur ei multum, et dividet regionem in dono.

40. Et in hora consummationis impetet cornu suo eum rex Ægypti : et impetuose feretur in eum rex Aquilonis cum curribus, et equis multis, et in navibus multis, et ingredietur in regionem Ægypti.

41. Et invadet regionem meam, et multæ scandalizabuntur, et hæ salvabuntur de manu ejus, Edom, et Moab, et caput filiorum Ammon.

42. Et mittet manum suam in terras, et in regione Ægypti non erit in ea qui salvetur.

43. Et obtinebit locum auri, et locum argenti, et omnem concupiscentiam Ægypti, et Libyes Æthiopesque erunt in turba ejus.

44. Et rumor turbabit eum ab Oriente, et Aquilone, et egredietur in furore vehementi et gladio, ad disperdendum et interficiendum multos.

45. Et statuet tabernaculum suum tunc inter maria, et montem voluntatis sancti : et veniet hora consummationis ejus, et non erit, qui adjuvet eum.

CAPUT XII.

1. Et per regionem illam transibit Michael an-

A 31. Καὶ βραχίονες παρ' αὐτοῦ στήσονται καὶ μιανοῦσι τὸ ἅγιον τοῦ φόβου· καὶ ἀποστήσουσι τὴν θυσίαν, καὶ δώσουσι βδέλυγμα ἐρημώσεως.

32. Καὶ ἐν ἁμαρτίαις διαθήκης μιανοῦσιν ἐν σκληρῷ λαῷ· καὶ ὁ δῆμος ὁ γινώσκων ταῦτα κατισχύσουσι καὶ ποιήσουσι.

33. Καὶ ἐννοούμενοι τοῦ ἔθνους συνήσουσιν εἰς πολλοὺς, καὶ προσκόψουσι ῥομφαίᾳ, καὶ παλαιωθήσονται ἐν αὐτῇ, καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν προνομῇ ἡμερῶν κηλιδωθήσονται.

34. Καὶ ὅτ' ἂν συντρίβωνται, συνάξουσιν ἰσχὺν βραχεῖαν, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτοὺς πολλοὶ ἐπὶ πόλεως, καὶ πολλοὶ ὡς ἐν κληροδοσίᾳ.

35. Καὶ ἐκ τῶν συνιέντων διανοηθήσονται εἰς τὸ καθαρίσαι ἑαυτοὺς, καὶ εἰς τὸ ἐκλεγῆναι, καὶ εἰς τὸ B καθαρισθῆναι ἕως καιροῦ συντελείας· ἔτι γὰρ καιρὸς εἰς ὥρας.

36. Καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ ὁ βασιλεὺς, καὶ παροργισθήσεται, καὶ ὑψωθήσεται ἐπὶ πάντα θεὸν, καὶ ἐπὶ τὸν Θεὸν τῶν θεῶν ἐξαλλα λαλήσει, καὶ εὐοδωθήσεται, ἕως ἂν συντελεσθῇ ἡ ὀργή· εἰς αὐτὸν γὰρ συντέλεια γίνεται.

37. Καὶ ἐπὶ τοὺς θεοὺς τῶν πατέρων αὐτοῦ οὐ μὴ προνοηθῇ, καὶ ἐν ἐπιθυμίᾳ γυναικὸς οὐ μὴ προνοηθῇ, ὅτι ἐν παντὶ ὑψωθήσεται, καὶ ὑποταγήσεται αὐτῷ ἔθνη ἰσχυρά.

38. Ἐπὶ τὸν τόπον αὐτοῦ κινήσει, καὶ Θεὸν ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ τιμήσει ἐν χρυσίῳ, καὶ ἀργυρίῳ, καὶ λίθῳ πολυτελεῖ.

39. Καὶ ἐν ἐπιθυμήμασι ποιήσει πόλεων, καὶ εἰς C ὀχύρωμα ἰσχυρὸν ἥξει μετὰ θεοῦ ἀλλοτρίου· οὗ ἐὰν ἐπιγνῷ, πληθυνεῖ δόξαν, καὶ κατακυριεύσει αὐτοῦ ἐπὶ πολὺ, καὶ χώραν ἀπομερεῖ εἰς δωρεάν.

40. Καὶ καθ' ὥραν συντελείας συγκερατισθήσεται αὐτῷ ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐποργισθήσεται αὐτῷ βασιλεὺς Βορρᾶ ἐν ἅρμασι, καὶ ἐν ἵπποις πολλοῖς, καὶ ἐν πλοίοις πολλοῖς, καὶ εἰσελεύσεται εἰς χώραν Αἰγύπτου.

41. Καὶ ἐπελεύσεται εἰς τὴν χώραν μου ✠, καὶ πολλαὶ ✠ σκανδαλισθήσονται, καὶ αὗται σωθήσονται ἀπὸ χειρὸς αὐτοῦ /. Ἐδὼμ, καὶ Μωὰβ, καὶ κεφάλαιον υἱῶν Ἀμμών.

42. Καὶ ἀποστελεῖ χεῖρα αὐτοῦ ἐν ταῖς γαίαις /. καὶ ἐν χώρᾳ Αἰγύπτου οὐκ ἔσται ἐν αὐτῇ διασωζόD μενος.

43. Καὶ κρατήσει τοῦ τόπου τοῦ χρυσίου, καὶ τοῦ τόπου τοῦ ἀργυρίου, καὶ πάσης τῆς ἐπιθυμίας Αἰγύπτου, καὶ Λιβύες καὶ Αἰθίοπες ἔσονται ἐν τῷ ὄχλῳ αὐτοῦ.

44. Καὶ ἀκοὴ ταράξει αὐτὸν ἀπὸ ἀνατολῶν καὶ βορρᾶ· καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυρῷ καὶ ῥομφαίᾳ, ἀφανίσαι καὶ ἀποκτεῖναι πολλούς.

45. Καὶ στήσει αὐτοῦ τὴν σκηνὴν τότε ἀνάμεσον τῶν θαλασσῶν, καὶ τοῦ ὄρους τῆς θελήσεως τοῦ ἁγίου, καὶ ἥξει ὥρα τῆς συντελείας αὐτοῦ, καὶ οὐκ ἔσται ὁ βοηθῶν αὐτῷ.

ΚΕΦΑΛ. ΙΒ'.

1. Καὶ κατὰ τὴν χώραν ἐκείνην παρελεύσεται Μι-

Digitized by Google

χαὴλ ὁ ἄγγελος ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς A gelus magnus, qui stat super filios populi tui : illa
τοῦ λαοῦ σου· ἐκείνη ἡ ἡμέρα θλίψεως, ῥᾳ οὐκ ἐγε- (erit) dies tribulalationis, qualis non facta est, ex
νήθη, ἀφ' οὗ ἐγενήθησαν ἕως τῆς ἡμέρας ἐκείνης. quo factæ sunt (gentes) usque ad diem illam. Et in
Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑψωθήσεται πᾶς ὁ λαὸς, ὃς illa die exaltabitur omnis populus, qui inventus
ἂν εὑρεθῇ ἐγγεγραμμένος ἐν τῷ βιβλίῳ. fuerit inscriptus in libro.

2. Καὶ πολλοὶ τῶν καθευδόντων ἐν τῷ πλάτει τῆς 2. Et multi dormientium in latitudine terræ ex-
γῆς ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς surgent, alii quidem in vitam æternam, alii vero
ὀνειδισμὸν, οἱ δὲ εἰς διασποράν, καὶ αἰσχύνην αἰώ- in opprobrium, alii vero in dispersionem, et confu-
νιον. sionem sempiternam.

3. Καὶ οἱ συνιέντες φανοῦσιν ὡς φωστῆρες τοῦ οὐ- 3. Et intelligentes splendebunt sicut luminaria
ρανοῦ, καὶ οἱ κατισχύοντες τοὺς λόγους μου, ὡσεὶ cœli : et confirmantes sermones meos quasi astra
τὰ ἄστρα τοῦ οὐρανοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. cœli in sæculum sæculi.

4. Καὶ σὺ, Δανιὴλ, κάλυψον τὰ προστάγματα, καὶ 4. Tu autem, Daniel, absconde mandata, et signa
σφράγισαι τὸ βιβλίον ἕως καιροῦ συντελείας, ἕως ἂν librum usque ad tempus consummationis, donec in-
ἀπομανῶσιν οἱ πολλοὶ, καὶ πλησθῇ ἡ γῆ ἀδικίας. saniant multi, et impleatur terra iniquitatis.

5. Καὶ εἶδον ἐγὼ Δανιὴλ, καὶ ἰδοὺ δύο ἕτεροι εἱστή- B 5. Et vidi ego Daniel, et ecce duo alii stabant,
κεισαν, εἷς ἔνθεν τοῦ ποταμοῦ, καὶ εἷς ἔνθεν. unus ab una parte fluminis, et alius ab altera

6. Καὶ εἶπα τῷ ἑνὶ τῷ περιβεβλημένῳ τὰ βύσσινα 6. Et dixi uni, qui indutus erat byssinis, qui sta-
τῷ ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· Πότε οὖν συντέ- bat supra aquam fluminis : Quando igitur consum-
λεια ὧν εἱρηκάς μοι τῶν θαυμαστῶν; + καὶ ὁ κα- matio istorum, quæ dixisti mihi mirabilium, et
θαρισμὸς + τούτων /. mundatio istorum?

7. Καὶ ἤκουσα τοῦ περιβεβλημένου τὰ βύσσινα, ὃς 7. Et audivi eum, qui indutus erat byssinis, qui
ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· Ἕως καιροῦ συν- erat super aquam fluminis : Usque ad tempus con-
τελείας· καὶ ὕψωσε τὴν δεξιὰν καὶ τὴν ἀριστερὰν summationis : et elevavit dextram et sinistram in
εἰς τὸν οὐρανὸν, καὶ ὤμοσε τὸν ζῶντα εἰς τὸν αἰῶνα cœlum, et juravit per viventem in æternum Deum,
Θεὸν, ὅτι εἰς καιρὸν καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ quia in tempus, et tempora, et dimidium temporis
ἡ συντέλεια χειρῶν ἀφέσεως λαοῦ ἁγίου, καὶ συν- consummatio manuum dimissionis populi sancti;
τελεσθήσεται πάντα ταῦτα. et consummabuntur omnia hæc.

8. Καὶ ἐγὼ ἤκουσα, καὶ οὐ διενοήθην παρ' αὐτὸν 8. Et ego audivi, et non intellexi circa ipsum
τὸν καιρὸν, καὶ εἶπα· Κύριε, τίς ἡ λύσις τοῦ λόγου C tempus, et dixi : Domine, quænam solutio sermo-
τούτου, καὶ τίνος αἱ παραβολαὶ αὗται; nis hujus, et cujus parabolæ istæ?

9. Καὶ εἶπέ μοι· Ἀπότρεχε, Δανιὴλ, ὅτι κατακεκα- 9. Et dixit mihi : Revertere, Daniel, quia obtecta
λυμμένα, καὶ ἐσφραγισμένα τὰ προστάγματα, ἕως ἂν et obsignata sunt mandata, quoadusque tententur
πειρασθῶσι καὶ ἁγιασθῶσι πολλοί. et sanctificentur multi.

10. Καὶ ἁμάρτωσιν οἱ ἁμαρτωλοὶ, καὶ οὐ μὴ δια- 10. Et peccent peccatores, et non intelligant om-
νοηθῶσι πάντες οἱ ἁμαρτωλοὶ, καὶ οἱ διανοούμενοι nes peccatores, et intelligentes attendent.
προσέξουσιν.

11. Ἀφ' οὗ ἂν ἀποσταθῇ ἡ θυσία διαπαντὸς, καὶ 11. Ex quo tempore defecerit sacrificium juge, et
ἑτοιμασθῇ δοθῆναι τὸ βδέλυγμα τῆς ἐρημώσεως, paratum fuerit, ut detur abominatio desolationis,
ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. dies mille ducenti nonaginta.

12. Μακάριος ὁ ἐμμένων καὶ συνάξει εἰς ἡμέρας 12. Beatus qui exspectat, et congregabit ad dies
χιλίας τριακοσίας τριάκοντα πέντε. mille trecentos triginta quinque.

13. Καὶ σὺ βάδιζον, ἀναπαύου + ἔτι γὰρ εἰσὶν 13. Tu autem vade, requiesce, adhuc enim sunt
ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συντελείας /. καὶ dies, et horæ ad completionem consummationis.
ἀναπαύσῃ, καὶ ἀναστήσῃ ἐπὶ τὴν δόξαν σου εἰς συν- D Requiesces autem, et resurges super gloriam tuam
τέλειαν ἡμερῶν. in consummatione dierum.

Δανιὴλ κατὰ τοὺς Ο', ἐγράφη ἐξ ἀντιγράφου ἔχον- Daniel juxta LXX descriptus est ab exemplari
τος τὴν ὑποσημείωσιν ταύτην· Ἐγράφη ἐκ τῶν Τε- habente subscriptionem hanc : Descriptus est ex
τραπλῶν ἐξ ὧν καὶ παρετέθη. Tetraplis cum quibus etiam collatus est.

ΚΕΦΑΛ. ΙΓ'

Σουσάννα.

1. ⁂ Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα ⁂ αὐτῷ Ἰωακείμ.

2. ⁂ Καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σουσάννα, θυγά- ⁂ τηρ Χελκίου, καλὴ σφόδρα, καὶ φοβουμένη τὸν ⁂ Κύριον.

3. ⁂ Καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, καὶ ἐδίδαξαν ⁂ τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωϋσῆ.

4. ⁂ Καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν

CAPUT XIII.

Susanna.

1. Et erat vir habitans in Babylone, et nomen ejus Joacim.

2. Et accepit uxorem, cui nomen Susanna, filia Chelciæ pulchra valde, et timens Dominum.

3. Et parentes ejus justi; et docuerunt filiam suam secundum legem Moysi.

4. Erat autem Joacim dives valde, et e

Digitized by Google

rium vicinum domui suæ; et ad ipsum accedebant Judæi, eo quod esset honorabilior omnibus.

5. Et declarati sunt duo seniores de populo judices in anno illo, de quibus loquutus est Dominus: Quia egressa est iniquitas de Babylone a senioribus judicibus, qui videbantur regere populum.

6. Et veniebant controversiæ de aliis civitatibus ad eos.

7. Isti cum viderent mulierem elegantem forma, mulierem fratris sui de filiis Israel nomine Susannam, filiam Chelciæ, uxorem Joacim, deambulantem in pomario viri sui tempore pomeridiano.

8. Et cum concupissent eam.

9. Perverterunt mentem suam, et declinaverunt oculos suos, ne aspicerent in cœlum, neque recordarentur judiciorum justorum.

10. Et ambo erant stimulis agitati erga eam, et alter alteri dissimulabat malitiam, quæ possidebat eos propter ipsam; neque mulier cognoverat rem hanc.

12. Et statim diluculo venientes fallebant se invicem, accelerantes quis appareret ei prior, et loqueretur ad eam.

13. Et ecce ipsa juxta consuetudinem deambulabat, et unus de senioribus venerat; et ecce alius advenit, et unus alium interrogavit, dicens: Quare tu ita mane egressus es, non accipiens me?

14. Et confessi sunt unusquisque inter se dolorem suum.

19. Et dixit unus alteri: Eamus ad eam. Et conjuncti accesserunt ad eam, et vim faciebant in eam.

22. Et dixit illis Judæa: Novi quia si egero hoc, mors mihi est, et si non egero, non effugiam manus vestras.

23. Sed honestius mihi est non facientem incidere in manus vestras, quam peccare in conspectu Domini.

28. Iniqui autem viri reversi sunt comminantes in semetipsis, et insidias parantes, ut morte afficerent eam. Et venerunt ad Synagogam civitatis, ubi habitabant, et consederunt, qui erant ibi omnes filii Israel.

29. Et surgentes duo seniores et judices dixerunt: Mittite ad Susannam filiam Chelciæ, quæ est uxor Joacim. Illi autem statim vocaverunt eam.

30. Ut autem advenit mulier cum patre suo, et matre, et servi, et ancillæ ejus, cum essent numero quinquaginta, adfuerunt et filioli Susannæ quatuor.

31. Erat autem mulier delicata nimis.

32. Et jusserunt iniqui discooperiri eam, ut satiarentur decore concupiscentiæ ejus.

33. Et fleverunt sui omnes, et qui eam noverant omnes.

A ⁂ αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ· καὶ ⁂ πρὸς αὐτὴν προσήγοντο οἱ Ἰουδαῖοι, διὰ τὸ εἶναι ⁂ αὐτὸν ἐνδοξότερον πάντων.

5. ⁂ Καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ ⁂ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ /. περὶ ὧν ἐλάλησεν ὁ Δεσπότης· Ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἱ ἐδόκουν κυβερνᾶν τὸν λαόν.

6. Καὶ ἤρχοντο κρίσεις ἐξ ἄλλων πόλεων πρὸς αὐτούς.

7. Οὗτοι ἰδόντες γυναῖκα ἀστείαν τῷ εἴδει, γυναῖκα ἀδελφοῦ αὐτῶν ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄνομα Σουσάνναν, θυγατέρα Χελκίου, γυναῖκα Ἰωακείμ, περιπατοῦσαν ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς τὸ δειλινόν.

B 8. Καὶ ἐπιθυμήσαντες αὐτῆς.

9. Διέστρεψαν τὸν νοῦν αὐτῶν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανόν, μηδὲ μνημονεύειν κριμάτων δικαίων.

10. Καὶ ἀμφότεροι ἦσαν κατανενυγμένοι περὶ αὐτῆς, καὶ ἕτερος τῷ ἑτέρῳ οὐ προσεποιεῖτο τὸ κακὸν τὸ ἔχον αὐτοὺς περὶ αὐτῆς, οὐδὲ ἡ γυνὴ ἔγνω τὸ πρᾶγμα τοῦτο.

12. Καὶ ὡς ἐγίνετο ὄρθρος, ἐρχόμενοι ἔκλεπτον ἀλλήλους σπεύδοντες, τίς φανήσεται αὐτῇ πρότερος. καὶ λαλήσει πρὸς αὐτήν.

13. Καὶ ἰδοὺ αὕτη κατὰ τὸ εἰωθὸς περιεπάτει· καὶ ὁ εἷς τῶν πρεσβυτέρων ἐληλύθει, καὶ ἰδοὺ ὁ ἕτερος παρεγένετο, καὶ εἷς τὸν ἕτερον ἀνέκρινε, λέγων· Τί C σὺ οὕτως ὄρθρου ἐξῆλθες οὐ παραλαβών με;

14. Καὶ ἐξωμολογήσαντο πρὸς ἀλλήλους ἑκάτερος τὴν ὀδύνην αὐτοῦ.

19. Καὶ εἶπεν τὶς τῷ ἑτέρῳ· Πορευθῶμεν πρὸς αὐτήν. Καὶ συνθέμενοι προσήλθοσαν αὐτῇ, καὶ ἐξεβιάζοντο αὐτήν.

22. Καὶ εἶπεν αὐτοῖς ἡ Ἰουδαΐα· Οἶδα, ὅτι ἐὰν πράξω τοῦτο, θάνατός μοι ἐστί· καὶ ἐὰν μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.

23. Κάλλιον δέ με μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου.

28. Οἱ δὲ παράνομοι ἄνδρες ἀπέστρεψαν ἀπειλοῦντες ἐν ἑαυτοῖς, καὶ ἐνεδρεύοντες, ἵνα θανατώσουσιν αὐτήν· καὶ ἐλθόντες ἐπὶ τὴν Συναγωγὴν τῆς πόλεως D οὗ παρῴκουν, καὶ συνήδρευσαν οἱ ὄντες ἐκεῖ πάντες οἱ υἱοὶ Ἰσραήλ.

29. Καὶ ἀναστάντες οἱ δύο πρεσβύτεροι καὶ κριταὶ εἶπαν· Ἀποστείλατε ἐπὶ Σουσάνναν θυγατέρα Χελκίου, ἥτις ἐστὶ γυνὴ Ἰωακείμ. Οἱ δὲ εὐθέως ἐκάλεσαν αὐτήν.

30. Ὡς δὲ παρεγενήθη ἡ γυνὴ σὺν τῷ πατρὶ ἑαυτῆς, καὶ τῇ μητρὶ, καὶ οἱ παῖδες, καὶ αἱ παιδίσκαι αὐτῆς ὄντες τὸν ἀριθμὸν πεντηκοστοὶ, παρεγένοντο καὶ τὰ παιδία Σουσάννας τέσσαρα.

31. Ἦν δὲ ἡ γυνὴ τρυφερὰ σφόδρα.

32. Καὶ προσέταξαν οἱ παράνομοι ἀποκαλύψαι αὐτήν, ἵνα ἐμπλησθῶσι κάλλους ἐπιθυμίας αὐτῆς.

33. Καὶ ἐκλαίοσαν οἱ παρ' αὐτῆς πάντες, καὶ ὅσοι αὐτὴν ᾔδεισαν πάντες.

Digitized by Google

34. Ἀναστάντες δὲ οἱ πρεσβύτεροι καὶ κριταὶ A ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς κεφαλῆς αὐτῆς.

35. Ἡ δὲ καρδία αὐτῆς ἐπεποίθει ἐπὶ Κυρίῳ τῷ Θεῷ αὐτῆς, καὶ ἀνακύψασα, ἔκλαυσεν ἐν αὐτῇ λέγουσα· Κύριε ὁ Θεὸς ὁ αἰώνιος, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ οἶδας, ὅτι οὐκ ἐποίησα ἃ πονηρεύονται οἱ ἄνομοι οὗτοι ἐπ' ἐμοί. Καὶ εἰσήκουσε Κύριος τῆς δεήσεως αὐτῆς.

36. Οἱ δὲ δύο πρεσβύτεροι εἶπαν· Ἡμεῖς περιπατοῦμεν ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς.

37. Καὶ κυκλοῦντες τὸ στάδιον, εἴδομεν ταύτην ἀναπαυομένην μετὰ ἀνδρὸς, καὶ στάντες ἐθεωροῦμεν αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις.

38. Καὶ αὐτοὶ οὐκ ᾔδεισαν, ὅτι εἰστήκειμεν· τότε συνεπάμεθα ἀλλήλοις λέγοντες· Μάθωμεν τίνες εἰσὶν οὗτοι. B

39. Καὶ προσελθόντες ἐπέγνωμεν αὐτήν· ὁ δὲ νεανίσκος ἔφυγε συγκεκαλυμμένος.

40. Ταύτης δὲ ἐπιλαβόμενοι, ἐπηρωτῶμεν αὐτὴν, τίς ὁ ἄνθρωπος, καὶ οὐκ ἀπήγγειλεν ἡμῖν τίς ἦν. Ταῦτα μαρτυροῦμεν.

41. Καὶ ἐπίστευσεν αὐτοῖς ἡ Συναγωγὴ πᾶσα, ὡς πρεσβυτέρων ὄντων καὶ κριτῶν τοῦ λαοῦ.

45. Καὶ ἰδοὺ ἄγγελος Κυρίου, ἐκείνης ἐξαγομένης ἀπολέσθαι, καὶ ἔδωκεν ὁ ἄγγελος, καθὼς προσετάγη, πνεῦμα συνέσεως νεωτέρῳ ὄντι Δανιήλ.

48. Διαστείλας δὲ Δανιὴλ τὸν ὄχλον, καὶ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν· Οὕτως, μωροὶ υἱοὶ Ἰσραὴλ, οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες, ἀπεκτείνατε θυγατέρα Ἰσραήλ; C

51. Καὶ νῦν διαχωρίσατέ μοι αὐτοὺς ἀπ' ἀλλήλων μακράν, ἵνα ἐτάσω αὐτούς· ὡς δὲ διεχωρίσθησαν, εἶπεν Δανιὴλ τῇ συναγωγῇ· Νῦν μὴ βλέψητε, ὅτι οὗτοι εἰσὶ πρεσβύτεροι, λέγοντες· Οὐ μὴ ψεύσωνται, ἀλλὰ ἀνακρινῶ αὐτοὺς κατὰ τὰ ὑποπίπτοντά μοι.

52. Καὶ ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ προσήγαγον τὸν πρεσβύτερον τῷ νεωτέρῳ, καὶ εἶπεν αὐτῷ Δανιήλ· Ἄκουε, ἄκουε, πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασί σου αἱ ἁμαρτίαι ἃς ἐποίεις τὸ πρότερον.

53. Πιστευθεὶς ἀκούειν, καὶ κρίνειν κρίσεις θάνατον ἐπιφερούσας, καὶ τὸν μὲν ἀθῶον κατέκρινας, τοὺς δὲ ἐνόχους ἠφίεις, τοῦ Κυρίου λέγοντος· Ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς.

54. Νῦν οὖν ὑπὸ τί δένδρον, καὶ ποταπῷ τοῦ παραδείσου τόπῳ ἑώρακας αὐτοὺς ὄντας σὺν ἑαυτοῖς; Καὶ εἶπεν ὁ ἀσεβής· Ὑπὸ σχῖνον. D

55. Εἶπεν δὲ ὁ νεώτερος· Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ ψυχήν· ὁ γὰρ ἄγγελος Κυρίου σχίσει σου τὴν ψυχὴν σήμερον.

56. Καὶ τοῦτον μεταστήσας εἶπε προσαγαγεῖν αὐτῷ τὸν ἕτερον· καὶ τούτῳ δὲ εἶπεν· Διὰ τί διεστραμμένον τὸ σπέρμα σου ὡς Σιδῶνος, καὶ οὐχ ὡς Ἰούδα; τὸ κάλλος σὲ ἠπάτησεν, ἡ μικρὰ ἐπιθυμία.

57. Καὶ οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραήλ· καὶ ἐκεῖναι φοβούμεναι, ὡμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν νόσον ὑμῶν ἐν ἀνομίᾳ ὑπενεγκεῖν.

58. Νῦν οὖν λέγε μοι· Ὑπὸ τί δένδρον, καὶ ἐν ποίῳ

34. Consurgentes autem seniores et judices imposuerunt manus suas super caput ejus.

35. Cor autem ejus fiduciam habebat in Domino Deo suo, et suspiciens flevit in seipsa, dicens: Domine Deus æterne, qui nosti omnia antequam fierent, tu scis, quia non feci, quæ malitiose componunt iniqui isti in me. Et exaudivit Dominus deprecationem ejus.

36. Duo autem seniores dixerunt: Nos deambulabamus in pomario viri ejus.

37. Et circumeuntes stadium, vidimus hanc quiescentem cum viro, et stantes contemplabamur eos consuetudinem habentes inter se.

38. Et ipsi non noverant, quod adstaremus; tunc simul loquuti sumus ad invicem dicentes: Deprehendamus qui sunt isti.

39. Et accedentes cognovimus eam; adolescens vero fugit coopertus.

40. Hanc autem cum apprehendissemus, interrogavimus eam, quisnam esset homo, et non indicavit nobis quis erat: hæc testamur.

41. Et credidit eis Synagoga omnis, eo quod essent presbyteri et judices populi.

45. Et ecce angelus Domini, cum adduceretur illa, ut periret: et dedit angelus, sicut mandatum erat, spiritum intelligentiæ adolescentulo, qui erat Daniel.

48. Cum autem Daniel separaret turbam, et staret in medio eorum, ait: Sic, stulti filii Israel, non interrogantes, neque quod manifestum est cognoscentes, morte multatis filiam Israel?

51. Et nunc separate mihi eos ab invicem procul, ut examinem eos. Postquam autem separati sunt, dixit Daniel multitudini: Nunc ne respiciatis, quia isti sunt presbyteri, dicentes, Non mentiuntur, sed interrogabo eos juxta ea, quæ mihi se offerunt.

52. Et vocavit unum ex eis, et adduxerunt seniorem adolescentulo, et dixit ei Daniel: Audi, audi, inveterate dierum malorum, nunc venerunt peccata, quæ faciebas antea.

53. Cum tibi commissum fuerit audire, et discernere judicia mortem afferentia, et innocentem quidem condemnasti, reos autem dimittebas, dicente Domino: Innocentem et justum non interficies.

54. Nunc igitur sub qua arbore, et quali pomarii loco vidisti eos secum commorantes? Et dixit impius: Sub schino.

55. Dixit autem adolescentulus: Recte mentitus es in animam tuam, angelus autem Domini scindet animam tuam hodie.

56. Et cum hunc removisset, dixit, ut adducerent sibi alterum, sed et huic ait: Quare perversum est semen tuum sicut Sidonis, et non sicut Juda? species seduxit te, parva concupiscentia.

57. Et sic faciebatis filiabus Israel, et illæ timentes conversabantur vobiscum: sed filia Juda non sustinuit morbum vestrum in iniquitate sufferre.

58. Nunc ergo dic mihi: Sub qua arbore, et in

Digitized by Google

quali loco horti comprehendisti eos inter se consuetudinem habentes? Qui vero ait, Sub prino.

59. Dixitque Daniel : Inique, nunc angelus Domini stetit gladium habens, ut dissecet te, donec populus exterminaverit vos.

60. Et omnis synagoga exclamavit super adolescentulum ; quia ex ore proprio convicit eos ambos confessos falsos testes.

61. Et ut lex præcipit, fecerunt eis, quemadmodum improbe egerunt in sororem.

62. Et colligaverunt eos capistro, et abducentes projecerunt in vallem. Eodem tempore angelus Domini immisit ignem inter eos, et salvatus est sanguis innoxius in die illa.

63. Ideo juniores dilecti sunt Jacobo in simplicitate sua.

64. Et nos attendamus ad filios potentes juniores: pietatem enim exercebunt juniores, et erit in eis spiritus scientiæ et intelligentiæ in sæculum sæculi.

CAPUT XIV.

Ex Prophetia Ambacum filii Jesu de tribu Levi.

1. Homo quidam erat sacerdos, cui nomen Daniel, filius Abal, conviva regis Babylonis.

2. Et erat idolum Bel, quod colebant Babylonii : impendebantur autem in eo per singulos dies similæ artabæ duodecim, et oves quatuor, et olei metretæ sex.

3. Et rex colebat eum, et ibat rex per singulos dies, eumque adorabat. Daniel autem orabat ad Dominum. Dixitque rex Danieli : Quare non adoras Bel?

4. Et dixit Daniel ad regem : Neminem colo ego, nisi Dominum Deum, qui creavit cœlum et terram, et habet omnis carnis dominationem.

5. Dixit autem rex ei : Hic igitur non est Deus? non vides quanta in eum consumantur per singulos dies?

6. Et dixit ei Daniel : Nequaquam, nullus te decipiat : hic enim intrinsecus quidem luteus est, forinsecus autem æreus ; juro vero tibi per Dominum Deum deorum, quod nihil comedit unquam iste.

7. Et iratus rex vocavit præfectos templi, et dixit eis : Indicate illum, qui comedit, quæ parantur Bel, secus vero moriemini.

8. Aut Daniel, qui asseverat non comedi hæc ab eo. Illi autem dixerunt : Ipse Bel est, qui devorat ista. Daniel autem dixit ad regem : Fiat ita; nisi ostendero, quod non sit Bel, qui manducat ista, moriar ego, et omnes mei.

9. Erant autem sacerdotes Bel septuaginta absque uxoribus et filiis. Duxerunt autem regem ad delubrum idoli.

10. Et appositæ sunt escæ in conspectu regis et Danielis ; et vinum mixtum introductum est, et appositum est Belo.

A τοῦ κήπου τόπῳ κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; Ὁ δὲ εἶπεν· Ὑπὸ πρῖνον.

59. Καὶ εἶπεν Δανιήλ· Ἁμαρτωλέ, νῦν ὁ ἄγγελος Κυρίου τὴν ῥομφαίαν ἔστηκεν ἔχων, ἕως ὁ λαὸς ἐξολοθρεύσει ὑμᾶς, ἵνα καταπρίσῃ σε.

60. Καὶ πᾶσα ἡ συναγωγὴ ἀνεβόησεν ἐπὶ τῷ νεωτέρῳ, ὡς ἐκ τοῦ ἰδίου στόματος ὁμολόγους αὐτοὺς κατέστησεν ἀμφοτέρους ψευδομάρτυρας.

61. Καὶ ὡς ὁ νόμος διαγορεύει, ἐποίησαν αὐτοῖς, καθὼς ἐπονηρεύσαντο κατὰ τῆς ἀδελφῆς.

62. Καὶ ἐφίμωσαν αὐτοὺς, καὶ ἐξαγαγόντες ἔρριψαν εἰς φάραγγα· τότε ὁ ἄγγελος Κυρίου ἔρριψε πῦρ διὰ μέσου αὐτῶν, καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

63. Διὰ τοῦτο οἱ νεώτεροι ἀγαπητοὶ Ἰακὼβ ἐν τῇ B ἁπλότητι αὐτῶν.

64. Καὶ ἡμεῖς φυλασσώμεθα εἰς υἱοὺς δυνατοὺς νεωτέρους· εὐσεβήσουσι γὰρ νεώτεροι, καὶ ἔσται ἐν αὐτοῖς πνεῦμα ἐπιστήμης καὶ συνέσεως εἰς αἰῶνα αἰῶνος.

ΚΕΦΑΛ. ΙΔ'.

Ἐκ προφητείας Ἀμβακοὺμ υἱοῦ Ἰησοῦ ἐκ τῆς φυλῆς Λευΐ.

1. Ἄνθρωπός τις ἦν ἱερεὺς, ᾧ ὄνομα Δανιὴλ, υἱὸς Ἀβαλ, συμβιωτὴς τοῦ βασιλέως Βαβυλῶνος.

2. Καὶ ἦν εἴδωλον Βὴλ, ὃ ἐσέβοντο οἱ Βαβυλώνιοι· ἀνηλίσκετο δὲ αὐτῷ καθ' ἑκάστην ἡμέραν σεμιδάλεως ἀρτάβαι δεκαδύο, καὶ πρόβατα τέσσαρα, καὶ ἐλαίου μετρηταὶ ἕξ.

3. Καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν, καὶ ἐπορεύετο ὁ C βασιλεὺς καθ' ἑκάστην ἡμέραν, καὶ προσεκύνει αὐτῷ. Δανιὴλ δὲ προσηύχετο πρὸς Κύριον, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Διατί οὐ προσκυνεῖς τῷ Βήλ;

4. Καὶ εἶπε Δανιὴλ πρὸς τὸν βασιλέα· Οὐδένα σέβομαι ἐγὼ, εἰ μὴ Κύριον τὸν Θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν.

5. Εἶπεν δὲ ὁ βασιλεὺς αὐτῷ· Οὗτος οὖν οὐκ ἔστι Θεός; οὐχ ὁρᾷς ὅσα εἰς αὐτὸν δαπανᾶται καθ' ἑκάστην ἡμέραν;

6. Καὶ εἶπεν αὐτῷ Δανιήλ· Μηδαμῶς, μηδείς σε παραλογιζέσθω· οὗτος γὰρ ἔσωθεν μὲν πήλινός ἐστιν, ἔξωθεν δὲ χαλκοῦς· ὀμνύω δέ σοι Κύριον τὸν Θεὸν τῶν θεῶν, ὅτι οὐθὲν βέβρωκε πώποτε οὗτος.

7. Καὶ θυμωθεὶς ὁ βασιλεὺς ἐκάλεσε τοὺς προεστη- D κότας τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτοῖς· Παραδείξατε τὸν ἐσθίοντα τὰ παρασκευαζόμενα τῷ Βήλ· εἰ δὲ μή γε, ἀποθανεῖσθε.

8. Ἢ Δανιὴλ ὁ φάσκων μὴ ἐσθίεσθαι αὐτὰ ὑπ' αὐτοῦ. Οἱ δὲ εἶπαν· Αὐτὸς ὁ Βὴλ ἐστιν ὁ κατεσθίων αὐτά. Εἶπε δὲ Δανιὴλ πρὸς τὸν βασιλέα· Γινέσθω οὕτως· ἐὰν μὴ παραδείξω, ὅτι οὐκ ἔστιν ὁ Βὴλ ὁ κατεσθίων ταῦτα, ἀποθανοῦμαι, καὶ πάντες οἱ παρ' ἐμοί.

9. Ἦσαν δὲ τῷ Βὴλ ἱερεῖς ἑβδομήκοντα χωρὶς γυναικῶν καὶ τέκνων· ἦγαγον δὲ τὸν βασιλέα εἰς τὸ εἰδωλεῖον.

10. Καὶ παρετέθη τὰ βρώματα ἐνώπιον τοῦ βασιλέως καὶ τοῦ Δανιήλ· καὶ οἶνος κερασθεὶς εἰσηνέχθη, καὶ παρετέθη τῷ Βήλ.

Digitized by Google

11. Καὶ εἶπεν Δανιὴλ· Σὺ αὐτὸς ὁρᾷς, ὅτι κεῖται A ταῦτα, βασιλεῦ.

12. Σὺ οὖν ἐπισφραγίσεις τὰς κλεῖδας τοῦ ναοῦ, ἐπὰν κλεισθῇ· ἤρεσε δὲ ὁ λόγος τῷ βασιλεῖ.

13. Ὁ δὲ Δανιὴλ ἐκέλευσε τοὺς παρ' αὐτοῦ, ἐκβαλόντας πάντας ἐκ τοῦ ναοῦ, καταστῆσαι ὅλον τὸν ναὸν σποδῷ, οὐδενὸς τῶν ἐκτὸς αὐτοῦ εἰδότος. Καὶ τότε σφραγισάμενος τὸν ναὸν ἐκέλευσε σφραγίσαι τῷ τοῦ βασιλέως δακτυλίῳ, καὶ τοῖς δακτυλίοις τινῶν ἐνδόξων ἱερέων· καὶ ἐγένετο οὕτως.

14. Καὶ ἐγένετο, τῇ ἐπαύριον παρεγένοντο ἐπὶ τὸν τόπον· οἱ δὲ ἱερεῖς τοῦ Βὴλ διὰ ψευδοθυρίδων εἰσελθόντες, κατεφάγοσαν πάντα τὰ παρακείμενα τῷ Βὴλ, καὶ ἐξέπιον τὸν οἶνον.

15. Καὶ εἶπεν Δανιὴλ· Ἐπίδετε τὰς σφραγῖδας ὑμῶν, εἰ μένουσιν, ἄνδρες ἱερεῖς· καὶ σὺ δὲ, βασιλεῦ, B σκέψαι, μή τί σοι ἀσύμφωνον γεγένηται.

16. Καὶ εὗρον ὡς ἦν σφραγὶς, καὶ ἀπέβαλον τὴν σφραγῖδα.

17. Καὶ ἀνοίξαντες τὰς θύρας, εἶδοσαν δεδαπανημένα πάντα τὰ παρατεθέντα, καὶ τὰς τραπέζας κενάς· καὶ ἐχάρη ὁ βασιλεὺς, καὶ εἶπεν πρὸς τὸν Δανιὴλ· Μέγας ἐστὶν ὁ Βὴλ, καὶ οὐκ ἔστι παρ' αὐτῷ δόλος.

18. Καὶ ἐγέλασε Δανιὴλ σφόδρα, καὶ εἶπεν τῷ βασιλεῖ· Δεῦρο ἴδε τὸν δόλον τῶν ἱερέων. Καὶ εἶπεν Δανιὴλ· Βασιλεῦ, ταῦτα τὰ ἴχνη τίνος ἐστί;

19. Καὶ εἶπεν ὁ βασιλεύς· Ἀνδρῶν, καὶ γυναικῶν, καὶ παιδίων.

20. Καὶ ἐπῆλθεν ἐπὶ τὸν οἶκον ἐν ᾧ ἦσαν οἱ ἱερεῖς καταγινόμενοι, καὶ εὗρε τὰ βρώματα τοῦ Βὴλ, καὶ C τὸν οἶνον, καὶ ἐπέδειξε Δανιὴλ τῷ βασιλεῖ τὰ ψευδοθύρια, δι' ὧν εἰσπορευόμενοι οἱ ἱερεῖς, ἐδαπάνων τὰ παρατιθέμενα τῷ Βήλ.

21. Καὶ ἐξήγαγεν αὐτοὺς ὁ βασιλεὺς ἐκ τοῦ Βηλίου, καὶ παρέδωκεν αὐτοὺς τῷ Δανιὴλ, καὶ τὴν δαπάνην τὴν εἰς αὐτὸν ἔδωκε τῷ Δανιὴλ· τὸν δὲ Βὴλ κατέστρεψε.

22. Καὶ ἦν δράκων ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐσέβοντο οἱ Βαβυλώνιοι.

23. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιὴλ· Μὴ καὶ τοῦτον ἐρεῖς, ὅτι χαλκοῦς ἐστιν; ἰδοὺ ζῇ, καὶ ἐσθίει, καὶ πίνει, προσκύνησον αὐτῷ.

25. Καὶ εἶπεν Δανιὴλ· Βασιλεῦ, δός μοι τὴν ἐξουσίαν, καὶ ἀνελῶ τὸν δράκοντα ἄνευ σιδήρου καὶ D ῥάβδου. Καὶ συνεχώρησεν αὐτῷ ὁ βασιλεὺς, καὶ εἶπεν αὐτῷ· Δέδοταί σοι.

26. Καὶ λαβὼν Δανιὴλ πίσσης μνᾶς τριάκοντα, καὶ στέαρ, καὶ τρίχας, ἥψησεν ἐπὶ τὸ αὐτὸ, καὶ ἐποίησε μάζαν, καὶ ἐνέβαλεν εἰς τὸ στόμα τοῦ δράκοντος, καὶ φαγὼν διερράγη, καὶ ἔδειξεν αὐτὸν τῷ βασιλεῖ, λέγων· Οὐ ταῦτα σέβεσθε, βασιλεῦ;

27. Καὶ συνήχθησαν οἱ ἀπὸ τῆς χώρας πάντες ἐπὶ τὸν Δανιὴλ, καὶ εἶπαν· Ἰουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέστρεψε, καὶ τὸν δράκοντα ἀπέκτεινε.

29. Καὶ ἰδὼν ὁ βασιλεὺς, ὅτι ἐπισυνήχθη ὁ ὄχλος τῆς χώρας ἐπ' αὐτὸν, ἐκάλεσε τοὺς συμβιωτὰς αὐτοῦ, καὶ εἶπεν· Δίδωμι τὸν Δανιὴλ εἰς ἀπώλειαν.

11. Et dixit Daniel : Tu ipse vides, quia proposita sunt ista, rex.

12. Tu ergo obsignabis claves templi, postquam clausum fuerit. Placuit autem sermo regi.

13. Daniel vero jussit his, qui cum eo erant, ut ejectis omnibus de templo, conspergerent cinerem per totum templum, nemine eorum, qui foris erant, sciente. Et eodem tempore clauso templo præcepit, ut obsignarent annulo regis, et annulis quorumdam insignium sacerdotum ; et factum est ita.

14. Et factum est, postero die venerunt ad locum : sacerdotes autem Bel per falsas fores ingressi, comederunt omnia, quæ parata fuerant Bel, et biberunt vinum.

15. Et dixit Daniel : Inspicite sigilla vestra, an maneant, viri sacerdotes : sed etiam tu, rex, considera, ne quid tibi contrarium factum fuerit.

16. Et invenerunt sicut erat signaculum, et abjecerunt sigillum.

17. Et aperientes januas, viderunt absumpta omnia, quæ apposita fuerant, et mensas vacuas ; et gavisus est rex, et dixit ad Danielem : Magnus est Bel, et non est in eo dolus.

18. Et risit Daniel vehementer ; et dixit regi : Accede, vide dolum sacerdotum. Et dixit Daniel : Rex, hæc vestigia cujus sunt ?

19. Et dixit rex : Virorum, et mulierum, et puerorum.

20. Et abiit in domum, in qua sacerdotes versabantur, et invenit escas Belis, et vinum ; et indicavit Daniel regi falsas fores, per quas ingredientes sacerdotes absumebant quæ apponebantur Bel.

21. Et ejecit eos rex de templo Bel, et tradidit eos Danieli, et impensam, quæ in eum erogabatur, dedit Danieli ; Bel autem evertit.

22. Et erat draco in ipso loco, et colebant Babylonii.

23. Et dixit rex Danieli : Numquid et hunc dices, quod æreus sit ? ecce vivit, comedit, et bibit, adora eum.

25. Et dixit Daniel : Rex, da mihi potestatem, et interficiam draconem absque ferro et fuste. Et permisit ei rex ; et dixit ei : Data est tibi.

26. Et accipiens Daniel picis mnas triginta, et adipem, et pilos, coxit omnia simul, et fecit massam, et misit in os draconis, et comedens disruptus est, et ostendit eum regi, dicens : Nonne hæc colitis, rex ?

27. Et congregati sunt de regione omnes adversus Danielem, et dixerunt : Judæus factus est rex. Bel evertit, et draconem interfecit.

29. Et videns rex, quod congregata esset multitudo regionis adversus [illegible] convivas suos, et dixit : Trado Da [illegible] m.

Digitized by Google

31. Erat autem lacus, in quo nutriebantur leones septem, quibus tradebantur insidiatores regis, et subministrabantur eis quotidie condemnatorum duo corpora.

30. Et injecerunt Danielem turbæ in illum lacum, ut devoraretur, et neque sepulturæ compos fieret. Et erat in lacu Daniel diebus sex.

32. Et factum est in die sexta, et erat Ambacum habens panes intritos in alveolo in pulmento, et vas vini mixti, et ibat in campum ad messores.

33. Et loquutus est angelus Domini ad Ambacum, dicens : Hæc tibi dicit Dominus Deus : Prandium, quod habes, affer Danieli in lacum leonum in Babylone.

34. Et dixit Ambacum : Domine Deus, non vidi Babylonem, et lacum nescio ubi sit.

35. Et apprehendens ipsum Ambacum angelus Domini coma capitis ejus, posuit eum super lacum, qui erat Babylone.

36. Et dixit Ambacum ad Danielem : Surgens comede prandium, quod misit tibi Dominus Deus.

37. Et ait Daniel : Recordatus est enim mei Dominus Deus, qui non dereliquit diligentes se.

38. Et comedit Daniel. Angelus autem Domini restituit Ambacum, unde ipsum assumpserat eadem die : Dominus vero Deus recordatus est Danielis.

39. Porro egressus est rex post hæc plorans Danielem, et inspiciens in lacum, videt eum sedentem.

40. Et exclamans ait rex : Magnus est Dominus Deus, et non est præter eum alius.

41. Et eduxit rex Danielem de lacu, et auctores perditionis ejus immisit in lacum in conspectu Danielis, et devorati sunt.

31. Ἦν δὲ λάκκος ἐν ᾧ ἐτρέφοντο λέοντες ἑπτά, οἷς παρεδίδοντο οἱ ἐπίβουλοι τοῦ βασιλέως, καὶ ἐχορηγεῖτο αὐτοῖς καθ' ἑκάστην ἡμέραν τῶν ἐπιθανατίων σώματα δύο.

30. Καὶ ἐνεβάλοσαν τὸν Δανιὴλ οἱ ὄχλοι εἰς ἐκεῖνον τὸν λάκκον, ἵνα καταβρωθῇ, καὶ μηδὲ ταφῆς τύχῃ. Καὶ ἦν ἐν τῷ λάκκῳ Δανιὴλ ἡμέρας ἓξ.

32. Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἕκτῃ, καὶ ἦν Ἀμβακοὺμ ἔχων ἄρτους ἐντεθρυμμένους ἐν σκάφῃ ἐν ἐψήματι, καὶ στάμνον οἴνου κεκερασμένου, καὶ ἐπορεύετο εἰς τὸ πεδίον πρὸς τοὺς θεριστάς.

33. Καὶ ἐλάλησεν ἄγγελος Κυρίου πρὸς Ἀμβακοὺμ, λέγων· Τάδε λέγει σοὶ Κύριος ὁ Θεός· Τὸ ἄριστον ὃ ἔχεις, ἀπένεγκε Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων ἐν Βαβυλῶνι.

34. Καὶ εἶπεν Ἀμβακοὺμ· Κύριε ὁ Θεός, οὐχ ἑώρακα τὴν Βαβυλῶνα, καὶ τὸν λάκκον οὐ γινώσκω ποῦ ἐστι.

35. Καὶ ἐπιλαβόμενος αὐτοῦ ὁ ἄγγελος Κυρίου τοῦ Ἀμβακοὺμ τῆς κόμης αὐτοῦ τῆς κεφαλῆς, ἔθηκεν αὐτὸν ἐπάνω τοῦ λάκκου τοῦ ἐν Βαβυλῶνι.

36. Καὶ εἶπεν Ἀμβακοὺμ πρὸς Δανιὴλ· Ἀναστὰς φάγε τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι Κύριος ὁ Θεός.

37. Καὶ εἶπεν Δανιὴλ· Ἐμνήσθη γάρ μου Κύριος ὁ Θεὸς, ὁ μὴ ἐγκαταλείπων τοὺς ἀγαπῶντας αὐτόν.

38. Καὶ ἔφαγε Δανιήλ. Ὁ δὲ ἄγγελος Κυρίου κατέστησε τὸν Ἀμβακοὺμ ὅθεν αὐτὸν ἔλαβε τῇ αὐτῇ ἡμέρᾳ· ὁ δὲ Κύριος ὁ Θεὸς ἐμνήσθη τοῦ Δανιήλ.

39. Ἐξῆλθε δὲ ὁ βασιλεὺς μετὰ ταῦτα πενθῶν τὸν Δανιὴλ, καὶ ἐγκύψας εἰς τὸν λάκκον, ὁρᾷ αὐτὸν καθήμενον.

40. Καὶ ἀναβοήσας, εἶπεν ὁ βασιλεύς· Μέγας ἐστὶ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔστιν πλὴν αὐτοῦ ἄλλος.

41. Καὶ ἐξήγαγεν ὁ βασιλεὺς τὸν Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ τοὺς αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον ἐνώπιον τοῦ Δανιὴλ, καὶ κατεβρώθησαν.

DANIEL
JUXTA THEODOTIONEM.
CAPUT I.

1. In anno tertio regni Joakim regis Juda, venit Nabuchodonosor rex Babylonis in Jerusalem, et obsidebat eam.

2. Et dedit Dominus in manu ejus Joakim regem Juda, et de parte vasorum domus Dei : et asportavit ea in terram Senaar in domum dei sui, et vasa intulit in domum thesauri dei sui.

3. Et dixit rex Asphanex præposito eunuchorum suorum, ut introduceret de filiis captivitatis filiorum Israel, et de semine regni, et de phorthommin.

4. Pueros, in quibus non est in eis macula, pulchros specie, et intelligentes in omni sapientia, et scientes scientiam, et cogitantes prudentiam, et quibus est robur in eis standi in domo regis, et ut doceret eos litteras, et linguam Chaldæorum.

5. Et constituit eis rex dimensum diurnum,

ΔΑΝΙΗΛ
ΚΑΤΑ ΤΟΝ ΘΕΟΔΟΤΙΩΝΑ.
ΚΕΦΑΛΑΙΟΝ Α'.

1. Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Ἰωακεὶμ, βασιλέως Ἰούδα, ἦλθε Ναβουχοδονόσορ, βασιλεὺς Βαβυλῶνος, εἰς Ἱερουσαλὴμ, καὶ ἐπολιόρκει αὐτήν.

2. Καὶ ἔδωκε Κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ἰωακεὶμ, βασιλέα Ἰούδα, καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ Θεοῦ, καὶ ἤνεγκε αὐτὰ εἰς γῆν Σεναὰρ τὸν οἶκον τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον τοῦ θησαυροῦ τοῦ θεοῦ αὐτοῦ.

3. Καὶ εἶπεν ὁ βασιλεὺς Ἀσφανὲξ τῷ ἀρχιευνούχῳ αὐτοῦ, εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας, καὶ ἀπὸ τῶν φορθομμείν.

4. Νεανίσκους, ἐν οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καὶ καλοὺς τῇ ὄψει, καὶ συνιόντας ἐν πάσῃ σοφίᾳ, καὶ γινώσκοντας γνῶσιν, καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς τοῦ ἑστάναι ἐν τῷ οἴκῳ τοῦ βασιλέως, καὶ τοῦ διδάσκειν αὐτοὺς γράμματα, καὶ γλῶσσαν Χαλδαίων.

5. Καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας

Digitized by Google

καθ' ἡμέραν, ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως, καὶ ἀπὸ τοῦ οἴνου τοῦ ποτοῦ αὐτοῦ, καὶ ἐκθρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ ταῦτα στῆναι αὐτοὺς ἐνώπιον τοῦ βασιλέως.

A quotidie de mensa regis, et de vino potus ipsius, ut nutriret eos annis tribus, et postea starent ipsi coram rege.

6. Καὶ ἐγένοντο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα Δανιὴλ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαήλ.

6. Et fuerunt in eis de filiis Juda Daniel, et Ananias, et Azarias, et Misael.

7. Καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ Δανιὴλ Βαλτάσαρ, καὶ τῷ Ἀνανίᾳ Σεδράχ, καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγὼ, καὶ τῷ Μισαὴλ Μισάχ.

7. Et imposuit eis præpositus eunuchorum nomina; Danieli Baltasar; et Ananiæ Sedrach; et Azariæ Abdenago; et Misaeli Misach.

8. Καὶ ἔθετο Δανιὴλ ἐπὶ τὴν καρδίαν αὐτοῦ τοῦ μὴ ἀλισγηθῆναι ἐν τῇ τραπέζῃ τοῦ βασιλέως, καὶ ἐν τῷ οἴνῳ τοῦ ποτοῦ αὐτοῦ· καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον, ὅπως μὴ ἀλισγηθῇ.

8. Et posuit Daniel in corde suo, ut non polluereturin mensa regis, et in vino potus ejus: et rogavit eunuchorum præpositum, ne contaminaretur.

9. Καὶ ἔδωκεν ὁ Θεὸς τὸν Δανιὴλ εἰς ἔλεον, καὶ εἰς οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου.

9. Et dedit Deus Danielem in misericordiam, et in miserationem in conspectu principis eunuchorum.

B

10. Καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιὴλ· Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα, τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν, καὶ τὴν πόσιν ὑμῶν, μήποτε ἴδῃ τὰ πρόσωπά ὑμῶν σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάσητε τὴν κεφαλήν μου τῷ βασιλεῖ.

10. Et dixit princeps eunuchorum Danieli: Timeo ego dominum meum regem, qui constituit cibum vestrum, et potum vestrum, ne forte videat facies vestras tristes præ puerulis coævis vestris, et condemnetis caput meum regi.

11. Καὶ εἶπεν Δανιὴλ πρὸς Ἀμελλασὰρ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιὴλ, Ἀζαρίαν, Ἀνανίαν, καὶ Μισαήλ.

11. Et dixit Daniel ad Amellasar, quem constituerat princeps eunuchorum super Danielem, Azariam, Ananiam, et Misael.

12. Πείρασον δὴ τοὺς παῖδάς σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ φαγόμεθα, καὶ ὕδωρ πιόμεθα.

12. Tenta, obsecro, pueros tuos diebus decem, et dentur nobis de seminibus terræ, et comedemus, et aquam bibemus.

13. Καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν, καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ καθὼς ἐὰν ἴδῃς ποίησον μετὰ τῶν παίδων σου.

13. Et appareant coram te facies nostræ, et facies puerulorum, qui edunt mensam regis: et sicut videris, facito cum pueris tuis.

C

14. Καὶ εἰσήκουσεν αὐτῶν εἰς τὸ ῥῆμα τοῦτο, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα.

14. Et exaudivit eos in verbo hoc, et tentavit eos diebus decem.

15. Καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν, ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ, καὶ αὐτοὶ ἰσχυροὶ ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως.

15. Et post finem decem dierum, apparuerunt vultus eorum boni; et ipsi robusti carnibus super puerulos, qui edebant mensam regis

16. Καὶ ἐγένετο Ἀμελλασὰρ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν, καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν, καὶ ἐδίδου αὐτοῖς σπέρματα.

16. Et fuit Amellasar tollens cibum eorum, et vinum potus eorum, et dabat eis legumina.

17. Καὶ τοῖς παιδαρίοις τοῖς τέσσαρσιν ἔδωκεν αὐτοῖς ὁ Θεὸς σύνεσιν, καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ· καὶ Δανιὴλ συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις.

17. Et puerulis quatuor dedit eis Deus intellectum et prudentiam in omni literatura, et sapientia; et Daniel intellexit in omni visione et somniis.

D

18. Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ὧν εἶπεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτοὺς, καὶ εἰσήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος ἐναντίον Ναβουχοδονόσορ.

18. Et post finem dierum, quando dixerat rex introduci eos, et introduxit eos præpositus eunuchorum in conspectu Nabuchodonosor.

19. Καὶ ἐλάλησε μετ' αὐτῶν ὁ βασιλεὺς, καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι Δανιὴλ, καὶ Ἀνανίᾳ, καὶ Ἀζαρίᾳ, καὶ Μισαήλ· καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως.

19. Et loquutus est cum eis rex, et non sunt inventi de universis ipsis similes Danieli, et Ananiæ, et Azariæ, et Misael: et steterunt in conspectu regis.

20. Καὶ ἐν παντὶ ῥήματι σοφίας, καὶ ἐπιστήμης, ὑπὲρ ὧν ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεὺς, εὗρεν αὐτοὺς δεκαπλασίονας ὑπὲρ πάντας τοὺς ἐπαοιδοὺς, καὶ τοὺς μάγους, τοὺς ὄντας ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ.

20. Et in omni verbo sapientiæ et scientiæ, de quibus seiscitatus est ab eis rex, invenit eos decuplo potiores, præ omnibus incantatoribus et magis, qui erant in universo regno ejus.

21. Καὶ ἐγένετο Δανιὴλ ἕως ἔτους ἑνὸς Κύρου τοῦ βασιλέως.

21. Et fuit Daniel usque ad annum unum Cyri regis.

Digitized by Google

CAPUT II.

1. In anno secundo regni Nabuchodonosor, somniavit Nabuchodonosor somnium, et obstupuit spiritus ejus, et somnus ejus recessit ab eo.

2. Et dixit rex, ut vocarent ariolos, et magos, et maleficos, et Chaldæos ad annuntiandum regi somnium ejus. Et ingressi sunt, et steterunt coram rege.

3. Et dixit eis rex : Somniavi somnium, et obstupuit spiritus meus ad cognoscendum somnium.

4. Et loquuti sunt Chaldæi regi Syriace . Rex, in sempiternum vive ; tu dic somnium pueris tuis, et interpretationem ejus indicabimus.

5. Respondit rex, et dixit Chaldæis : Sermo recessit a me ; nisi igitur indicaveritis mihi somnium, et conjecturam ejus, in perditionem eritis, et domus vestræ diripientur.

6. Si autem somnium et conjecturam ejus indicaveritis mihi, præmia, et dona, et multum honorem accipietis a me : ceterum somnium et conjecturam ejus indicate mihi.

7. Responderunt secundo, et dixerunt regi : Rex, dic somnium tuum pueris tuis, et interpretationem ejus indicabimus.

8. Et respondit rex, et dixit: In veritate novi, quod tempus vos redimitis, secundum quod novistis, quia recessit a me verbum.

9. Si ergo somnium non indicaveritis mihi, una est sententia vestra, et novi, quia verbum falsum et corruptum simul dicturi estis coram me, donec tempus pertranseat. Somnium meum dicite mihi, et sciam, quia etiam interpretationem ejus indicabitis mihi.

10. Responderunt rursus Chaldæi coram rege, et dixerunt : Non est homo super aridam, qui possit notum facere verbum regis : sicut omnis rex magnus et princeps verbum hujusmodi non sciscitatur ab omni ariolo, mago, et Chaldæo.

11. Quia sermo, quem interrogat rex, gravis est: et alius non est, qui indicet illum in conspectu regis, nisi dii, quorum non est habitatio sua cum omni carne, unde non potest fieri sicut putas.

12. Tunc rex in furore et ira multa dixit, ut perderent sapientes Babylonis

13. Et sententia egressa est, et sapientes occidebantur : et quæsierunt Danielem et amicos ejus ad interficiendum.

14. Tunc Daniel interrogavit de consilio et sententia Arioch principem coquorum regis, qui egressus fuerat ad interficiendos sapientes Babylonis.

15. Et sciscitabatur ab eo, dicens : Princeps regis, quare egressa est sententia impudens hæc a

ΚΕΦΑΛ. Β'.

1. Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονόσορ, ἐνυπνιάσθη Ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἀπεγένετο ἀπ' αὐτοῦ.

2. Καὶ εἶπεν ὁ βασιλεὺς τοῦ καλέσαι τοὺς ἐπαοιδοὺς, καὶ τοὺς μάγους, καὶ τοὺς φαρμακοὺς, καὶ τοὺς Χαλδαίους, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὸ ἐνύπνιον αὐτοῦ, καὶ εἰσῆλθον, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως.

3. Καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· Ἐνυπνιάσθην ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμά μου, τοῦ γνῶναι τὸ ἐνύπνιον.

4. Καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ Συριστί· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· σὺ εἰπὲ τὸ ἐνύπνιον
B τοῖς παισί σου, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγελοῦμεν.

5. Ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν τοῖς Χαλδαίοις· Ὁ λόγος ἀπέστη ἀπ' ἐμοῦ· ἐὰν οὖν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ, εἰς ἀπώλειαν ἔσεσθε, καὶ οἱ οἶκοι ὑμῶν διαρπαγήσονται.

6. Ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δόματα, καὶ δωρεὰς, καὶ πολλὴν τιμὴν λήψεσθε παρ' ἐμοῦ· πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλατέ μοι.

7. Ἀπεκρίθησαν τὸ δεύτερον, καὶ εἶπαν τῷ βασιλεῖ· Βασιλεῦ, εἰπὲ τὸ ἐνύπνιόν σου τοῖς παισί σου, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγελοῦμεν.

8. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν· Ἐπ' ἀληθείας οἶδα, ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθ' ὅτι
C οἴδατε, ὅτι ἀπέστη ἀπ' ἐμοῦ τὸ ῥῆμα.

9. Ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀπαγγείλητέ μοι, ἓν ἐστι τὸ δόγμα ὑμῶν, καὶ οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέσεσθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ ὁ καιρὸς παρέλθῃ· τὸ ἐνύπνιόν μου εἴπατέ μοι, καὶ γνώσομαι, ὅτι καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι.

10. Ἀπεκρίθησαν πάλιν οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπον· Οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς, ὅστις δυνήσεται γνωρίσαι τὸ ῥῆμα τοῦ βασιλέως, καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτον οὐκ ἐπερωτᾷ πάντα ἐπαοιδὸν, μάγον, καὶ Χαλδαῖον.

11. Ὅτι ὁ λόγος, ὃν ἐπερωτᾷ ὁ βασιλεὺς, βαρὺς,
D καὶ ἕτερος οὐκ ἔστιν, ὃς ἀναγγελεῖ αὐτὸν ἐνώπιον τοῦ βασιλέως, ἀλλ' ἢ θεοὶ, ὧν οὐκ ἔστιν οἱ κατοικία αὐτῶν μετὰ πάσης σαρκὸς, ※ ὅθεν οὐκ ἐνδέχεται γενέσθαι καθάπερ οἴει.

12. Τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ εἶπεν τοῦ ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος.

13. Καὶ τὸ δόγμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτείνοντο· καὶ ἐζήτησαν τὸν Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀνελεῖν.

14. Τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀνελεῖν τοὺς σοφοὺς Βαβυλῶνος.

15. Καὶ ἐπυνθάνετο αὐτοῦ, λέγων· Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδὴς αὕτη

Digitized by Google

ἐκ προσώπου τοῦ βασιλέως; Τότε τὸ ῥῆμα ἐγνώρισεν ὁ Ἀριὼχ τῷ Δανιήλ.

16. Καὶ Δανιὴλ εἰσῆλθε, καὶ ἠξίωσε τὸν βασιλέα, ὅπως χρόνον δῷ αὐτῷ, καὶ τὴν σύγκρισιν ἀπαγγείλῃ τῷ βασιλεῖ τοῦ ἐνυπνίου αὐτοῦ.

17. Καὶ εἰσῆλθε Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῷ Ἀνανίᾳ, καὶ τῷ Ἀζαρίᾳ, καὶ τῷ Μισαὴλ τοῖς φίλοις αὐτοῦ ἐγνώρισε τὸ ῥῆμα.

18. Καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ Θεοῦ τοῦ οὐρανοῦ ὑπὲρ τοῦ μυστηρίου τούτου, ὅπως ἂν μὴ ἀπόλωνται Δανιὴλ καὶ οἱ φίλοι αὐτοῦ μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος.

19. Τότε τῷ Δανιὴλ ἐν ὁράματι τῆς νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη· καὶ ηὐλόγησε τὸν Θεὸν τοῦ οὐρανοῦ ὁ Δανιὴλ, καὶ εἶπεν·

20. Εἴη τὸ ὄνομα τοῦ Θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστι.

21. Καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, δίδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν.

22. Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστι.

23. Σοὶ, ὁ Θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι, καὶ νῦν ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ, καὶ ὅτι τὸ ὅραμα τοῦ βασιλέως ἐγνώρισάς μοι.

24. Καὶ εὐθέως ἦλθε Δανιὴλ πρὸς Ἀριὼχ, ὃν κατέστησεν ὁ βασιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ· Τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς, εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ τὴν σύγκρισιν τοῦ ὁράματος ἀναγγελῶ τῷ βασιλεῖ.

25. Τότε ὁ Ἀριὼχ ἐν σπουδῇ εἰσήγαγε τὸν Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ· Εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅστις τῷ βασιλεῖ τὸ σύγκριμα ἀναγγελεῖ.

26. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τῷ Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ· Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ;

27. Καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν· Τὸ μυστήριον ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, γαζαρηνῶν δύναμις ἀναγγεῖλαι τῷ βασιλεῖ.

28. Ἀλλ' ἦ ἐστι Θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισε τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν· τὸ ἐνύπνιόν σου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου, τουτέστι.

29. Βασιλεῦ, οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ὁ ἀποκαλύπτων μυστήρια, ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι.

30. Καὶ ἐμοὶ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, καὶ ἵνα γνῷς τοὺς διαλογισμοὺς τῆς καρδίας σου.

31. Σὺ, βασιλεῦ, ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία μεγάλη πολλή· ἡ εἰκὼν ἐκείνη μεγάλη, καὶ ἡ πρόσοψις

A facie regis ? Tunc verbum indicavit Arioch Danieli.

16. Et Daniel ingressus est, et rogavit regem, ut tempus daret sibi, et conjecturam indicaret regi somnii sui.

17. Et ingressus est Daniel in domum suam, et Ananiæ, et Azariæ, et Misael amicis suis indicavit verbum.

18. Et miserationes quærebant a Deo cœli pro mysterio hoc, ut non perirent Daniel et amici ejus cum cæteris sapientibus Babylonis.

19. Tunc Danieli in visione noctis mysterium revelatum est : et benedixit Deum cœli Daniel, et dixit :

B 20. Sit nomen Dei benedictum a sæculo et usque in sæculum : quia sapientia et intelligentia ejus sunt.

21. Et ipse mutat tempora et ætates, constituit reges et destituit, dans sapientiam sapientibus, et prudentiam intelligentibus disciplinam.

22. Ipse revelat profunda et abscondita, cognoscens quæ in tenebris, et lux cum eo est.

23. Tibi, Deus patrum meorum, confiteor et laudem do, quia sapientiam et fortitudinem dedisti mihi, et nunc ostendisti mihi, quæ rogavimus te, et quia visionem regis notam fecisti mihi.

C 24. Et statim venit Daniel ad Arioch, quem constituerat rex, ut perderet sapientes Babylonis, et dixit ei : Sapientes Babylonis ne perdas, sed introduc me in conspectu regis, et conjecturam visionis narrabo regi.

25. Tunc Arioch in festinatione introduxit Danielem in conspectu regis, et dixit ei : Inveni virum de filiis captivitatis Judææ, qui regi conjecturam indicabit.

26. Et respondit rex, et dixit Danieli, cujus nomen erat Baltasar : Si potes mihi indicare somnium, quod vidi, et interpretationem ejus ?

27. Et respondit Daniel coram rege, et dixit : Mysterium, quod rex interrogat, non est sapientium, magorum, ariolorum, gazarenorum virtus indicare regi.

D 28. Sed est Deus in cœlo revelans mysteria, et nota fecit regi Nabuchodonosor, quæ oportet fieri in novissimis diebus. Somnium tuum, et visiones capitis tui in cubiculo tuo, hæc sunt.

29. O rex, cogitationes tuæ in cubiculo tuo ascenderunt, quid futurum sit post hæc : et qui revelat mysteria, ostendit tibi, quæ oportet fieri.

30. Et mihi non in sapientia, quæ sit mihi præ omnibus viventibus, mysterium hoc revelatum est : sed ut interpretationem regi manifestam faciam, et ut scias cogitationes cordis tui.

31. Tu, rex, videbas, et ecce imago una magna nimis; imago illa magna, et aspectus ipsius subti-

Digitized by Google

mis; stans ante faciem tuam, et visio ejus terribilis.

32. Imago, cujus caput erat ex auro puro, manus, et pectus, et brachia ejus argentea, venter et femora ærea.

33. Et tibiæ ferreæ, pedes, pars quædam ferri, pars autem testæ.

34. Videbas, donec abscissus est de monte lapis sine manibus: et percussit imaginem super pedes ferreos, et figlinos, et comminuit eos ad finem.

35. Tunc comminuta sunt pariter ferrum, testa, æs, argentum, aurum, et facta sunt quasi pulvis de area æstiva, et sustulit eum multitudo spiritus, et omnis locus non est inventus eis: et lapis, qui percusserat imaginem factus est in montem magnum, et implevit universam terram.

36. Hoc est somnium: et interpretationem ejus dicemus coram rege.

37. Tu, rex regum, cui Deus cœli regnum forte, et validum, et honoratum dedit in omni loco.

38. Ubi habitant filii hominum; bestias pariter agri, et volucres cœli, et pisces maris dedit in manu tua, et constituit te dominum omnium. Tu es caput aureum.

39. Et post te consurget regnum aliud minus te: et regnum tertium, quod est æs, quod imperabit universæ terræ.

40. Et regnum quartum erit forte veluti ferrum: quomodo enim ferrum comminuit et domat, sic omnia comminuet et domabit.

41. Et quia vidisti pedes, et digitos, partem quidem aliquam ferri, partem vero quamdam testæ, regnum divisum erit in se, quemadmodum vidisti ferrum commixtum testæ luteæ.

42. Et digiti pedum pars quædam ferrea, pars autem quædam regni erit fortis, et de eo conteretur.

43. Et quia vidisti ferrum admixtum testæ luteæ, commixti erunt in semine hominum, et non adhærebunt alter alteri, sicut ferrum non miscetur cum testa.

44. Et in diebus regum illorum suscitabit Deus cœli regnum, quod in sæcula non dissipabitur: et regnum ejus populo alteri non tradetur; comminuet et ventilabit universa regna, et ipsum stabit in sæcula.

45. Sicut vidisti, quod de monte abscissus est lapis sine manibus, et comminuebat testam, ferrum, æs, argentum, aurum, Deus magnus ostendit regi, quæ oportet fieri post hæc: et verum est somnium, et fidelis interpretatio ejus.

46. Tunc rex Nabuchodonosor cecidit in faciem, et Danielem adoravit, et manaa, et suavitas odoris, dixit ut libarentur.

47. Et respondens rex dixit Danieli: In veritate

A αὐτῆς ὑπερφερὴς, ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά.

32. Εἰκὼν, ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ, αἱ χεῖρες, καὶ τὸ στῆθος, καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ.

33. Καὶ αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδήρου, μέρος δέ τι ὀστράκου.

34. Ἐθεώρεις ἕως ὅτου ἀπεσχίσθη ἀπὸ ὄρους λίθος ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς, καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος.

35. Τότε ἐλεπτύνθησαν εἰσάπαξ ὁ σίδηρος, τὸ ὄστρακον, ὁ χαλκὸς, ὁ ἄργυρος, ὁ χρυσός· καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὸν τὸ πλῆθος τοῦ πνεύματος, καὶ [illegible] τόπος B οὐχ εὑρέθη αὐτοῖς, καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.

36. Τοῦτό ἐστι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως.

37. Σὺ, βασιλεῦ βασιλέων, ᾧ ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν, καὶ κραταιὰν, καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ.

38. Ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε ἀγροῦ, καὶ πετεινὰ οὐρανοῦ, καὶ ἰχθύας θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ.

39. Καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, καὶ βασιλεία τρίτη, ἥ ἐστιν ὁ χαλκὸς, ἥ κυριεύσει πάσης τῆς γῆς.

40. Καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς σίδηρος· ὃν τρόπον γὰρ ὁ σίδηρος λεπτύνει καὶ δαμάζει, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει.

41. Καὶ ὅτι εἶδες τοὺς πόδας, καὶ τοὺς δακτύλους, μέρος μέν τι σιδήρου, μέρος δέ τι ὀστράκου, βασιλεία διῃρημένη ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ.

42. Καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι τῆς βασιλείας ἔσται ἰσχυρὸν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον.

43. Καὶ ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου.

D 44. Καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· λεπτυνεῖ καὶ λεκμήσει πάσας τὰς βασιλείας, καὶ αὕτη ἀναστήσεται εἰς τοὺς αἰῶνας.

45. Ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκὸν, τὸν ἄργυρον, τὸν χρυσόν· ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

46. Τότε ὁ βασιλεὺς Ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ τῷ Δανιὴλ προσεκύνησε, καὶ μανὰὰ καὶ εὐωδίαν εἶπεν σπεῖσαι.

47. Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, εἶπεν τῷ Δανιήλ·

Digitized by Google

Ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτός ἐστι θεὸς θεῶν, καὶ Κύριος τῶν βασιλέων, καὶ ἀποκαλύπτων μυστήρια, ὅτι ἐδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο.

48. Καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιὴλ, καὶ δόματα μεγάλα καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς χώρας Βαβυλῶνος, καὶ ἄρχοντα σατραπῶν, καὶ ἐπὶ πάσης τῆς χώρας Βαβυλῶνος.

49. Καὶ Δανιὴλ ἠτήσατο παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

ΚΕΦΑΛ. Γ'.

1. Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν· ὕψος αὐτῆς πηχῶν ἑξήκοντα, καὶ εὖρος αὐτῆς πηχῶν ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δειρᾷ, ἐν χώρᾳ Βαβυλῶνος.

2. Καὶ Ναβουχοδονόσορ ὁ βασιλεὺς ἀπέστειλε συναγαγεῖν πάντας τοὺς ὑπάτους, καὶ τοὺς στρατηγοὺς, καὶ τοὺς τοπάρχας, ἡγουμένους, καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.

3. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοὶ, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ' ἐξουσιῶν, καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν, τοῦ ἐλθεῖν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἧς ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος, ἧς ἔστησεν ὁ Ναβουχοδονόσορ.

4. Καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ· Ὑμῖν λέγεται, ἔθνη, λαοὶ, φυλαὶ, γλῶσσαι.

5. Ἧ ἂν ὥρᾳ ἀκούσητε φωνῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης, καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς.

6. Καὶ ὃς ἐὰν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ βληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

7. Καὶ ἐγένετο ὅτε ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης, καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεὺς, κατέναντι τούτου.

8. Τότε προσῆλθον ἄνδρες Χαλδαῖοι, καὶ διέβαλον τοὺς Ἰουδαίους.

9. Καὶ ἀποκριθέντες εἶπον τῷ βασιλεῖ Ναβουχοδονόσορ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

10. Σὺ, βασιλεῦ, ἔθηκας δόγμα, πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσεῖται, καὶ προσκυνήσει τῇ εἰκόνι τῇ χρυσῇ.

11. Καὶ ὃς ἐὰν μὴ πεσὼν προσκυνήσῃ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

12. Εἰσὶν οὖν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ· οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν τῷ

A Deus vester ipse est Deus deorum, et Dominus regum, et revelans mysteria; quoniam potuisti revelare mysterium hoc.

48. Et magnificavit rex Danielem, et munera magna et multa dedit ei: et constituit eum super universam regionem Babylonis, et principem satraparum, et super omnem provinciam Babylonis.

49. Et Daniel postulavit a rege, et constituit super opera provinciæ Babylonis Sedrach, Misach, Abdenago: et Daniel erat in aula regis.

CAPUT III.

1. Anno decimo octavo Nabuchodonosor rex fecit imaginem auream: altitudo ipsius cubitorum B sexaginta, et latitudo ejus cubitorum sex; et statuit eam in campo Deira in provincia Babylonis.

2. Et Nabuchodonosor rex misit ad congregandos omnes consules, et duces, et toparchas, præfectos, et tyrannos, et eos, qui erant in potestatibus constituti, et omnes principes regionum, ut venirent ad dedicationem imaginis, quam statuerat Nabuchodonosor rex.

3. Et congregati sunt toparchæ, consules, duces, præfecti, tyranni magni, qui erant in potestate constituti, et omnes principes regionum, ut venirent ad dedicationem imaginis, quam statuerat Nabuchodonosor rex: et steterunt in conspectu imaginis, quam statuerat Nabuchodonosor.

4. Et præco clamabat valide: Vobis dicitur, gentes, populi, tribus et linguæ. C

5. Quacumque hora audieritis vocem tubæ, et fistulæ et citharæ, sambucæ, et psalterii, et symphoniæ, et omnis generis musicorum, cadentes adorate imaginem auream quam statuit Nabuchodonosor rex.

6. Quicumque autem non cadens adoraverit, eadem hora mittetur in fornacem ignis ardentem.

7. Et factum est, quando audiebant populi vocem tubæ, et fistulæ, et citharæ, sambucæ, et psalterii, et symphoniæ, et omnis generis musicorum, cadentes populi, tribus, linguæ adorabant imaginem auream, quam statuerat Nabuchodonosor rex in D conspectu ipsius.

8. Tunc accesserunt viri Chaldæi, et accusaverunt Judæos.

9. Et respondentes dixerunt regi Nabuchodonosor: Rex, in sæcula vive.

10. Tu, rex, posuisti decretum, ut omnis homo, quicumque audierit vocem tubæ, et fistulæ, et citharæ, et sambucæ, et psalterii, et symphoniæ, et omnis generis musicorum, cadat, et adoret imaginem auream.

11. Et quicumque non cadens adoraverit, mittetur in fornacem ignis ardentem.

12. Sunt igitur viri Judæi, quos constituisti super opera regionis Babylonis, Abdenago: viri illi non obedi

Digitized by Google

et deos tuos non colunt, et imaginem auream, quam statuisti, non adorant.

13. Tunc Nabuchodonosor in furore et ira dixit, ut adducerent Sedrach, Misach, et Abdenago : et viri illi adducti sunt in conspectu regis.

14. Et respondit Nabuchodonosor, et dixit eis : An vere Sedrach, Misach, et Abdenago deos meos non colitis, et imaginem auream, quam statui, non adoratis?

15. Nunc ergo si estis parati, ut in quocumque tempore audieritis vocem tubæ, et fistulæ, et citharæ, sambucæ, et psalterii, et symphoniæ, et omnis generis musicorum, cadentes adoretis imaginem, quam feci : quod si non adoraveritis, eadem hora mittemini in fornacem ignis ardentem : et quis est Deus, qui eripiet vos de manibus meis?

16. Et responderunt Sedrach, Misach, et Abdenago, et dixerunt Nabuchodonosor regi : Non opus habemus nos de verbo hoc respondere tibi.

17. Est enim Deus noster in cœlo, quem nos colimus, potens eripere nos de fornace ignis ardente, et de manibus tuis, o rex, liberabit nos.

18. Et si non, notum sit tibi, o rex, quia deos tuos non colimus, et imaginem auream, quam statuisti, non adoramus.

19. Tunc Nabuchodonosor repletus est furore, et aspectus faciei illius immutatus est super Sedrach, Misach, Abdenago, et dixit : Succendite fornacem septuplum, donec in finem ardeat.

20. Et viris robustis fortitudine dixit, ut ligantes Sedrach, Misach, et Abdenago, mitterent in fornacem ignis ardentem.

21. Tunc illi viri vincti sunt cum sarabaris suis, et tiaris, et tibialibus, et vestimentis suis, et missi sunt in medium fornacis ignis ardentis.

22. Nam verbum regis urgebat : et fornax succensa erat nimis. Et viros illos, qui accusaverant Sedrach, Misach, et Abdenago, interfecit eos flamma ignis in circuitu.

23. Et viri illi tres Sedrach, Misach, et Abdenago ceciderunt in medio camino ignis ardente compedibus vincti.

24. Et ambulabant in medio flammæ, laudantes Deum, et benedicentes Dominum.

25. Stans autem cum illis Azarias, oravit sic : et aperiens os suum in medio ignis, dixit :

26. Benedictus es, Domine Deus patrum nostrorum, et laudabile, et gloriosum nomen tuum in sæcula.

27. Quia justus es in omnibus, quæ fecisti nobis, et universa opera tua vera, et rectæ viæ tuæ, et omnia judicia tua vera.

A δόγματί σου, βασιλεῦ, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦσι.

13. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγώ· καὶ οἱ ἄνδρες ἐκεῖνοι ἤχθησαν ἐνώπιον τοῦ βασιλέως.

14. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ, καὶ εἶπεν αὐτοῖς· Εἰ ἀληθῶς Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγὼ τοῖς θεοῖς μου οὐ λατρεύστε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε;

15. Νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνεῖτε τῇ εἰκόνι, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, ταύτῃ B τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι Θεὸς, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;

16. Καὶ ἀπεκρίθησαν Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγὼ, καὶ εἶπον τῷ βασιλεῖ Ναβουχοδονόσορ· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι.

17. Ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανῷ, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς.

18. Καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησας, οὐ προσκυνοῦμεν.

19. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ C ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισάχ, Ἀβδεναγὼ, καὶ εἶπεν· Ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως εἰς τέλος ἐκκαῇ.

20. Καὶ ἄνδρας ἰσχυροὺς τῇ ἰσχύϊ εἶπεν, πεδήσαντας τὸν Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγὼ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.

21. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις, καὶ περικνημίσι, καὶ τοῖς ἐνδύμασιν αὐτῶν, καὶ ἐβλήθησαν εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης.

22. Ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυε· καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ· καὶ τοὺς ἄνδρας ἐκείνους τοὺς ἐνδιαβάλλοντας τὸν Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγὼ ἀπέκτεινεν αὐτοὺς ἡ φλὸξ τοῦ πυρὸς D κύκλοθεν.

23. Καὶ οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγὼ ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι.

24. Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν Θεὸν, καὶ εὐλογοῦντες τὸν Κύριον.

25. Καὶ συστὰς αὐτοῖς Ἀζαρίας προσηύξατο οὕτως· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς, εἶπεν :

26. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

27. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί.

Digitized by Google

28. Καὶ κρίματα ἀληθείας ἐποίησας κάτὰ πάντα, A & ἐπήγαγες ἡμῖν, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ. Ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες πάντα ταῦτα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

28. Et judicia veritatis fecisti juxta omnia, quæ induxisti super nos, et super civitatem sanctam patrum nostrorum Jerusalem; quia in veritate et judicio induxisti omnia hæc super nos propter peccata nostra.

29. Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν ἀποστάντες ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι.

29. Peccavimus enim, et inique egimus recedentes a te, et deliquimus in omnibus.

30. Καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ ἐφυλάξαμεν αὐτὰς, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

30. Et mandata tua non audivimus, neque custodivimus ea, neque fecimus, sicut mandaveras nobis, ut bene nobis esset.

31. Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας.

31. Et omnia, quæ fecisti nobis, in vero judicio fecisti.

32. Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν παρέδωκας ἡμᾶς. B

32. Et tradidisti nos in manus inimicorum iniquorum, inimicissimorum apostatarum, et regi injusto, et pessimo super omnem terram tradidisti nos.

33. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγένετο τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.

33. Et nunc non est nobis aperire os: confusio et exprobratio facta est servis tuis, et colentibus te.

34. Μὴ δὲ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου.

34. Sed ne tradas nos in finem propter nomen tuum, et ne dissipes testamentum tuum.

35. Καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπό σου, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

35. Et ne avertas misericordiam tuam a nobis propter Abraham dilectum tuum, et propter Isaac servum tuum, et Israel sanctum tuum.

36. Οἷς ἐλάλησας αὐτοῖς λέγων· Πληθυνῶ τὸ σπέρμα ὑμῶν, ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

36. Quibus locutus es eis dicens: Multiplicabo semen vestrum sicut stellas cœli, et sicut arenam, quæ est in littore maris.

37. Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν. C

37. Quia, Domine, imminuti sumus ultra omnes gentes, et sumus humiles in universa terra hodie propter peccata nostra.

38. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, τόπος τοῦ καρπῶσαι ἐναντίον σου, καὶ εὑρεῖν ἔλεον.

38. Et non est in tempore hoc princeps, et propheta, et dux, neque holocaustum, neque sacrificium, neque oblatio, neque thymiama, neque locus primitias offerendi coram te, et inveniendi misericordiam.

39. Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν.

39. Sed in anima contrita, et spiritu humilitatis suscipiamur.

40. Ὡς ἐν ὁλοκαυτώσει κριῶν, καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν σήμερον ἐνώπιόν σου, καὶ τοῦ ἐκτελέσαι ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.

40. Sicut in holocausto arietum, et taurorum, et sicut in millibus agnorum pinguium; sic fiat sacrificium nostrum hodie in conspectu tuo, et ut perficiatur post te, quoniam non est confusio confidentibus in te.

41. Καὶ νῦν ἐξακολουθοῦμέν σοι ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου.

41. Et nunc sequimur te in toto corde, et timemus te, et quærimus faciem tuam.

42. Μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' D ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

42. Ne confundas nos, sed fac nobiscum juxta mansuetudinem tuam, et secundum multitudinem misericordiæ tuæ.

43. Καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

43. Et erue nos juxta mirabilia tua, et da gloriam nomini tuo, Domine.

44. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

44. Et confundantur omnes, qui ostendunt servis tuis mala, et confundantur ab omni potentia, et robur eorum conteratur.

45. Γνώτωσαν, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος, καὶ ὁ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

45. Cognoscant, quia tu es Dominus Deus solus, et gloriosus super universum orbem terrarum.

46. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν, καὶ στίππυον, καὶ πίσσαν, καὶ κληματίδα.

46. Et non cessabant, qui injecerant eos ministri regis, succendentes fornacem naphtha, et stupa, et pice, et sarmentis.

47. Καὶ διηχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα.

47. Et effundebatur flamma super fornacem ad cubitos quadraginta novem.

Digitized by Google

48. Et crupit, et incendit, quos invenit circa fornacem de Chaldæis.

49. Angelus autem Domini simul descendit cum iis, qui erant cum Azaria in fornacem, et excussit flammam ignis de fornace, et fecit medium fornacis, quasi spiritum roris flantem.

50. Et non tetigit eos omnino ignis, neque contristavit eos, neque molestiam intulit eis.

51. Tunc tres quasi ex uno ore laudabant, et glorificabant, et benedicebant Deum in fornace dicentes:

52. Benedictus es, Domine Deus patrum nostrorum, et laudabilis, et superexaltatus in sæcula: et benedictum nomen gloriæ tuæ sanctum, et laudabile, et superexaltatum in sæcula.

53. Benedictus es in templo sanctæ gloriæ tuæ, et superlaudabilis, et supergloriosus in sæcula.

54. Benedictus es in throno gloriæ regni tui, et superlaudabilis, et superexaltatus in sæcula.

55. Benedictus es, qui intueris abyssos, sedens super Cherubim, et laudabilis, et superexaltatus in sæcula.

56. Benedictus es in firmamento cœli, et laudabilis, et gloriosus in sæcula.

57. Benedicite omnia opera Domini Domino, laudate, et superexaltate eum in sæcula.

58. Benedicite angeli Domini Domino, laudate, et superexaltate eum in sæcula.

59. Benedicite cœli Domino, laudate, et superexaltate eum in sæcula.

60. Benedicite aquæ omnes, quæ super cœlos sunt, Domino, laudate, et superexaltate eum in sæcula.

61. Benedicite omnes virtutes Domini Domino, laudate, et superexaltate eum in sæcula.

62. Benedicite sol, et luna Domino, laudate, et superexaltate eum in sæcula.

63. Benedicite stellæ cœli Domino, laudate, et superexaltate eum in sæcula.

64. Benedicite omnis imber, et ros Domino, laudate, et superexaltate eum in sæcula.

65. Benedicite omnes spiritus Domino, laudate, et superexaltate eum in sæcula.

66. Benedicite ignis, et æstus Domino, laudate, et superexaltate eum in sæcula.

67. Benedicite frigus, et æstus Domino, laudate, et superexaltate eum in sæcula.

68. Benedicite rores, et pruinæ Domino, laudate, et superexaltate eum in sæcula.

69. Benedicite gelu et frigus Domino, laudate, et superexaltate eum in sæcula.

70. Benedicite glacies, et nives Domino, laudate, et superexaltate eum in sæcula.

71. Benedicite noctes, et dies Domino, laudate, et superexaltate eum in sæcula.

72. Benedicite lux, et tenebræ Domino, laudate, et superexaltate eum in sæcula.

A 48. Καὶ διώδευσε, καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

49. Ὁ δὲ ἄγγελος Κυρίου ἅμα συνκατέβη τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα δρόσου διασυρίζον.

50. Καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθ' ὅλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν αὐτοὺς, καὶ οὐ παρηνώχλησεν αὐτοῖς.

51. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, καὶ ἐδόξαζον, καὶ εὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες.

52. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον,
B καὶ αἰνετὸν, καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

53. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερυμνητὸς, καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.

54. Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ὑπερυμνητὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

55. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ, καὶ αἰνετὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

56. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ὑμνητὸς, καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

57. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

58. Εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον, ὑμνεῖτε,
C καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

59. Εὐλογεῖτε οὐρανοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

60. Εὐλογεῖτε ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

61. Εὐλογεῖτε πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

62. Εὐλογεῖτε ἥλιος, καὶ σελήνη τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

63. Εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

64. Εὐλογεῖτε πᾶς ὄμβρος, καὶ δρόσος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

65. Εὐλογεῖτε πάντα τὰ πνεύματα τὸν Κύριον,
D ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

66. Εὐλογεῖτε πῦρ, καὶ καῦμα τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

67. Εὐλογεῖτε ψύχος, καὶ καῦμα τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

68. Εὐλογεῖτε δρόσοι, καὶ νιφετοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

69. Εὐλογεῖτε πάγοι, καὶ ψύχος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

70. Εὐλογεῖτε πάχνη, καὶ χιόνες τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

71. Εὐλογεῖτε νύκτες, καὶ ἡμέραι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

72. Εὐλογεῖτε φῶς, καὶ σκότος τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Digitized by Google

73. Εὐλογεῖτε ἀστραπαὶ, καὶ νεφέλαι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. A

74. Εὐλογήτω ἡ γῆ τὸν Κύριον, ὑμνείτω, καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

75. Εὐλογεῖτε ὄρη, καὶ βουνοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

76. Εὐλογεῖτε πάντα τὰ φυόμενα ἐν τῇ γῇ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

77. Εὐλογεῖτε αἱ πηγαὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

78. Εὐλογεῖτε θάλασσαι, καὶ ποταμοὶ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

79. Εὐλογεῖτε κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. B

80. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

81. Εὐλογεῖτε πάντα τὰ θηρία, καὶ τὰ κτήνη τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

82. Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

83. Εὐλογεῖτε υἱοὶ Ἰσραὴλ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

84. Εὐλογεῖτε ἱερεῖς τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

85. Εὐλογεῖτε δοῦλοι Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. C

86. Εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

87. Εὐλογεῖτε ὅσιοι, καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

88. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Ὅτι ἐρρύσατο ἡμᾶς ἐξ ᾅδου, καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς· καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καιομένης φλογὸς, καὶ ἐκ μέσου πυρὸς ἐρρύσατο ἡμᾶς.

89. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

90. Εὐλογεῖτε πάντες οἱ σεβόμενοι τὸν Κύριον, Κύριον τὸν Θεὸν τῶν θεῶν, ὑμνεῖτε, καὶ ἐξομολογεῖσθε, ὅτι εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ. D

91. Καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ· Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς μέσον τοῦ πυρὸς πεπεδημένους; καὶ ἀποκριθέντες λέγουσι τῷ βασιλεῖ· Ἀληθῶς, βασιλεῦ.

92. Καὶ ἀποκριθεὶς εἶπεν ὁ βασιλεύς· Ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους περιπατοῦντας ἐν μέσῳ τοῦ πυρὸς, καὶ διαφθορὰ οὐκ ἔστιν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ.

93. Τότε προσῆλθε Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπεν· Σεδράχ, Μισάχ, Ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ

73. Benedicite fulgura, et nubes Domino, laudate, et superexaltate eum in sæcula.

74. Benedicat terra Domino, laudet, et superexaltet eum in sæcula.

75. Benedicite montes, et colles Domino, laudate, et superexaltate eum in sæcula.

76. Benedicite universa germinantia in terra Domino, laudate, et superexaltate eum in sæcula.

77. Benedicite fontes Domino, laudate, et superexaltate eum in sæcula.

78. Benedicite maria, et flumina Domino, laudate, et superexaltate eum in sæcula.

79. Benedicite cete, et omnia, quæ moventur in aquis Domino, laudate, et superexaltate eum in sæcula.

80. Benedicite omnes volucres cœli Domino, laudate, et superexaltate eum in sæcula.

81. Benedicite omnes bestiæ, et pecora Domino, laudate, et superexaltate eum in sæcula.

82. Benedicite filii hominum Domino, laudate, et superexaltate eum in sæcula.

83. Benedicite filii Israel Domino, laudate, et superexaltate eum in sæcula.

84. Benedicite sacerdotes Domino. laudate, et superexaltate eum in sæcula.

85. Benedicite servi Domini Domino, laudate, et superexaltate eum in sæcula.

86. Benedicite spiritus, et animæ justorum Domino, laudate, et superexaltate eum in sæcula.

87. Benedicite sancti, et humiles corde Domino, laudate, et superexaltate eum in sæcula

88. Benedicite Anania, Azaria, Misael Domino, laudate, et superexaltate eum in sæcula. Quia eruit nos de inferno, et de manu mortis salvos fecit nos, et liberavit nos de medio ardentis flammæ, et de medio ignis eruit nos.

89. Confitemini Domino, quoniam bonus, quoniam in æternum misericordia ejus.

90. Benedicite omnes colentes Dominum, Domino Deo deorum, laudate, et confitemini, quoniam in omnia sæcula misericordia ejus.

91. Et Nabuchodonosor audivit laudantes illos, et obstupuit, et surrexit propere, et ait optimatibus suis: Nonne viros tres misimus in medium ignis compeditos? et respondentes dicunt regi: Vere, rex.

92. Et respondens dixit rex: Hic ego video viros quatuor solutos ambulantes in medio ignis, et corruptio non est in eis, et species quarti similis filio Dei.

93. Tunc accessit Nabuchodonosor ad ostium [illegible], et dixit: Sedrach, Misach, [illegible] celsi, egredimini, et venite.

Digitized by Google

Et egressus est Sedrach, Misach, Abdenago de medio ignis.

94. Et congregantur satrapæ, et duces, et toparchæ, et potentes regis, et contemplabantur viros, quoniam nihil potestatis habuisset ignis in corpore eorum, et capillus capitis eorum non esset adustus, et sarabara eorum non fuissent immutata, et odor ignis non esset in eis.

95. Et adoravit in conspectu eorum rex Dominum, et respondit Nabuchodonosor, et dixit : Benedictus Deus Sedrach, Misach, Abdenago, qui misit angelum suum, et eruit servos suos, quia crediderunt in eum ; et verbum regis immutaverunt, et tradiderunt corpora sua in ignem, ne servirent, neque adorarent omnem deum, præter Deum suum.

96. Et ego propono decretum, ut omnis populus, tribus, lingua, quæcumque loquuta fuerit blasphemiam contra Deum Sedrach, Misach, Abdenago, in perditionem erunt, et domus eorum in direptionem erunt : propterea quod non est Deus alius, qui possit salvare eos ita.

97. Tunc rex promovit Sedrach, Misach, Abdenago in regione Babylonis, et auxit eos, et dignos habuit ipsos, qui præessent omnibus Judæis, qui erant in regno suo.

98. Nabuchodonosor rex omnibus populis, tribubus, linguis, habitantibus in universa terra : pax vobis multiplicetur.

99. Signa, et ostenta, quæ fecit mecum Deus excelsus, placuit in conspectu meo annuntiare vobis, quam magna, et fortia.

100. Regnum ejus regnum sempiternum, et potestas ejus in generationem et generationem.

CAPUT IV.

1. Ego Nabuchodonosor abundans eram in domo mea, et florens in throno meo et pinguis in populo meo.

2. Somnium vidi, et perterruit me, et turbatus sum in cubili meo, et visiones capitis mei conturbaverunt me.

3. Et a me propositum est decretum, ut introducerentur in conspectu meo omnes sapientes Babylonis, ut interpretationem somnii indicarent mihi.',

4. Et ingrediebantur arioli, magi, gazareni, Chaldæi, et somnium dixi ego in conspectu eorum, et interpretationem ejus non indicarunt mihi.

5. Donec alius ingressus est in conspectu meo, Daniel, cujus nomen Baltasar secundum nomen Dei mei, qui Spiritum Dei sanctum habet in semetipso ; et somnium coram eo dixi.

6. Baltasar princeps ariolorum, quem novi, quod Spiritus Dei sanctus sit in te, et omne sacramentum non est impossibile tibi ; audi visionem somnii, quod vidi, et interpretationem ejus dic mihi.

7. Et visiones capitis mei in cubili meo videbam, et ecce arbor una in medio terræ, et altitudo ejus multa.

A ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε· καὶ ἐξῆλθε Σεδράχ, Μισάχ, Ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός.

94. Καὶ συνάγονται οἱ σατράπαι, καὶ οἱ στρατηγοὶ, καὶ οἱ τοπάρχαι, καὶ οἱ δυνάσται τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας, ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη, καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθη, καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς.

95. Καὶ προσεκύνησεν ἐνώπιον αὐτῶν ὁ βασιλεὺς τῷ Κυρίῳ· καὶ ἀπεκρίθη Ναβουχοδονόσορ, καὶ εἶπεν· Εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγὼ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ, ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ· καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι, μηδὲ B προσκυνήσωσι παντὶ θεῷ, ἀλλ' ἢ τῷ Θεῷ αὐτῶν.

96. Καὶ ἐγὼ ἐκτίθεμαι δόγμα, ὅπως πᾶς λαὸς, φυλὴ, γλῶσσα, ἡ ἐὰν εἴπῃ βλασφημίαν κατὰ τοῦ Θεοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγὼ, εἰς ἀπώλειαν ἔσονται, καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγὴν ἔσονται· καθότι οὐκ ἔστι Θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι αὐτοὺς οὕτως.

97. Τότε ὁ βασιλεὺς κατεύθυνε τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγὼ, ἐν τῇ χώρᾳ Βαβυλῶνος, καὶ ηὔξησεν αὐτοὺς, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων, τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ.

98. Ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ, εἰρήνη ὑμῖν πληθυνθείη.

99. Τὰ σημεῖα, καὶ τὰ τέρατα, ἃ ἐποίησε μετ' C ἐμοῦ ὁ Θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον μου ἀναγγεῖλαι ὑμῖν, ὡς μεγάλη, καὶ ἰσχυρά.

100. Ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἐγὼ Ναβουχοδονόσορ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου ✻ καὶ πίων ✻ ἐν τῷ λαῷ μου.

2. Ἐνύπνιον εἶδον, καὶ ἐφοβέρισέ με καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με.

3. Καὶ παρ' ἐμοῦ ἐξετέθη δόγμα, τοῦ εἰσαγαγεῖν ἐνώπιόν μου πάντας τοὺς σοφοὺς Βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσί μοι.

4. Καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ, μάγοι, γαζαρηνοὶ, Χαλδαῖοι, καὶ τὸ ἐνύπνιον εἶπον ἐγὼ ἐνώπιον D αὐτῶν, καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι.

5. Ἕως οὗ ἕτερος εἰσῆλθεν ἐνώπιόν μου, Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ Θεοῦ μου, ὃς Πνεῦμα Θεοῦ ἅγιον ἔχει ἐν ἑαυτῷ· καὶ ἐνύπνιον ἐνώπιον αὐτοῦ εἶπον.

6. Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἔγνων ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν σοὶ, καὶ πᾶν μυστήριον οὐκ ἀδυνατεῖ σοι, ἄκουσον τὴν ὅρασιν τοῦ ἐνυπνίου οὗ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπέ μοι.

7. Καὶ τὰς ὁράσεις τῆς κεφαλῆς μου ἐπὶ τῆς κοίτης μου ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἓν ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ.

Digitized by Google

8. Ἐμεγαλύνθη τὸ δένδρον, καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κῦτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς.

9. Τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατῴκει τὰ ὄρνεα τοῦ οὐρανοῦ· ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ.

10. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ Εἴρ, καὶ ἅγιος ἀπὸ οὐρανοῦ κατέβη.

11. Καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν· Ἐκκόψατε τὸ δένδρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ· σαλευθήτω τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ.

12. Πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ, καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς.

13. Ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτήν.

14. Διὰ συγκρίματος Εἴρ, ὁ λόγος, καὶ ῥῆμα ἅγιον τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες, ὅτι Κύριός ἐστιν ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ, δώσει αὐτὴν, καὶ ἐξουθένημα ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν.

15. Τοῦτο τὸ ἐνύπνιον εἶδον ἐγὼ ὁ βασιλεὺς Ναβουχοδονόσορ, καὶ σὺ, Βαλτάσαρ, τὸ σύγκριμα εἰπὲ κατέναντι, ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι· σὺ δὲ δύνασαι, ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν σοί.

16. Τότε Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, ἀπηνεώθη ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν· ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν· Βαλτάσαρ, τὸ ἐνύπνιον, καὶ ἡ σύγκρισις μὴ κατασπευσάτω σε· ἀπεκρίθη Βαλτάσαρ, καὶ εἶπεν· Κύριέ μου, τὸ ἐνύπνιον τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου.

17. Τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν, καὶ τὸ ἰσχυκὸς, οὗ τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ τὸ κῦτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν.

18. Καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ· ὑποκάτω αὐτοῦ κατῴκει τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα τοῦ οὐρανοῦ.

19. Σὺ εἶ, βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἐμεγαλύνθη, καὶ ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς.

20. Καὶ ὅτι εἶδεν ὁ βασιλεὺς Εἴρ, καὶ ἅγιον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν, Ἐκτίλατε τὸ δένδρον, καὶ διαφθείρατε αὐτὸ, καὶ πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ, καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως; ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ' αὐτόν.

8. Et magnificata est arbor, et invaluit, et altitudo ejus pervenit usque ad cœlum, et latitudo ejus ad terminos universæ terræ.

9. Folia ejus pulchra, et fructus ejus multus, et esca universorum in ea; et subter eam habitabant bestiæ agrestes, et in ramis ejus habitabant volucres cœli: ex ea nutriebatur omnis caro

10. Videbam in visione noctis in cubili meo, et ecce Hir, et Sanctus de cœlo descendit.

11. Clamavitque in fortitudine, et sic ait: Succidite arborem, et evellite ramos ejus, et excutite folia ejus, et dispergite fructum ejus: abigantur bestiæ subter eam, et volucres de ramis ejus.

12. Verumtamen germen radicum ejus in terra sinite, et in vinculo ferreo, et æreo, et in herba, quæ foris est, et in rore cœli commorabitur, et cum feris pars ejus in herba terræ.

13. Cor ejus ab hominibus commutabitur, et cor feræ dabitur ei; et septem tempora mutabuntur super eam.

14. Per decretum Hir sermo, et verbum sanctum petitio, ut cognoscant viventes, quod Dominus est ipse Altissimus regni hominum, et quicumque voluerit, dabit illud, et quod pro nihilo habetur ab hominibus, eriget super illud.

15. Hoc somnium vidi ego rex Nabuchodonosor, et tu, Baltasar, interpretationem dicito coram: quia omnes sapientes regni mei non possunt interpretationem ejus declarare mihi; tu autem potes, quia Spiritus Dei sanctus est in te.

16. Tunc Daniel, cujus nomen Baltasar, obmutuit quasi hora una, et cogitationes ejus conturbabant eum. Respondit rex, et dixit: Baltasar, somnium, et interpretatio ne sollicitum te reddat; respondit Baltasar, et dixit: Domine mi, somnium sit his, qui te oderunt, et interpretatio ejus hostibus tuis.

17. Arbor quam vidisti magnificatam, et corroboratam, cujus altitudo pervenit ad cœlum, et latitudo ejus in universam terram.

18. Et folia ejus florentia, et fructus ejus multus, et esca omnibus in ea: subter eam habitabant bestiæ agri, et in ramis ejus commorabantur aves cœli.

19. Tu es, o rex, quia magnificatus es, et invaluisti, et magnitudo tua magnificata est, et pervenit ad cœlum, et potentia tua ad terminos terræ.

20. Quod autem vidit rex Hir, et sanctum descendentem de cœlo, et dixit: Evellite arborem, et destruite eam, attamen germen radicum ejus in terra dimittite, et in vinculo ferreo, et æreo, et in herba quæ foris, et in rore cœli commorabitur, et cum bestiis agrestibus pars ejus, donec septem tempora mutentur super eum.

Digitized by Google

21. Hæc interpretatio ejus, o rex, et sententia Altissimi est, quæ pervenit super dominum meum regem, et te ejicient ab hominibus, et cum bestiis agrestibus erit habitatio tua.

22. Et fœno ut bovem pascent te, et de rore cœli corpus tuum aspergetur, et septem tempora mutabuntur super te, donec scias, quod dominatur Excelsus super regnum hominum, et cuicumque voluerit, dabit illud.

23. Quod autem dixit: Dimittite germen radicum arboris: regnum tuum tibi manebit, postquam cognoveris potestatem cœlestem.

24. Quamobrem, rex, consilium meum placeat tibi, et peccata tua in eleemosynis redime, et injustitias tuas in miserationibus pauperum: fortasse erit longanimitas pro delictis tuis.

25. Hæc omnia venerunt super te Nabuchodonosor regem.

26. Post menses duodecim in templo regni sui Babylone deambulabat.

27. Et respondit rex, et dixit: Nonne hæc est Babylon magna, quam ego ædificavi in domum regni, in robore fortitudinis meæ?

28. Cum adhuc sermo esset in ore regis, vox de cœlo facta est: Tibi dicitur, Nabuchodonosor rex: regnum tuum transiit a te.

29. Et ab hominibus te ejicient, et cum bestiis agrestibus habitatio tua, et fœno ut bovem cibabunt te, et septem tempora mutabuntur super te donec scias, quod dominatur Excelsus super regnum ipsorum hominum, et cuicumque voluerit, dabit illud.

30. Eadem hora sermo completus est super Nabuchodonosor, et ex hominibus ejectus est, et fœnum ut bos comedit, et de rore cœli corpus ejus infectum est, donec capilli ejus quasi leonum creverunt, et ungues ejus quasi avium.

31. Et post finem dierum ego Nabuchodonosor oculos meos ad cœlum levavi, et sensus mei ad me reversi sunt, et Altissimo benedixi, et viventem in sempiternum laudavi, et glorificavi, quia potestas ejus potestas sempiterna, et regnum ejus in generationem et generationem.

32. Et omnes habitatores terræ quasi nihil computati sunt, et juxta voluntatem suam facit in virtute cœli, et in habitatione terræ. Et non est, qui resistat manui ejus, et dicat ei: Quid fecisti?

33. Ipso tempore sensus mei reversi sunt in me, et ad honorem regni mei veni, et figura mea reversa est ad me: et tyranni, et magnates mei quærebant me, et in regno meo confortatus sum, et magnificentia amplior addita est mihi.

34. Et nunc ego Nabuchodonosor laudo, et exalto, et glorifico regem cœli, quia omnia opera

A 21. Τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα Ὑψίστου ἐστὶν, ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα, καὶ σὲ ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία σου.

22. Καὶ χόρτον ὡς βοῦν ψωμίσουσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμά σου βαφήσεται, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σὲ, ἕως οὗ γνῷς, ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ, δώσει αὐτήν.

23. Καὶ ὅτι εἶπεν, Ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου· ἡ βασιλεία σου σοὶ μενεῖ, ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον.

24. Διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἴσως
D ἔσται μακροθυμία τοῖς παραπτώμασί σου.

25. Ταῦτα πάντα ἔφθασεν ἐπὶ σὲ Ναβουχοδονόσορ τὸν βασιλέα.

26. Μετὰ δωδεκάμηνον ἐν τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Ραβυλῶνι περιπατῶν ἦν.

27. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν, Οὐχ αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου;

28. Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο· Σοὶ λέγεται, Ναβουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ.

29. Καὶ ἀπὸ τῶν ἀνθρώπων σὲ ἐκδιώξουσι, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμίσουσί σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται
C ἐπὶ σοὶ, ἕως οὗ γνῷς, ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας αὐτῶν τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν.

30. Αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων.

31. Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἔλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τὸν Ὕψιστον εὐλόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας ἤνεσα, καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ, ἐξουσία
B αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

32. Καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλογίσθησαν· καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. Καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ· Τί ἐποίησας;

33. Αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμοὶ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμὲ, καὶ οἱ τύραννοί μου, καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι.

34. Καὶ νῦν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ, καὶ ὑψῶ, καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ

Digitized by Google

ἔργα αὐτοῦ ἀληθινὰ, καὶ αἱ τρίβοι αὐτοῦ κρίσις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ, δύναται ταπεινῶσαι.

ejus vera, et semitæ ejus judicium, et omnes gradientes in superbia potest humiliare.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος.

2. Πίνων Βαλτάσαρ ὁ βασιλεὺς εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου, τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἰερουσαλὴμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παράκοιτοι αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ.

3. Καὶ ἠνέχθη τὰ σκεύη τὰ ἀργυρᾶ, καὶ τὰ χρυσᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ τοῦ ἐν Ἰερουσαλὴμ, καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ παράκοιτοι αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ.

4. Καὶ ἔπινον οἶνον, καὶ ἤνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους· καὶ τὸν Θεὸν τοῦ οὐρανοῦ οὐκ εὐλόγησαν, τὸν ἔχοντα ἐξουσίαν τοῦ πνεύματος αὐτῶν.

5. Ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως· καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης.

6. Τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτὸν, καὶ οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ ✕ τοῦτο τούτῳ /. συνεκρούετο.

7. Καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μάγους, Χαλδαίους, γαζαρηνούς· καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν τοῖς σοφοῖς Βαβυλῶνος, ὅτι Πᾶς ἄνθρωπος, ὃς ἐὰν ἀναγνῷ τὴν γραφὴν ταύτην, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τοῦ τραχήλου αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει.

8. Καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι, οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ.

9. Καὶ ὁ βασιλεὺς Βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐπ' αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο.

10. Καὶ ἡ βασίλισσα κατέναντι τῶν λόγων τοῦ βασιλέως, καὶ τῶν μεγιστάνων αὐτοῦ εἰς τὸν οἶκον τοῦ πότου εἰσῆλθεν, καὶ ἀπεκρίθη ἡ βασίλισσα, καὶ εἶπεν· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω.

11. Ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου, ἐν ᾧ Πνεῦμα Θεοῦ ἅγιον ἐν αὐτῷ, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγόρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλδαίων, γαζαρηνῶν κατέστησεν αὐτόν.

12. Ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ φρόνησις, καὶ σύνεσις, συγκρίνων ἐνύπνια, καὶ ἀναγγέλλων κρατούμενα· καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐτῷ ὄνομα Βαλ-

CAPUT V.

1. Baltasar rex fecit grande convivium optimatibus suis mille, et e regione ipsorum mille, vinum.

2. Bibens Baltasar rex dixit in gustu vini, ut afferrentur vasa aurea, et argentea, quæ asportaverat Nabuchodonosor pater ejus de templo, quod erat in Jerusalem, et biberent in eis rex, et optimates ejus, et concubinæ ejus, et scorta ejus.

3. Et allata sunt vasa argentea, et aurea, quæ asportaverat Nabuchodonosor de templo Dei, quod fuerat in Jerusalem : et bibebant in eis rex, et optimates ejus, et concubinæ ejus, et scorta ejus.

4. Et bibebant vinum, et laudabant deos aureos, et argenteos, et æreos, et ferreos, ligneosque, et lapideos : et Deo cœli non benedixerunt habenti potestatem spiritus eorum.

5. In eadem hora egressi sunt digiti manus hominis, et scribebant e regione lampadis in tectorio parietis domus regis ; et rex contemplabatur articulos manus scribentis.

6. Tunc regis forma immutata est, et cogitationes ejus conturbabant eum, et compages renum ejus dissolvebantur, et genua ejus alterum alteri collidebantur.

7. Et clamavit rex in fortitudine, ut introducerent magos, Chaldæos, gazarenos. Et respondit rex, et dixit sapientibus Babylonis, quod Omnis homo quicumque legerit scripturam hanc, et conjecturam ejus manifestam mihi fecerit, purpura vestietur, et torques aurea super collum ejus, et tertius in regno meo princeps erit.

8. Et ingrediebantur omnes sapientes regis, et non poterant scripturam legere, neque significationem indicare regi.

9. Et rex Baltasar turbatus est, et forma ejus immutata est in illo, et optimates ejus conturbabantur.

10. Et regina propter verba regis, et optimatum ejus in domum convivii ingressa est, et respondit regina, et dixit : Rex, in æternum vive : non conturbent te cogitationes tuæ, et forma tua non immutetur.

11. Est vir in regno tuo, in quo est Spiritus Dei sanctus in eo, et in diebus patris tui vigilantia et intelligentia inventæ sunt in eo ; et rex Nabuchodonosor pater tuus principem incantatorum, magorum, Chaldæorum, gazarenorum constituit eum.

12. Quia spiritus amplior in eo, et prudentia, et intellectus conjiciens somnia, et indicans ostenta : et rex imposuit ei nomen Baltasar : nunc itaque

Digitized by Google

vocetur Daniel, et conjecturam ejus indicabit tibi.

13. Tunc Daniel introductus est coram rege, et dixit rex Danieli: Tu es Daniel, qui de filiis captivitatis Judææ, quam adduxit rex pater meus de Judæa?

14. Et audivi de te, quia Spiritus Dei sanctus in te, et vigilantia, et intelligentia, et sapientia amplior inventæ sunt in te.

15. Et nunc ingressi sunt in conspectu meo sapientes, magi, gazareni, ut scripturam hanc legerent, et conjecturam ejus indicarent mihi, et non potuerunt interpretationem sermonis hujus indicare mihi.

16. Et ego audivi de te, quia potes judicia interpretari, et solvere perplexa : et nunc si poteris legere scripturam, et conjecturam ejus indicare mihi, purpura vestieris, et torques aureus erit super collum tuum, et tertius in regno meo princeps eris.

17. Tunc respondit Daniel, et dixit coram rege: Munera tua tibi erunt, et donum regni tui alteri da: ego autem scripturam legam regi, et conjecturam ejus ostendam tibi, o rex.

18. Deus altissimus regnum, et magnificentiam, et honorem, et gloriam dedit Nabuchodonosor patri tuo.

19. Et a magnificentia, quam dedit ei, omnes populi, tribus, linguæ erant trementes, et metuentes a facie ejus: quos volebat ipse interficiebat, et quos volebat ipse servabat, et quos volebat ipse exaltabat, et quos volebat ipse humiliabat.

20. Et quando elevatum est cor ejus, et spiritus ejus obfirmatus est ad superbiendum, depositus est de solio regni sui.

21. Et honor ejus ablatus est ab eo, et ex hominibus ejectus est, et cor ejus cum bestiis datum est, et cum onagris habitatio ejus : et fœno ut bovem cibaverunt eum, et de rore cœli corpus ejus madefactum est, donec cognovit, quia dominatur Deus altissimus super regnum hominum, et cuicumque voluerit, dabit illud.

22. Et tu filius ejus Baltasar non humiliasti cor tuum coram Deo, cujus omnia hæc noras.

23. Et super Dominum Deum cœli elevatus es, et vasa domus ejus attulerunt coram te, et tu, et optimates tui, et concubinæ tuæ, et scorta tua bibebatis vinum in eis, et deos aureos, et argenteos, et æneos, et ferreos, et ligneos, et lapideos, qui non vident, et non audiunt, et non sentiunt, laudasti; et Deum, cujus respiratio tua in manu ejus, et omnes viæ tuæ, ipsum non glorificasti.

24. Idcirco a facie ejus missus est articulus manus, et scripturam hanc ordinavit.

A τάσαρ· νῦν οὖν κληθήτω Δανιὴλ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖ σοι.

13. Τότε Δανιὴλ εἰσήχθη ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Σὺ εἶ Δανιὴλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου ἀπὸ τῆς Ἰουδαίας;

14. Καὶ ἤκουσα περὶ σοῦ, ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν σοὶ, καὶ γρηγόρησις, καὶ σύνεσις, καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί.

15. Καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοὶ, μάγοι, γαζαρηνοὶ, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσί μοι, καὶ οὐκ ἠδυνήθησαν τὴν σύγκρισιν τοῦ λόγου τούτου ἀναγγεῖλαί μοι.

B 16. Καὶ ἐγὼ ἤκουσα περὶ σοῦ, ὅτι δύνασαι συγκρίματα συγκρίνειν, καὶ λύειν συνδέσμους· καὶ νῦν ἐὰν δυνηθῇς ἀναγνῶναι τὴν γραφὴν, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις.

17. Τότε ἀπεκρίθη Δανιὴλ, καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως· Τὰ δόματά σου σοὶ ἔσται, καὶ τὴν δωρεὰν τῆς βασιλείας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοὶ, βασιλεῦ.

18. Ὁ Θεὸς ὁ ὕψιστος τὴν βασιλείαν, καὶ τὴν μεγαλωσύνην, καὶ τὴν τιμὴν, καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσορ τῷ πατρί σου.

C 19. Καὶ ἀπὸ τῆς μεγαλωσύνης, ἧς ἔδωκεν αὐτῷ, πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι ἦσαν τρέμοντες, καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ· οὓς ἐβούλετο αὐτὸς ἀνῄρει, καὶ οὓς ἐβούλετο αὐτὸς ἔσωζε, καὶ οὓς ἐβούλετο αὐτὸς ὕψου, καὶ οὓς ἐβούλετο αὐτὸς ἐταπείνου.

20. Καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύεσθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ.

21. Καὶ ἡ τιμὴ αὐτοῦ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ ὄνων ἀγρίων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτὸν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω, ὅτι κυριεύει ὁ Θεὸς ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν.

D 22. Καὶ σὺ ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ, οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατενώπιον τοῦ Θεοῦ, οὗ πάντα ταῦτα ἔγνως.

23. Καὶ ἐπὶ τὸν Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκαν ἐνώπιόν σου, καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου, καὶ αἱ παράκοιτοί σου, καὶ αἱ παλλακαί σου ἐπίνετε οἶνον ἐν αὐτοῖς, καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους, οἳ οὐ βλέπουσι, καὶ οὐ γινώσκουσιν, ᾔνεσας, καὶ τὸν Θεὸν οὗ ἡ πνοή σου ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας..

24. Διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς, καὶ τὴν γραφὴν ταύτην ἐνέταξεν.

Digitized by Google

25. Καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη· MANH, ΘΕΚΕΛ, ΦΑΡΕΣ.

26. Καὶ τοῦτο τὸ σύγκριμα τοῦ ἐρωτήματος· MANH, ἐμέτρησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ἐπλήρωσεν αὐτήν.

27. ΘΕΚΕΛ, ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα.

28. ΦΑΡΕΣ, διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις, καὶ Πέρσαις.

29. Καὶ εἶπεν Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐκήρυξε περὶ αὐτοῦ, εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

30. Ἐν ταύτῃ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ ὁ βασιλεὺς ὁ Χαλδαῖος.

31. Καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβεν τὴν βασιλείαν, ὢν ἐτῶν ἑξήκοντα δύο.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

1. Καὶ ἤρεσεν ἐνώπιον Δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς βασιλείας σατράπας ἑκατὸν καὶ εἴκοσι, τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ.

2. Καὶ ἐπάνω πάντων αὐτῶν τακτικοὺς τρεῖς· καὶ ἦν Δανιὴλ εἷς ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται.

3. Καὶ ἦν Δανιὴλ ὑπερνικῶν ὑπὲρ τοὺς τακτικοὺς καὶ τοὺς σατράπας κατέναντι, ὅτι πνεῦμα περισσὸν ἦν ἐν αὐτῷ.

4. Καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ· καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιὴλ ἐκ τῆς βασιλείας, καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν.

5. Καὶ εἶπον οἱ ταχτικοὶ ἐκεῖνοι, Οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν, εἰ μὴ ἐν νομίμοις Θεοῦ αὐτοῦ.

6. Τότε οἱ ταχτικοὶ καὶ σατράπαι παρέστησαν τῷ βασιλεῖ, καὶ εἶπον αὐτῷ· Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

7. Συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ, καὶ σατράπαι, ὕπατοι, καὶ τοπάρχαι, τοῦ στῆσαι στάσιν βασιλικὴν, καὶ ἐνισχύσαι ὁρισμὸν, ὅπως ὃς ἐὰν αἰτήσῃ αἴτημα παρὰ παντὸς θέοῦ, ἢ ἀνθρώπων, ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων.

8. Νῦν οὖν, βασιλεῦ, στῆσον τὸν ὁρισμὸν, καὶ ἔκθες γραφὴν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Μήδων καὶ Περσῶν, ὅπως μὴ παραλλαγῇ κατέναντι τούτου.

9. Τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα.

10. Καὶ Δανιὴλ ἡνίκα ἔγνω, ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ θυρίδες ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι Ἱερουσαλὴμ, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος, καὶ ἐξομολογούμενος ἐναντίον τοῦ Θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν.

11. Τότε οἱ ἄνδρες ἐκεῖνοι παρετηρήσαντο, καὶ εὗρον τὸν Δανιὴλ ἀξιοῦντα, καὶ δεόμενον ἔμπροσθεν τοῦ Θεοῦ αὐτοῦ.

25. Et hæc scriptura, quæ ordinata est: MANE, THECEL, PHARES.

26. Et hæc est interpretatio interrogationis: MANE, mensus est Deus regnum tuum, et complevit illud.

27. THECEL, appensum est in statera, et inventum est minus habens.

28. PHARES, divisum est regnum tuum et datum est Medis, et Persis.

29. Et dixit Baltasar, et induerunt Danielem purpura, et torquem aureum circumdederunt collo ejus, et prædicavit de eo, esse ipsum principem tertium in regno suo.

30. In eadem nocte interfectus est Baltasar rex Chaldæus.

31. Et Darius Medus assumpsit regnum annos natus sexaginta duos.

CAPUT VI.

1. Et placuit in conspectu Darii, et constituit super regnum satrapas centum et viginti, ut essent in toto regno suo.

2. Et super omnes eos, præfectos tres: et erat Daniel unus ex eis: ut satrapæ illis redderent rationem, ut rex non sustineret molestias.

3. Et erat Daniel prævalens super præfectos et satrapas coram, quia spiritus amplior erat in eo.

4. Et rex constituit eum super omne regnum suum: et præfecti et satrapæ quærebant invenire occasionem contra Danielem de regno: et omnem occasionem et delictum non invenerunt contra eum, eo quod fidelis erat.

5. Et dixerunt præfecti illi: Non inveniemus contra Danielem occasionem, nisi in legitimis Dei sui.

6. Tunc præsides et satrapæ astiterunt regi, et dixerunt ei: Dari rex, in æternum vive.

7. Consilium inierunt omnes, qui super regnum tuum duces et satrapæ, consules et toparchæ, statuere decretum regium, et confirmare constitutionem, ut quicumque petierit petitionem a quocumque deo, aut ab hominibus usque ad triginta dies, nisi a te, rex, mittatur in lacum leonum.

8. Nunc igitur, rex, statue constitutionem, et propone scripturam, ut non immutetur decretum Medorum et Persarum, neque violetur super hoc.

9. Tunc rex Darius jussit scribi decretum.

10. Et Daniel quando cognovit constitutum esse decretum, ingressus est in domum suam: et fenestris apertis ei in cœnaculis suis contra Jerusalem, et tribus temporibus diei erat flectens se super genua sua, et orans, et confitens coram Deo suo, sicut ante facere consueverat.

11. Tunc viri illi observarunt, et invenerunt Danielem obsecrantem et orantem coram Deo suo.

Digitized by Google

12. Et accedentes dicunt regi: Rex, nonne constitutionem posuisti, ut omnis homo quicumque petierit a quocumque deo et hominibus petitionem usque ad tringinta dies, nisi a te, rex, mittatur in lacum leonum?

13. Et dixit rex, Verus est sermo, et decretum Medorum et Persarum non contemnetur.

14. Tunc responderunt, et dicunt coram rege: Daniel, qui de filiis captivitatis Judææ, non subdidit se decreto tuo circa legem, quam statuisti: et tribus temporibus diei petit a Deo suo petitiones suas. Tunc rex, ut audivit verbum, valde contristatus est in eo: et pro Daniele decertabat ad liberandum eum, et usque ad occasum solis laborabat, ut erueret eum.

15. Tunc viri illi animadverterunt super regem, et dicunt regi: Scito, rex, quia decretum Medis et Persis est, ut omnem legem et statutum, quodcumque rex statuerit, non oporteat immutari.

16. Tunc rex dixit: et adduxerunt Danielem, et miserunt eum in lacum leonum, et dixit rex Danieli: Deus, quem tu colis semper, ipse liberabit te.

17. Et attulerunt lapidem unum, et imposuerunt super os laci: et obsignavit rex in annulo suo, et annulo optimatum suorum, ne quid secus fieret in Danielem.

18. Et abiit rex in domum suam, et dormivit incœnatus, et cibos non attulerunt ei, et somnus recessit ab eo: et conclusit Deus ora leonum, et non affecerunt molestia Danielem.

19. Tunc rex surrexit mane diluculo, et in festinatione venit ad lacum leonum.

20. Et cum appropinquaret ipse lacui, Danieli in voce forti clamavit, et respondit rex, et dixit Danieli: Daniel serve Dei viventis, Deus tuus, cui tu servis semper, num potuit liberare te de ore leonum?

21. Et loquutus est Daniel regi, et ait: Rex, in sæcula vive.

22. Deus meus misit angelum suum, et obstruxit ora leonum, et non nocuerunt mihi, quia coram eo rectitudo inventa est mihi: sed et coram te, rex, delictum non feci.

23. Tunc rex vehementer gavisus est super eo, et Danielem jussit educi de lacu; et eductus est Daniel de lacu, et nulla læsio inventa est in eo, quia credidit Deo suo.

24. Et dixit rex, et adduxerunt viros, qui accusaverant Danielem, et in lacum leonum missi sunt ipsi, et filii eorum, et uxores eorum: et non pervenerunt ad pavimentum laci, donec dominati sunt eorum leones, et omnia ossa eorum comminuerunt.

12. Καὶ προσελθόντες λέγουσι τῷ βασιλεῖ· Βασιλεῦ, οὐχ ὁρισμὸν ἔταξας, ὅπως πᾶς ἄνθρωπος ὃς ἐὰν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπων αἴτημα, ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων;

13. Καὶ εἶπεν ὁ βασιλεύς, Ἀληθινὸς ὁ λόγος, καὶ τὸ δόγμα Μήδων καὶ Περσῶν οὐ παρελεύσεται.

14. Τότε ἀπεκρίθησαν, καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως· Δανιὴλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, οὐχ ὑπετάγη τῷ δόγματί σου περὶ τοῦ ὁρισμοῦ, οὗ ἐνέταξας, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖται παρὰ τοῦ Θεοῦ αὐτοῦ αἰτήματα αὐτοῦ. Τότε ὁ βασιλεὺς ὡς τὸ ῥῆμα ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτὸν, καὶ ἕως πρὸς δυσμαῖς ἡλίου ἦν ἀγωνιζόμενος ἐξελέσθαι αὐτόν.

15. Τότε οἱ ἄνδρες ἐκεῖνοι παρετηρήσαντο ἐπὶ τὸν βασιλέα, καὶ λέγουσι τῷ βασιλεῖ· Γνῶθι, βασιλεῦ, ὅτι τὸ δόγμα τοῖς Μήδοις καὶ Πέρσαις, τοῦ πάντα ὁρισμὸν, καὶ στάσιν, ἣν ἐὰν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραλλάξαι.

16. Τότε ὁ βασιλεὺς εἶπεν· καὶ ἤγαγον τὸν Δανιὴλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Ὁ Θεὸς ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε.

17. Καὶ ἤνεγκαν λίθον ἕνα, καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ τὸ πρᾶγμα ἐν τῷ Δανιήλ.

18. Καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ' αὐτοῦ· καὶ ἀπέκλεισεν ὁ Θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιήλ.

19. Τότε ὁ βασιλεὺς ἀνέστη τὸ πρωὶ ἐν τῷ φωτὶ, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων.

20. Καὶ ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ, τῷ Δανιὴλ ἐν φωνῇ ἰσχυρᾷ ἐβόησε, καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν τῷ Δανιήλ· Δανιὴλ ὁ δοῦλος τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ Θεός σου ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, εἰ ἐδυνήθη ἐξελέσθαι σε ἀπὸ στόματος τῶν λεόντων;

21. Καὶ ἐλάλησε Δανιὴλ τῷ βασιλεῖ, καὶ εἶπεν· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.

22. Ὁ Θεός μου ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐνέφραξεν τὰ στόματα τῶν λεόντων, καὶ οὐκ ἐλυμῆναντό με, ὅτι κατέναντι αὐτοῦ εὐθύτης εὑρέθη μοι, καὶ ἐνώπιον δὲ σοῦ, βασιλεῦ, παράπτωμα οὐκ ἐποίησα.

23. Τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ, καὶ τὸν Δανιὴλ εἶπεν ἀνενεγκεῖν ἐκ τοῦ λάκκου· καὶ ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσε τῷ Θεῷ αὐτοῦ.

24. Καὶ εἶπεν ὁ βασιλεὺς, καὶ ἤγαγον τοὺς ἄνδρας τοὺς διαβαλόντας τὸν Δανιὴλ, καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν αὐτοὶ, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν· καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν.

Digitized by Google

25. Τότε Δαρεῖος ὁ βασιλεὺς ἔγραψε πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· Εἰρήνη ὑμῖν πληθυνθείη.

26. Ἐκ προσώπου ἐτέθη δόγμα ἐν πάσῃ ἀρχῇ τῆς βασιλείας μου, τοῦ εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ προσώπου τοῦ Θεοῦ Δανιὴλ, ὅτι αὐτός ἐστι Θεὸς ζῶν, καὶ μένων εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, καὶ κυρεία αὐτοῦ ἕως τέλους.

27. Ἀντιλαμβάνεται, καὶ ῥύσεται, καὶ ποιεῖ σημεῖα καὶ τέρατα ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ὅστις ἐξεῖλετο τὸν Δανιὴλ ἐκ στόματος τῶν λεόντων.

28. Καὶ Δανιὴλ οὗτος κατεύθυνεν ἐν τῇ βασιλείᾳ Δαρείου, καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ βασιλέως Χαλδαίων, Δανιὴλ ἐνύπνιον εἶδε, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον ἔγραψεν· ἀρχὴ λόγων αὐτοῦ, καὶ ἀποκριθεὶς εἶπεν.

2. Ἐγὼ Δανιὴλ ἐθεώρουν ἐν τῇ ὁράσει μου τῆς νυκτός· καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην.

3. Καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης διαφέροντα ἀλλήλων.

4. Τὸ πρῶτον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτοῦ ὡσεὶ ἀετοῦ· ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτοῦ· καὶ ἐξῄρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ.

5. Καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρία πλεῦρα ἐν τῷ στόματι αὐτῆς, ἀνάμεσον τῶν ὀδόντων αὐτῆς· καὶ οὕτως ἔλεγον αὐτῇ, Ἀνάστηθι, φάγε σάρκας πολλάς.

6. Ὀπίσω τούτου ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός· καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις· καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῷ.

7. Ὀπίσω τούτου ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός· καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν, καὶ ἔκθαμβον, καὶ ἰσχυρὸν περισσῶς, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ μεγάλοι, ἐσθίον, καὶ λεπτύνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ διέφερε περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα αὐτῷ δέκα.

8. Προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβαινεν ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξεριζώθη ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ, ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα.

9. Ἐθεώρουν ἕως ὅτε θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ, ὡσεὶ χιὼν λευκὸν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον.

10. Ποταμὸς πυρὸς εἵλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεγνώσθησαν.

11. Ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων, ὧν τὸ

25. Tunc Darius rex scripsit omnibus populis, tribubus, linguis, habitantibus in universa terra: Pax vobis multiplicetur.

26. A facie positum est decretum in omni principatu regni mei, ut sint trementes et metuentes a facie Dei Danielis, quia ipse est Deus vivens, et manens in sæcula: et regnum ejus non destructur, et dominatio ejus usque in finem.

27. Suscipit, et liberat, et facit signa et prodigia in cœlo, et in terra: qui liberavit Danielem de ore leonum.

28. Et Daniel ipse prospere agebat in regno Darii, et in regno Gyri Persæ.

CAPUT VII.

1. In anno primo Baltasar regis Chaldæorum, Daniel somnium vidit, et visiones capitis ejus in cubiculo ejus, et somnium scripsit: principium sermonum ejus, et respondens dixit.

2. Ego Daniel videbam in visione mea noctis, et ecce quatuor venti cœli irruebant in mare magnum.

3. Et quatuor bestiæ grandes ascendebant de mari diversæ inter se.

4. Prima quasi leæna, et alæ ejus sicut aquilæ: aspiciebam, donec evulsæ sunt alæ ejus, et sublata est de terra, et super pedes hominis stetit, et cor hominis datum est ei.

5. Et ecce bestia alia similis urso, et in parte una stetit, et tria latera in ore ejus inter dentes ejus, et sic dicebant ei: Surge, comede carnes multas.

6. Post hanc aspiciebam in visione noctis, et ecce alia bestia quasi pardus, et huic alæ quatuor volucris super ipsam, et quatuor capita bestiæ, et potestas data est ei.

7. Post hanc aspiciebam in visione noctis, et ecce bestia quarta terribilis, atque mirabilis, et fortis nimis, et dentes ejus ferrei, et magni, comedens, atque comminuens, et reliqua pedibus suis conculcabat; et ipsa differebat nimis præ omnibus bestiis, quæ ante eam (fuerant), et cornua ei decem.

8. Considerabam cornua ejus, et ecce cornu aliud parvum ascendebat in medio eorum: et tria cornua eorum, quæ erant ante ipsum, evulsa sunt a facie ejus: et ecce oculi quasi oculi hominis in cornu isto, et os loquens magna.

9. Aspiciebam, donec throni positi sunt, et Antiquus dierum sedit, et vestimentum ejus quasi nix candidum, et capillus capitis ejus quasi lana munda: thronus ejus flamma ignis, rotæ ejus ignis flagrans.

10. Flumen ignis trahebat egrediens in conspectu ejus: millia millium deserviebant ei, et dena millia denum millium adstabant ante eum: judicium sedit, et libri lecti sunt.

11. Aspiciebam tunc a voce sermonum, quos

Digitized by Google

cornu illud loquebatur, aspiciens eram, quoad usque interfecta est bestia, et periit, et corpus ejus datum est in combustionem ignis.

12. Et cæterarum bestiarum translatus est principatus, et longitudo vitæ data est eis usque ad tempus et opportunitatem.

13. Aspiciebam in visione noctis, et ecce cum nubibus cœli quasi Filius hominis veniens erat, et usque ad Antiquum dierum pervenit, et in conspectu ejus oblatus est ei.

14. Et ipsi datus est principatus, et honor, et regnum, et omnes populi, tribus, linguæ ipsi serviunt: et potestas sempiterna, quæ non pertransibit, et regnum ejus non destruetur.

15. Horruit spiritus meus, ego Daniel in habitu meo, et visiones capitis mei conturbabant me.

16. Et accessi ad unum assistentium, et veritatem quærebam ab eo discere de omnibus his: et dixit mihi veritatem, et interpretationem sermonum declaravit mihi.

17. Hæ bestiæ magnæ quatuor, quatuor regna surgent in terra, quæ auferentur.

18. Et suscipient regnum sancti Altissimi, et obtinebunt illud usque in sæculum sæculorum.

19. Et quærebam diligenter de bestia quarta, quia erat dissimilis ab omni bestia, et terribilis nimis: dentes ejus ferrei, et ungues ejusærei: comedens, et comminuens, et reliqua pedibus suis conculcabat.

20. Et de cornibus ejus decem, quæ in capite ejus, et alio quod ascendit, et excussit de prioribus tria: et cornu illud, cui oculi sunt ei, et os loquens grandia, et aspectus eorum major cæteris.

21. Aspiciebam, et cornu illud faciebat bellum cum sanctis, et prævalebat adversus eos.

22. Quoad usque venit Antiquus dierum, et judicium dedit sanctis Altissimi, et tempus advenit, et regnum obtinuerunt sancti.

23. Et dixit sic: Bestia quarta regnum quartum erit in terra, quod eminebit super omnia regna, et devorabit universam terram, et conculcabit eam, et concidet eam.

24. Et decem cornua ejus, decem reges consurgent: et post eos consurget alius, qui superabit malis omnes priores, et tres reges humiliabit.

25. Et sermones contra Excelsum loquetur, et sanctos Altissimi antiquabit, et cogitabit mutare tempora, et legem, et dabitur in manu ejus usque ad tempus, et tempora, et dimidium temporis.

26. Et judicium sedit, et principatum ejus transferent ad exterminandum et perdendum usque in finem.

27. Et regnum, et potestas, et magnitudo re-

A κέρας ἐκεῖνο ἐλάλει, θεωρῶν ἤμην, ἕως ἀνῃρέθη τὸ θηρίον, καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.

12. Καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχή, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως χρόνου καὶ καιροῦ.

13. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ.

14. Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύουσιν· καὶ ἡ ἐξουσία αἰώνιος, ἥ τις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.

15. Ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιὴλ ἐν τῇ ἕξει
B μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με.

16. Καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ μαθεῖν περὶ πάντων τούτων· καὶ εἶπέ μοι τὴν ἀκρίβειαν, καὶ τὴν σύγκρισιν τῶν λόγων ἐγνώρισέ μοι.

17. Ταῦτα τὰ θηρία τὰ μεγάλα τὰ τέσσαρα, τέσσαρες βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς, αἳ ἀρθήσονται.

18. Καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι Ὑψίστου, καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος, καὶ ἕως αἰῶνος τῶν αἰώνων.

19. Καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διάφορον παρὰ πᾶν θηρίον, καὶ φοβερὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον, καὶ λεπτύνον, καὶ τὰ κατά-
C λοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει.

20. Καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβάντος, καὶ ἐκτινάξαντος τῶν προτέρων τρία, καὶ τὸ κέρας ἐκεῖνο, ᾧ ὀφθαλμοὶ αὐτῷ, καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτῶν μείζων τῶν λοιπῶν.

21. Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς.

22. Ἕως οὗ ἦλθεν ὁ Παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις Ὑψίστου, καὶ ὁ καιρὸς ἔφθασε, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι.

23. Καὶ εἶπεν οὕτως· Τὸ θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ, γῇ ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν
D γῆν, καὶ συμπατήσει αὐτὴν, καὶ κατακόψει αὐτήν.

24. Καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει.

25. Καὶ λόγους πρὸς τὸν Ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους Ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς, καὶ νόμον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ, καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ.

26. Καὶ τὸ κριτήριον ἐκάθισε, καὶ τὴν ἀρχὴν αὐτοῦ μεταστήσουσι τοῦ ἀφανίσαι, καὶ τοῦ ἀπολέσαι ἕως τέλους.

27. Καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγα-

Digitized by Google

λωσύνη τῶν βασιλέων, τῶν ὑποκάτω παντὸς τοῦ A gum, qui sub omni cœlo (sunt) data sunt sanctis
οὐρανοῦ, ἐδόθη ἁγίοις Ὑψίστου· καὶ ἡ βασιλεία Altissimi : et regnum ejus, regnum sempiternum,
αὐτοῦ βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ et omnes principatus ipsi servient, et obedient. Huc-
δουλεύσουσι, καὶ ὑπακούσονται. Ἕως ὧδε πέρας τοῦ usque finis sermonis.
λόγου.

28. Ἐγὼ Δανιὴλ οἱ διαλογισμοί μου ἐπὶ πολὺ συν- 28. Ego Daniel cogitationes meæ multum con-
ετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη, καὶ τὸ turbabant me, et forma mea mutata est, et verbum
ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα. in corde meo conservavi.

ΚΕΦΑΛΑΙΟΝ Η'. CAPUT VIII.

1. Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ, ὅρασις 1. In anno tertio regni Baltasar, visio apparuit
ὤφθη πρὸς μέ· Ἐγὼ Δανιὴλ μετὰ τὴν ὀφθεῖσάν μοι mihi : ego Daniel post eam, quæ apparuerat mihi
τὴν ἀρχήν. in principio.

2. Καὶ εἶδον ἐν τῇ ὁράσει, καὶ ἐγένετο ἐν τῷ ἰδεῖν 2. Et vidi in visione, et factum est cum viderem,
με, καὶ ἤμην ἐν Σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ et eram in Susis castro, quod est in regione Ælam :
Αἰλάμ· καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ Οὐ- B et vidi in visione, et eram super Ubalula.
βαλοῦλα.

3. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ 3. Et levavi oculos meos, et vidi : et ecce aries
ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβαλοῦλα, καὶ unus stans ante Ubalula, et ei cornua, et cornua
αὐτῷ κέρατα, καὶ τὰ κέρατα ὑψηλά· καὶ τὸ ἓν ὑψη- excelsa; et unum excelsius altero, et excelsum
λότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ascendebat in novissimo.
ἐσχάτῳ.

4. Καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν, 4. Et vidi arietem cornibus ventilantem contra
καὶ βορρᾶν, καὶ νότον, καὶ πάντα τὰ θηρία οὐ στή- mare, et aquilonem et austrum, et omnes bestiæ
σονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ non stabant coram eo : et non erat qui erueret de
χειρὸς αὐτοῦ καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, manu ejus, fecitque secundum voluntatem suam, et
καὶ ἐμεγαλύνθη. magnificatus est.

5. Καὶ ἐγὼ ἤμην συνιών, καὶ ἰδοὺ τράγος αἰγῶν 5. Et ego eram intelligens : et ecce hircus ca-
ἤρχετο ἀπὸ Λιβὸς ἐπὶ πρόσωπον τῆς γῆς πάσης· καὶ prarum veniebat ab Africo super faciem terræ uni-
οὐκ ἦν ἁπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ ἐκείνῳ versæ, et non erat tangens terram : et hirco illi
κέρας θεωρητὸν ἀνάμεσον τῶν ὀφθαλμῶν αὐτοῦ. C cornu conspicuum inter oculos ejus.

6. Καὶ ἦλθεν ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέ- 6. Et venit hircus usque ad arietem, qui habebat
ρατα ἔχοντος, ὃν εἶδον ἑστῶτα ἐνώπιον τοῦ Οὐβα- cornua, quem videram stantem ante Ubalula, et
λοῦλα, καὶ ἔδραμε πρὸς αὐτὸν, ἐν ὁρμῇ τῆς ἰσχύος cucurrit ad eum in impetu fortitudinis suæ.
αὐτοῦ.

7. Καὶ εἶδον αὐτὸν φθάσαντα ἕως τοῦ κριοῦ, καὶ 7. Et vidi eum venientem usque ad arietem, et
ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ efferatus est in eum, et percussit arietem, et con-
συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ trivit duo cornua ejus, et non erat fortitudo arieti
ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ· καὶ standi coram eo : et projecit eum in terram, et
ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, conculcavit eum, et non erat qui liberaret arietem
καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ τῆς χειρὸς de manu ejus.
αὐτοῦ.

8. Καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη σφόδρα· 8. Et hircus caprarum magnificatus est valde :
καὶ ἐν τῷ ἰσχύσαι αὐτὸν, συνετρίβη τὸ κέρας αὐτοῦ et, dum invalesceret, contritum est cornu illius ma-
τὸ μέγα, καὶ ἀνέβη τέσσαρα κέρατα ἕτερα ὑποκάτ- gnum, et ascenderunt quatuor cornua alia subter
ωθεν αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐ- D illud per quatuor ventos cœli.
ρανοῦ.

9. Καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυ- 9. Et de uno ex eis egressum est cornu unum
ρὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον, καὶ forte, et magnificatum est nimis contra austrum,
πρὸς ἀνατολὴν, καὶ πρὸς τὴν δύναμιν. et contra orientem, et contra fortitudinem.

10. Καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρα- 10. Et magnificatum est usque ad virtutem cœli ;
νοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως, καὶ et dejecit in terram de fortitudine, et de stellis, et
ἀπὸ τῶν ἀστέρων, καὶ συνεπάτησεν αὐτούς. conculcavit eas.

11. Καὶ ἕως ἄρχοντος τῆς δυνάμεως ἠδρύνθη, καὶ 11. Et usque ad principem virtutis grande evasit,
ἕως οὗ ὁ ἀρχιστράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν, et quoadusque dux militiæ liberaverit captivita-
καὶ δι' αὐτὸν θυσία ἐταράχθη παραπτώματι· καὶ tem, et propter eum sacrificium turbatum est de-
ἐγενήθη, καὶ κατευωδώθη αὐτῷ· καὶ τὸ ἅγιον ἐρη- licto : et factum est, et prospere cessit ei ; et san-
μωθήσεται. ctuarium desolabitur

12. Καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρεί- 12. Et datum est super sacrificium peccatum, et

Digitized by Google

projecta est humi justitia, et fecit, et prospere cessit.

13. Et audivi unum sanctum loquentem : et dixit unus sanctus Phelmuni loquenti : Usquequo visio stabit, et sacrificium ablatum, et peccatum desolationis, quod datum est, et sanctuarium, et fortitudo conculcabitur?

14. Et dixit ei : Usque ad vesperam, et mane dies duo mille, et trecenti : et mundabitur sanctuarium.

15. Et factum est, cum viderem ego Daniel visionem, quærebam intelligentiam : et ecce stetit in conspectu meo quasi species viri.

16. Et audivi vocem viri inter Ubalula, et vocavit, et dixit : Gabriel, fac istum intelligere visionem.

17. Et venit, et stetit prope stationem meam : et cum venisset ipse expavi, et corruo in faciem meam : et dixit ad me : Intellige, fili hominis, adhuc enim in temporis finem visio.

18. Cumque loqueretur ipse mecum, cado in faciem meam super terram : et tetigit me, et statuit me super pedes meos, et dixit :

19. Ecce ego ostendo tibi quæ futura sunt in novissimis iræ : adhuc enim in temporis finem.

20. Aries, quem vidisti, qui habebat cornua, rex Medorum est, et Persarum.

21. Et hircus caprarum rex Græcorum, et cornu grande, quod erat inter oculos ejus, ipse est rex primus.

22. Quod autem contritum est, et steterunt quatuor cornua subter illud, quatuor reges consurgent de gente ejus, et non in fortitudine sua.

23. Et in novissimo regni eorum, completis peccatis eorum, cum obsignata fuerint delicta eorum, consurget rex impudens facie, et intelligens propositiones.

24. Et robusta fortitudo ejus, sed non in robore suo : et mirabiliter vastabit, et prosperabitur, et faciet, et exterminabit fortes, et populum sanctum.

25. Et jugum vinculi ejus dirigetur : dolus in manu ejus, et in corde ejus magnificabitur : et dolo corrumpet multos, et in perditione multorum stabit ✻ et contra principem ✻ principum consurget, et quasi ova in manu conteret eos.

26. Et visio vespere, et mane, quæ dicta est, vera est : et tu signa visionem, quia in dies multos erit.

27. Et ego Daniel decubui, et elangui per dies : et surrexi, et faciebam opera regis, et admirabar visionem, et non erat qui intelligeret.

CAPUT IX.

1. In primo anno Darii filii Assueri de semine Medorum, qui regnavit super regnum Chaldæorum :

2. In anno uno regni ejus, ego Daniel intellexi

φη χαμαὶ ἡ δικαιοσύνη, καὶ ἐποίησε, καὶ εὐωδώθη.

13. Καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος· καὶ εἶπεν εἷς ἅγιος τῷ Φελμουνὶ τῷ λαλοῦντι· Ἕως πότε ἡ ὅρασις στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία τῆς ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον, καὶ ἡ δύναμις συμπατηθήσεται;

14. Καὶ εἶπεν αὐτῷ· Ἕως ἑσπέρας, καὶ πρωῒ ἡμέραι δισχίλιαι, καὶ τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον.

15. Καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιὴλ, τὴν ὅρασιν, ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ ἕστη ἐνώπιόν μου, ὡς ὅρασις ἀνδρός.

16. Καὶ ἤκουσα φωνὴν ἀνδρὸς ἀνάμεσον τοῦ Οὐβαλοῦλα, καὶ ἐκάλεσε, καὶ εἶπε· Γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν.

17. Καὶ ἦλθε, καὶ ἕστη ἐχόμενα τῆς στάσεώς μου· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόσωπόν μου· καὶ εἶπεν πρός μέ· Σύνες, υἱὲ ἀνθρώπου, ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις.

18. Καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου, καὶ εἶπεν·

19. Ἰδοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς· ἔτι γὰρ εἰς καιροῦ πέρας.

20. Ὁ κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Μήδων, καὶ Περσῶν.

21. Καὶ ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς Ἑλλήνων, καὶ τὸ κέρας τὸ μέγα, ὃ ἦν ἀνάμεσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος.

22. Καὶ ὅτι συνετρίβη, καὶ ἕστη τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ, τέσσαρες βασιλεῖς ἀναστήσονται ἀπὸ τοῦ ἔθνους αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ.

23. Καὶ ἐπ' ἐσχάτῳ τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ὡς ἂν σφραγίσονται τὰ παραπτώματα αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα.

24. Καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ θαυμαστὰ διαφθερεῖ, καὶ κατευθυνεῖ, καὶ ποιήσει, καὶ διαφθερεῖ ἰσχυροὺς, καὶ λαὸν ἅγιον.

25 Καὶ ὁ ζυγὸς τοῦ χλοιοῦ αὐτοῦ κατευθυνεῖ· δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλοὺς, καὶ ἐπὶ ἀπωλείᾳ πολλῶν στήσεται ✻ καὶ ἐπὶ ἄρχον ✻ τα ἀρχόντων στήσεται, καὶ ὡς ὠὰ ἐν χειρὶ συντρίψει αὐτούς.

26. Καὶ ἡ ὅρασις τῆς ἑσπέρας, καὶ τῆς πρωΐας, τῆς ῥηθείσης ἀληθής ἐστι· καὶ σὺ σφράγισαι τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλὰς ἔσται.

27. Καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην, καὶ ἐμαλακίσθην ἡμέρας, καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιών.

ΚΕΦΑΛΑΙΟΝ Θ.

1. Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσσυήρου ἀπὸ τοῦ σπέρματος Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ τὴν βασιλείαν Χαλδαίων·

2. Ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ

Digitized by Google

συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς A in libris numerum annorum, qui factus est sermo
ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, Domini ad Jeremiam, prophetam in completionem
εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομή- desolationis Jerusalem septuaginta annis.
κοντα ἔτη.

3. Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν 3. Et dedi faciem meam ad Dominum Deum, ut
Θεὸν, τοῦ ἐπιζητῆσαι προσευχὴν, καὶ δέησιν, ἐν quærerem preces, et obsecrationem in jejuniis, et
νηστείαις, καὶ ἐν σάκκῳ, καὶ σποδῷ. in sacco, et cinere.

4. Καὶ προσηυξάμην πρὸς Κύριον τὸν Θεόν μου, 4. Et oravi ad Dominum Deum meum, et con-
καὶ ἐξωμολογησάμην, καὶ εἶπον· Κύριε ὁ Θεὸς ὁ fessus sum, et dixi : Domine Deus magne, et mira-
μέγας, καὶ θαυμαστὸς, ὁ φυλάσσων τὴν διαθήκην bilis, custodiens testamentum, et misericordiam
καὶ τὸν ἔλεον τοῖς ἀγαπῶσί σε, καὶ φυλάσσουσι τὰς diligentibus te, et custodientibus mandata tua.
ἐντολάς σου.

5. Ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, καὶ 5. Peccavimus, iniquitatem fecimus, impie egi-
ἀπέστημεν, καὶ ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου, mus, et recessimus, et declinavimus a mandatis
καὶ ἀπὸ τῶν κριμάτων σου. tuis, et a judiciis tuis.

6. Καὶ οὐκ ἠκούσαμεν τῶν δούλων σου τῶν προ- B 6. Et non audivimus servos tuos prophetas, qui
φητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασι- loquebantur nomine tuo ad reges nostros, et ad
λεῖς ἡμῶν, καὶ πρὸς τοὺς ἄρχοντας ἡμῶν, καὶ πατέ- principes nostros, et patres nostros, et ad omnem
ρας ἡμῶν, καὶ πρὸς πάντα τὸν λαὸν τῆς γῆς. populum terræ.

7. Σοὶ, Κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη 7. Tibi, Domine, justitia, nobis autem confusio
τοῦ προσώπου, ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ Ἰούδα, καὶ faciei, sicut dies hæc, viro Juda, et habitantibus in
τοῖς κατοικοῦσιν ἐν Ἱερουσαλὴμ, καὶ παντὶ Ἰσραὴλ, Jerusalem, et omni Israel, his qui prope sunt, et
τοῖς ἐγγὺς, καὶ τοῖς μακρὰν ἐν πάσῃ τῇ γῇ, οὗ διέ- his qui procul in universa terra, quo dispersisti
σπειρας αὐτοὺς ἐκεῖ ἐν ἀθεσίᾳ αὐτῶν ᾗ ἠθέτησαν ἐν eos illuc, in prævaricatione eorum, qua prævari-
σοί. cati sunt in te.

8. Κύριε, ἡμῖν αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς 8. Domine, nobis confusio faciei, et regibus nos-
βασιλεῦσιν ἡμῶν, καὶ τοῖς ἄρχουσιν ἡμῶν, καὶ τοῖς tris, et principibus nostris, et patribus nostris,
πατράσιν ἡμῶν, οἵτινες ἡμάρτομεν ἐν σοί. qui peccavimus in te.

9. Τῷ Κυρίῳ Θεῷ ἡμῶν οἱ οἰκτιρμοὶ, καὶ οἱ ἱλα- 9. Domino Deo nostro miserationes, et propi-
σμοὶ, ὅτι ἀπέστημεν. tiationes, quia recessimus.

10. Καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ C 10. Et non exaudivimus vocem Domini Dei no-
Θεοῦ ἡμῶν, πορεύεσθαι ἐν τοῖς νόμοις αὐτοῦ, οἷς stri, ut ambularemus in legibus ejus, quas dedit
ἔδωκε κατὰ πρόσωπον ἡμῶν ἐν χειρὶ τῶν δούλων ante faciem nostram in manu servorum suorum
αὐτοῦ τῶν προφητῶν. prophetarum.

11. Καὶ πᾶς Ἰσραὴλ παρέβησαν τὸν νόμον σου, 11. Et omnis Israel prævaricati sunt legem tuam,
καὶ ἐξέκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου, καὶ et declinaverunt, ne audirent vocem tuam, et su-
ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα, καὶ ὁ ὅρκος ὁ γεγραμ- pervenit super nos maledictio, et juramentum quod
μένος ἐν νόμῳ Μωσῆ δούλου τοῦ Θεοῦ, ὅτι ἡμάρτο- scriptum est in lege Mosi servi Dei, quia peccavi-
μεν αὐτῷ. mus ei.

12. Καὶ ἔστησε τοὺς λόγους αὐτοῦ, οὓς ἐλάλησεν 12. Et statuit sermones suos, quos locutus est
ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, οἳ ἔκρινον super nos, et super judices nostros, qui judicarunt
ἡμᾶς ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν nos, ut superinducerent super nos mala magna,
ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, κατὰ τὰ γενόμενα ἐν qualia non fuerunt sub omni cœlo, secundum ea,
Ἱερουσαλήμ. quæ facta sunt in Jerusalem.

13. Καθὼς γέγραπται ἐν τῷ νόμῳ Μωσῆ, πάντα τὰ D 13. Sicut scriptum est in lege Mosi, omnia mala
κακὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς· καὶ οὐκ ἐδεήθημεν τοῦ hæc venerunt super nos : et non rogavimus faciem
προσώπου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἀποστρέψαι ἀπὸ Domini Dei nostri, ut reverteremur ab iniquitati-
τῶν ἀδικιῶν ἡμῶν, καὶ τοῦ συνιέναι ἐν πάσῃ ἀλη- bus nostris, et ut intelligeremus in omni veritate.
θείᾳ.

14. Καὶ ἐγρηγόρησε Κύριος ὁ Θεὸς ἡμῶν ἐπὶ τὴν 14. Et vigilavit Dominus Deus noster super ma-
κακίαν ἡμῶν, καὶ ἤγαγεν αὐτὴν ἐφ' ἡμᾶς, ὅτι δίκαιος litiam nostram, et adduxit eam super nos : quia
Κύριος ὁ Θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ, justus Dominus Deus noster in omni opere suo,
ἣν ἐποίησε, διότι οὐκ εἰσηκούσαμεν τῆς φωνῆς quod fecit : quia non exaudivimus vocem ejus.
αὐτοῦ.

15. Καὶ νῦν Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν 15. Et nunc, Domine Deus noster, qui eduxisti
λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ, καὶ populum tuum de terra Ægypti in manu forti, et
ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτο- fecisti tibi nomen sicut dies hæc : peccavimus, im-
μεν, ἠνομήσαμεν. pie egimus.

16. Κύριε, ἐν πάσῃ ἐλεημοσύνῃ σου, ἀποστραφήτω 16. Domine, in omni misericordia tua, averta-

Digitized by Google

tur, obsecro, furor tuus, et ira tua a civitate tua Jerusalem, monte sancto tuo. Quia propter peccata nostra, et propter iniquitates nostras, et patrum nostrorum, Jerusalem, et populus tuus in opprobrium factus est omnibus, qui in circuitu nostro sunt.

17. Et nunc exaudi, Domine Deus noster, orationem servi tui, et preces ejus, et ostende faciem tuam super sanctuarium tuum, quod desertum est, propter te, Domine.

18. Inclina, Deus meus, aurem tuam, et audi: aperi oculos tuos, et vide desolationem nostram, et civitatis tuæ, in qua invocatum est nomen tuum in ea: quia non in justificationibus nostris nos prosternimus miserationem coram te, sed super miserationes tuas multas, Domine.

19. Exaudi, Domine, propitiare, Domine, attende, Domine, fac, Domine: et ne moreris propter te ipsum, Deus meus: quoniam nomen tuum invocatum est super civitatem tuam, et super populum tuum.

20. Et adhuc me loquente, et orante, et confitente peccata mea, et peccata populi mei Israel, et prosternente miserationem meam coram Domino Deo meo, pro monte sancto sancti Dei mei.

21. Et adhuc me loquente in oratione, et ecce vir Gabriel, quem videram in visione mea in principio, volans, et tetigit me quasi hora sacrificii vespertini.

22. Et intelligere fecit me, et locutus est mecum, et dixit: Daniel, nunc exivi imbuere te intelligentia.

23. In principio obsecrationis tuæ exivit sermo: et ego veni, ut annuntiem tibi, quia vir desideriorum es tu; et recogita in verbo.

24. Septuaginta hebdomades abbreviatæ sunt super populum tuum, et super civitatem sanctam, quoadusque antiquetur delictum, et consummetur peccatum, et obsignentur peccata, et deleantur impietates, et propitientur iniquitates, et adducatur justitia sempiterna, et signetur visio, et propheta, et ungatur Sanctus sanctorum.

25. Et scies, et intelliges, ab exitu sermonum ad respondendum, et ut ædificetur Jerusalem usque ad Christum ducem, hebdomades septem, et hebdomades sexaginta duæ: et revertetur, et ædificabitur platea, et circummurale, et evacuabuntur tempora.

26. Et post hebdomadas sexaginta duas exterminabitur unctio: et judicium non est in eo. Et civitatem, et sanctuarium dissipabit cum duce adveniente, et exscindentur quasi in diluvio, et usque ad finem belli concisi desolationibus. Confirmabit autem testamentum multis hebdomada una: et dimidium hebdomadæ cessare faciet thymiama, et sacrificium, et libamen, et super pinnaculum ordine desolationis, et usque ad consummationem, et festinationem ordine, destructione.

A δὴ ὁ θυμός σου, καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἰερουσαλὴμ ὄρους ἁγίου σου· ὅτι ἐν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ τῶν πατέρων ἡμῶν, Ἰερουσαλὴμ, καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν.

17. Καὶ νῦν εἰσάκουσον, Κύριε ὁ Θεὸς ἡμῶν, τῆς προσευχῆς τοῦ δούλου σου, καὶ τῶν δεήσεων αὐτοῦ, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου ἔρημον, ἕνεκέν σου, Κύριε.

18. Κλῖνον, ὁ Θεός μου, τὸ οὖς σου, καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν, καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῇ· ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς ῥίπτομεν τὸν οἰκτιρμὸν ἐνώπιόν σου,
B ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου τοὺς πολλούς, Κύριε.

19. Εἰσάκουσον Κύριε, ἱλάσθητι Κύριε, πρόσχες Κύριε, ποίησον Κύριε, καὶ μὴ χρονίσῃς ἕνεκέν σου ὁ Θεός μου, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου, καὶ ἐπὶ τὸν λαόν σου

20. Καὶ ἔτι ἐμοῦ λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραὴλ, καὶ ῥίπτοντος τὸν ἔλεόν μου ἐναντίον Κυρίου τοῦ Θεοῦ μου περὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ ἁγίου τοῦ Θεοῦ μου.

21. Καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ὁ ἀνὴρ Γαβριὴλ, ὃν εἶδον ἐν τῇ ὁράσει μου ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό μου, ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς.

22. Καὶ ἐσυνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ
C εἶπεν· Δανιὴλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν.

23. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σὺ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι.

24. Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, ἕως τοῦ παλαιωθῆναι τὸ παράπτωμα, καὶ τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ τοῦ ἀπαλεῖψαι ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν, καὶ προφήτην, καὶ τοῦ χρῖσαι Ἅγιον ἁγίων.

25. Καὶ γνώσῃ, καὶ συνήσεις, ἀπὸ ἐξόδου λόγων
D τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομηθῆναι Ἰερουσαλὴμ, ἕως Χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομάδες ἑξήκοντα δύο· καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα, καὶ περίτειχος. καὶ ἐκκενωθήσονται οἱ καιροί.

26. Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν, καὶ τὸν ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ὡς ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἡμισυ τῆς ἑβδομάδος καταπαύσει θυμίαμα, καὶ θυσίαν, καὶ σπονδὴν, καὶ ἐπὶ πτερύγιον τάξει ἀφανισμοῦ, καὶ ἕως συντελείας, καὶ σπουδῆς τάξει ἀφανισμῷ.

Digitized by Google

27. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία, καὶ σπονδή, καὶ ἐπὶ τούτοις, ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

27. Et confirmabit testamentum multis hebdomada una, et in dimidio hebdomadis auferetur sacrificium, et libamen, et post hæc in templo abominatio desolationis : et usque ad consummationem temporis consummatio dabitur super desolationem.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

1. Ἐν ἔτει τρίτῳ Κύρου τοῦ βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιὴλ οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ· καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη, καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὁπτασίᾳ.

2. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν.

3. Ἄρτον ἡμερῶν οὐκ ἔφαγον, καὶ κρέας, καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν.

CAPUT X.

1. In anno tertio Cyri regis Persarum, verbum revelatum est Danieli, cujus nomen vocatum est Baltasar, et verum verbum, et fortitudo magna, et intelligentia data est ei in visione.

2. In diebus illis ego Daniel eram lugens tres hebdomadas dierum.

3. Panem dierum non comedi, et caro, et vinum non introierunt in os meum, et unguento non sum unctus : usque ad completionem trium hebdomadarum dierum.

4. Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου ἐν τῷ τρίτῳ ἔτει, ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου, αὐτός ἐστι Τίγρις.

5. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδὶν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ Ὠφάζ, καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ Θαρσεῖς.

6. Καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτοῦ, καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου.

4. Et in die vigesima, et quarta mensis primi in anno tertio, ego eram juxta fluvium magnum, ipse est Tigris.

5. Et elevavi oculos meos, et vidi, et ecce vir unus vestitus baddin, et renes ejus accincti aura Ophaz, et corpus ejus quasi Tharsis.

6. Et facies ejus veluti species fulguris, et oculi ejus ut lampades ignis, et brachia ejus, et crura quasi species æris candentis : et vox sermonum ejus ut vox multitudinis.

7. Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὁπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ οὐκ εἶδον τὴν ὁπτασίαν, ἀλλ' ἡ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτοὺς, καὶ ἔφυγον ἐν φόβῳ.

7. Et vidi ego Daniel solus visionem : et viri, qui erant mecum, non viderunt visionem, sed terror magnus irruit super eos, et fugerunt in timore.

8. Καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ οὐκ ὑπελείφθη ἐν ἐμοὶ ἰσχὺς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος.

8. Et ego relictus sum solus : et non remansit in me fortitudo, et gloria mea conversa est in interitum : et non retinui fortitudinem.

9. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ· καὶ ἐν τῷ ἀκοῦσαί με τὴν φωνὴν τῶν ῥημάτων αὐτοῦ, ἤμην κατανενυγμένος ἐπὶ πρόσωπόν μου, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν.

9. Et audivi vocem sermonum ejus : et cum audirem vocem verborum ejus, eram compunctus super faciem meam, et facies mea super terram.

10. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου.

10. Et ecce manus tangens me, erexit me super genua mea, et super plantas pedum meorum.

11. Καὶ εἶπεν πρὸς μέ· Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις οἷς ἐγὼ λαλῶ πρὸς σὲ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρὸς μέ τὸν λόγον τοῦτον, ἀνέστην ἔντρομος.

11. Et dixit ad me: Daniel vir desideriorum, intellige in verbis, quæ ego loquor ad te : et sta in gradu tuo : quia nunc missus sum ad te : cumque dixisset ipse ad me sermonem istum, surrexi tremens.

12. Καὶ εἶπεν πρὸς μέ· Μὴ φοβοῦ Δανιὴλ, ὅτι ἀπὸ τῆς πρώτης ἡμέρας ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συνιέναι, καὶ κακωθῆναι ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου.

12. Et dixit ad me : Noli metuere, Daniel, quia ex primo die, quo posuisti cor tuum ad intelligendum, et affligendum te coram Domino Deo tuo, audita sunt verba tua : et ego veni in verbis tuis.

13. Καὶ ὁ ἄρχων βασιλείας Περσῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλέως Περσῶν.

13. Et princeps regni Persarum stetit ex adverso mihi vigenti et uno diebus; et ecce Michael unus de principibus primis venit ad auxiliandum mihi, et ipsum reliqui ibi cum principe regis Persarum.

Digitized by Google

14. Et veni, ut docerem te, quæ ventura sunt populo tuo in novissimis diebus, quoniam ecce visio in dies.

15. Cumque loqueretur ipse mecum secundum hujuscemodi verba, dedi faciem meam in terram, et compunctus sum.

16. Et ecce quasi similitudo filii hominis tetigit labia mea : et aperui os meum, et locutus sum, et dixi ad eum, qui stabat contra me : Domine in visione tua conversa sunt interiora in me, et ecce non habeo fortitudinem.

17. Et quomodo poterit servus tuus, Domine, loqui cum Domino isto? et ego amodo non stabit in me fortitudo, halitus non remansit in me.

18. Et addidit, et tetigit me quasi visio hominis, et confortavit me.

19. Et dixit mihi : Noli timere, vir desideriorum : pax tibi : viriliter age, et confortare. Cumque loqueretur ipse mecum, convalui, et dixi : Loquatur Dominus meus, quia confortasti me.

20. Et dixit : Scisne, quare venerim ad te? et nunc revertar, ut prælier cum principe Persarum : et ego egrediebar, et princeps Græcorum veniebat.

21. Verumtamen annuntiabo tibi, quod constitutum est in scriptura veritatis : et non est unus adhærens mihi de his, nisi Michael princeps vester.

CAPUT XI.

1. Et factum est in anno primo Cyri, stabam ad robur, et fortitudinem.

2. Et nunc annuntio tibi veritatem : ecce adhuc tres reges surgent in Perside, et quartus ditabitur divitiis magnis super omnes ; et cum invaluerit ipse divitiis, insurget super omnia regna Græcorum.

3. Et surget rex potens, et dominabitur dominatione multa, et faciet secundum voluntatem suam.

4. Et cum steterit regnum ejus, conteretur, et dividetur in quatuor ventos cœli, et non in novissima sua, neque secundum dominationem suam, qua dominatus est : quia exstirpabitur regnum ejus, et dabitur aliis præter istos.

5. Et confortabitur rex austri : et unus de principibus ejus prævalebit super eum, et dominabitur dominatione multa præter potestatem suam.

6. Et post annos illius commiscebuntur : filiaque regis austri ingredietur ad regem aquilonis facere fœdera cum eo, et non obtinebit fortitudinem brachii, nec stabit semen ejus, et tradetur ipsa, et qui adducebant eam, et adolescentula, et qui confortabat eam in temporibus.

7. Et surget de flore radicis ejus præparationis illius : et veniet ad virtutem, et ingredietur in propugnacula regis aquilonis : et faciet in eis, et obtinebit.

14. Καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἰδοὺ ἡ ὅρασις εἰς ἡμέρας.

15. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ κατὰ τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου εἰς τὴν γῆν, καὶ κατενύγην.

16. Καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου, καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, καὶ εἶπον πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὁράσει σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοὶ, καὶ ἰδοὺ οὐκ ἔχω ἰσχύν.

17. Καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου τούτου ; καὶ ἐγὼ, ἀπὸ τοῦ νῦν οὐ στήσεται· ἐν ἐμοὶ ἰσχὺς, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί.

18. Καὶ προσέθετο, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με.

19. Καὶ εἶπέν μοι· Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι· ἀνδρίζου, καὶ ἴσχυε· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ, ἐνίσχυσα, καὶ εἶπον· Λαλείτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με.

20. Καὶ εἶπεν, εἰ οἶδας τί ἦλθον πρὸς σὲ ; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ ἄρχοντος Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο.

21. Ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ τεταγμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Καὶ ἐγένετο ἐν ἔτει πρώτῳ Κύρου, ἔστην εἰς κράτος καὶ ἰσχύν.

2. Καὶ νῦν ἀναγγέλλω σοι ἀλήθειαν· ἰδοὺ ἔτι τρεῖς βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας, καὶ μετὰ τὸ κρατῆσαι αὐτὸν τοῦ πλούτου, ἐπαναστήσεται πάσαις ταῖς βασιλείαις τῶν Ἑλλήνων.

3. Καὶ ἀναστήσεται βασιλεὺς δυνατὸς, καὶ κυριεύσει κυρείας πολλῆς, καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ.

4. Καὶ ὡς ἂν στῇ ἡ βασιλεία αὐτοῦ συντριβήσεται, καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, καὶ οὐκ εἰς τὰ ἔσχατα αὐτοῦ, οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ, ἣν ἐκυρίευσεν, ὅτι ἐκτιλήσεται ἡ βασιλεία αὐτοῦ, καὶ δοθήσεται ἑτέροις ἐκτὸς τούτων.

5. Καὶ ἐνισχύσει ὁ βασιλεὺς τοῦ νότου, καὶ εἷς ἀπὸ τῶν ἀρχόντων αὐτοῦ ἐνισχύσει ἐπ' αὐτὸν, καὶ κυριεύσει κυρείας πολλῆς ἐκτὸς ἐξουσίας αὐτοῦ.

6. Καὶ μετὰ τὰ ἔτη αὐτοῦ συμμιγήσονται· καὶ ἡ θυγάτηρ βασιλέως τοῦ νότου εἰσελεύσεται πρὸς βασιλέα τοῦ βορρᾶ ποιῆσαι συνθήκας μετ' αὐτοῦ, καὶ οὐ κρατήσει ἰσχύος βραχίονος, καὶ οὐ στήσεται τὸ σπέρμα αὐτοῦ, καὶ παραδοθήσεται αὐτὴ, καὶ οἱ φέροντες αὐτὴν, καὶ νεᾶνις, καὶ ὁ κατισχύων αὐτὴν ἐν τοῖς καιροῖς.

7. Καὶ ἀναστήσεται ἐκ τοῦ ἄνθους τῆς ῥίζης αὐτῆς τῆς ἑτοιμασίας αὐτοῦ, καὶ ἥξει πρὸς τὴν δύναμιν, καὶ εἰσελεύσεται εἰς τὰ ὑποστηρίγματα τοῦ βασιλέως τοῦ βορρᾶ, καὶ ποιήσει ἐν αὐτοῖς, καὶ κατισχύσει.

Digitized by Google

8. Καί γε τοὺς θεοὺς αὐτῶν μετὰ τῶν χωνευτῶν αὐτῶν, πᾶν σκεῦος ἐπιθυμητὸν αὐτῶν, ἀργυρίου, καὶ χρυσίου, μετὰ αἰχμαλωσίας εἰσοίσει εἰς Αἴγυπτον, καὶ αὐτὸς στήσεται ὑπὲρ βασιλέως τοῦ βορρᾶ. A

9. Καὶ εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ βασιλέως τοῦ νότου, καὶ ἀναστρέψει εἰς τὴν γῆν αὐτοῦ.

10. Καὶ οἱ υἱοὶ αὐτοῦ συνάξουσιν ὄχλον δυνάμεων πολλῶν, καὶ συνάξουσι, καὶ εἰσελεύσεται ἐρχόμενος, καὶ κατακλύζων, καὶ παρελεύσεται, καὶ καθιεῖται, καὶ οὐ πλεκήσεται ἕως τῆς ἰσχύος αὐτοῦ.

11. Καὶ ἀγριωθήσεται βασιλεὺς τοῦ νότου, καὶ ἐξελεύσεται, καὶ πολεμήσει μετὰ τοῦ βασιλέως τοῦ Βορρᾶ, καὶ στήσει ὄχλον πολὺν, καὶ παραδοθήσεται ὁ ὄχλος ἐν χειρὶ αὐτοῦ.

12. Καὶ λήψεται τὸν ὄχλον, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ καταβαλεῖ μυριάδας, καὶ οὐκ ἀντ- B ἰσχύσει.

13. Καὶ ἐπιστρέψει ὁ βασιλεὺς τοῦ βορρᾶ, καὶ ἄξει ὄχλον πολὺν ὑπὲρ τὸν πρότερον· καὶ εἰς τὸ τέλος τῶν ἡμερῶν ἐπελεύσεται εἰσόδια ἐν δυνάμει μεγάλῃ, καὶ ἐν ὑπάρξει πολλῇ.

14. Καὶ ἐν τοῖς καιροῖς ἐκείνοις πολλοὶ ἐπαναστήσονται ἐπὶ βασιλέα τοῦ νότου, καὶ οἱ υἱοὶ τῶν λοιμῶν τοῦ λαοῦ σου ἐπαρθήσονται, τοῦ στῆσαι ὅρασιν, καὶ ἀσθενήσουσι.

15. Καὶ εἰσελεύσεται βασιλεὺς τοῦ βορρᾶ, καὶ ἐκχεεῖ πρόσχωμα, καὶ συλλήψεται πόλεις ὀχυρὰς, καὶ βραχίονες βασιλέως τοῦ νότου στήσονται, καὶ ἀναστήσονται οἱ ἐκλεκτοὶ αὐτοῦ, καὶ οὐκ ἔσται ἰσχὺς τοῦ στῆναι.

C

16. Καὶ ποιήσει ὁ εἰσπορευόμενος πρὸς αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔστιν ἐστὼς κατὰ πρόσωπον αὐτοῦ· καὶ στήσεται ἐν τῇ γῇ τοῦ Σαβεὶρ, καὶ συντελεσθήσεται ἐν τῇ χειρὶ αὐτοῦ.

17. Καὶ τάξει τὸ πρόσωπον αὐτοῦ, εἰσελθεῖν ἐν ἰσχύϊ πάσης τῆς βασιλείας αὐτοῦ, καὶ εὐθέα πάντα μετ' αὐτοῦ ποιήσει· καὶ θυγατέρα τῶν γυναικῶν δώσει αὐτῷ τοῦ διαφθεῖραι αὐτὴν, καὶ οὐ μὴ παραμείνῃ, καὶ οὐκ αὐτῷ ἔσται.

18. Καὶ ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὰς νήσους, καὶ συλλήψεται πολλὰς, καὶ κατακαύσει ἄρχοντας ὀνειδισμοῦ αὐτῶν, πλὴν ὁ ὀνειδισμὸς αὐτοῦ ἐπιστρέψει αὐτῷ.

19. Καὶ ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὴν D ἰσχὺν τῆς γῆς αὐτοῦ, καὶ ἀσθενήσει, καὶ πεσεῖται, καὶ οὐχ εὑρεθήσεται.

20. Καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φύλλον βατιλείας ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ, παραβιβάζον, καὶ πράσσον δόξαν βασιλείας.

21. Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις συντριβήσεται, καὶ οὐκ ἐν προσώποις, οὐδὲ ἐν πολέμῳ, καὶ στήσεται ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ· ἐξουδενώθη, καὶ οὐκ ἐδόθη ἐπ' αὐτὸν δόξα βασιλείας, καὶ ἥξει ἐν εὐθηνίᾳ, καὶ κατισχύσει βασιλείας ἐν ὀλισθήμασι.

22. Καὶ βραχίονες τοῦ κατακλύζοντος κατακλυσθήσονται ἀπὸ προσώπου αὐτοῦ, καὶ συντριβήσονται, καί γε ἡγούμενος διαθήκης.

8. Etiam deos eorum cum fusilibus eorum omne vas desiderabile eorum argenti, et auri cum captivitate asportabit in Ægyptum : et ipse stabit super regem aquilonis.

9. Et intrabit in regnum regis austri, et revertetur in terram suam.

10. Et filii ejus congregabunt turbam exercituum multorum, et conjungent et ingredietur veniens, et inundans, et pertransibit, et sedebit, et non congredietur usque ad fortitudinem ejus.

11. Et rex austri efferabitur, et egredietur, et pugnabit cum rege aquilonis, et faciet stare turbam multam, et tradetur turba in manu ejus.

12. Et capiet multitudinem, et exaltabitur cor ejus, et dejiciet myriades, et non prævalebit.

13. Et convertetur rex aquilonis, et adducet turbam multam super priorem : et in fine dierum ingredietur vias in virtute magna, et in apparatu multo.

14. Et in temporibus illis multi consurgent super regem austri : et filii pestilentium populi tui extollentur, ut statuant visionem, et infirmabuntur.

15. Et ingredietur rex aquilonis, et effundet aggerem, et capiet civitates munitas, et brachia regis austri stabunt, et consurgent electi ejus, et non erit fortitudo ad standum.

16. Et faciet ingrediens adversus eum secundum voluntatem suam, et non est, qui stet contra faciem ejus : et stabit in terra Sabir, et consumetur in manu ejus.

17. Et ponet faciem suam, ut ingrediatur in fortitudine totius regni ejus, et recta omnia cum eo faciet : et filiam feminarum dabit ei, ut perdat illam : et non permanebit, et non erit ei.

18. Et convertet faciem suam ad insulas, et capiet multas : et consumet principes opprobrii sui, verumtamen opprobrium ejus convertetur ei.

19. Et convertet faciem suam ad fortitudinem terræ suæ, et infirmabitur, et cadet, et non invenietur.

20. Et surget de radice ejus germen regni ad præparationem ipsius transferens, et faciens gloriam regni.

21. Et in diebus illis conteretur, et non in personis, neque in bello : et stabit super præparationem ejus : contemptus fuit, et non data est super eum gloria regni, et veniet in tranquillitate, et obtinebit regnum in lubricitatibus.

22. Et brachia inundantis inundabuntur a facie ejus, et conterentur : et dux testamenti.

Digitized by Google

23. Et ex commistionibus adversus eum faciet dolum, et ascendet, et prævalebit in eum in modica gente.

24. Et in prosperitatem, et in plures regiones veniet : et faciet quæ non fecerunt patres ejus, et patres patrum ejus ; direptionem, et spolia, et substantiam eis dissipabit, et super Ægyptum cogitabit cogitationes suas, et usque ad tempus.

25. Et excitabitur fortitudo ejus, et cor ejus super regem austri in virtute magna : et rex austri conjunget prælium cum eo in virtute magna, et forti nimis, et non stabit, quia cogitabunt super eum cogitationes.

26. Et comedent necessaria ejus, conterent eum, et virtutes ejus inundabit : et cadent interfecti multi.

27. Et utrique reges, corda eorum ad malitiam, et ad mensam unam mendacia loquentur, et non proficient : quia adhuc finis in tempus.

28. Et revertetur in terram suam in substantia multa : et cor ejus super testamentum sanctum, et faciet, et revertetur in terram suam.

29. Ad tempus revertetur, et veniet ad austrum : et non erit sicut prima, et sicut novissima.

30. Et ingredientur ad illum egredientes, et equitatus, et humiliabitur, et revertetur, et indignabitur super testamentum sanctum, et faciet, et revertetur, et intelliget super eos, qui reliquerunt testamentum sanctum.

31. Et brachia ex his stabunt, et polluent sanctificationem fortitudinis, et transferent juge sacrificium, et dabunt in abominationem desolatam.

32. Et eos, qui impie agunt in testamentum, adducent in lubricitates : et populus cognoscens Deum suum obtinebit, et faciet.

33. Et intelligentes de populo intelligent in multa : et infirmabuntur in gladio, et in flamma, et in captivitate, et in rapina dierum.

34. Cumque infirmati fuerint ipsi adjuvabuntur adjumento parvulo : et applicabuntur eis multi in lubricitatibus.

35. Et de intelligentibus infirmabuntur ad conflandum in eis, et dealbandum usque ad temporis terminum, quia adhuc in tempus.

36. Et faciet juxta voluntatem suam rex, et elevabitur, et magnificabitur adversus omnem deum, et adversus Deum deorum, et loquetur superba, et dirigetur, donec compleatur ira : in consummationem enim, et festinationem fit.

37. Et super omnes deos patrum suorum intelliget, et concupiscentiam feminarum, et super omnem deum non intelliget : quia super omnes magnificabitur.

38. Et deum Mazoim in loco suo glorificabit, et deum, quem ignoraverunt patres ejus, glorificabit in argento, et auro, et lapide pretioso, et in concupiscentiis.

39. Et faciet in munitionibus confugiorum cum

23. Καὶ ἀπὸ τῶν συμμίξεων πρὸς αὐτὸν ποιήσει δόλον, καὶ ἀναβήσεται, καὶ ὑπερισχύσει αὐτοῦ ἐν ὀλίγῳ ἔθνει.

24. Καὶ ἐν εὐθηνίᾳ, καὶ ἐν πλείοσι χώραις ἥξει, καὶ ποιήσει ἃ οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ, καὶ οἱ πατέρες τῶν πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ ὕπαρξιν αὐτοῖς διασκορπιεῖ, καὶ ἐπ' Αἴγυπτον λογιεῖται λογισμοὺς αὐτοῦ, καὶ ἕως καιροῦ.

25. Καὶ ἐξεγερθήσεται ἡ ἰσχὺς αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ βασιλέα τοῦ νότου ἐν δυνάμει μεγάλῃ, καὶ ὁ βασιλεὺς τοῦ νότου συνάψει πόλεμον πρὸς αὐτὸν ἐν δυνάμει μεγάλῃ, καὶ ἰσχυρᾷ σφόδρα, καὶ οὐ στήσεται, ὅτι λογιοῦνται ἐπ' αὐτὸν λογισμούς.

26. Καὶ φάγονται τὰ δέοντα αὐτοῦ, συντρίψουσιν αὐτὸν, καὶ δυνάμεις αὐτοῦ κατακλύσει, καὶ πεσοῦνται τραυματίαι πολλοί.

27. Καὶ ἀμφότεροι οἱ βασιλεῖς, αἱ καρδίαι αὐτῶν ἐπὶ πονηρίαν, καὶ ἐπὶ τραπέζῃ μιᾷ ψευδῆ λαλήσουσι, καὶ οὐ κατευθυνεῖ, ὅτι ἔτι πέρας εἰς καιρόν.

28. Καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ ἐν ὑπάρξει πολλῇ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ διαθήκην ἁγίαν, καὶ ποιήσει, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

29. Εἰς τὸν καιρὸν ἐπιστρέψει, καὶ ἥξει ἐν τῷ νότῳ, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη, καὶ ὡς ἡ ἐσχάτη.

30. Καὶ εἰσελεύσονται ἐν αὐτῷ οἱ ἐκπορευόμενοι, καὶ ἵπποι, καὶ ταπεινωθήσεται, καὶ ἐπιστρέψει, καὶ ὀργισθήσεται ἐπὶ διαθήκην ἁγίαν, καὶ ποιήσει, καὶ ἐπιστρέψει, καὶ συνήσει ἐπὶ τοὺς καταλιπόντας διαθήκην ἁγίαν.

31. Καὶ βραχίονες ἐξ αὐτῶν στήσονται, καὶ βεβηλώσουσι τὸ ἁγίασμα τῆς δυναστείας, καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν, καὶ δώσουσιν εἰς τὸ βδέλυγμα ἠφανισμένον.

32. Καὶ τοὺς ἀνομοῦντας διαθήκην ἀπάξουσιν ἐν ὀλισθήμασι· καὶ λαὸς γινώσκοντες Θεὸν αὐτοῦ κατισχύσουσιν, καὶ ποιήσουσι.

33. Καὶ οἱ συνετοὶ τοῦ λαοῦ συνήσουσιν εἰς πολλὰ, καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ, καὶ ἐν φλογὶ, καὶ ἐν αἰχμαλωσίᾳ, καὶ ἐν διαρπαγῇ ἡμερῶν.

34. Καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς βοηθηθήσονται βοήθειαν μικρὰν, καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι.

35. Καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσι, τοῦ πυρῶσαι ἐν αὐτοῖς, καὶ τοῦ ἐκλευκάναι ἕως καιροῦ πέρας, διότι ἔτι εἰς καιρόν.

36. Καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ ὁ βασιλεὺς, καὶ ὑψωθήσεται, καὶ μεγαλυνθήσεται ἐπὶ πάντα Θεὸν, καὶ ἐπὶ τὸν Θεὸν τῶν θεῶν, καὶ λαλήσει ὑπέρογκα, καὶ κατευθυνεῖ μέχρι τοῦ συντελεσθῆναι τὴν ὀργὴν, εἰς γὰρ συντέλειαν καὶ σπουδὴν γίνεται.

37. Καὶ ἐπὶ πάντας τοὺς θεοὺς τῶν πατέρων αὐτοῦ συνήσει, καὶ ἐπιθυμίαν γυναικῶν, καὶ ἐπὶ πάντα θεὸν οὐ συνήσει, ὅτι ἐπὶ πάντας μεγαλυνθήσεται.

38. Καὶ θεὸν Μεζωεὶμ ἐπὶ τόπου αὐτοῦ δοξάσει, καὶ θεὸν, ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ, δοξάσει ἐν ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ λίθῳ τιμίῳ, καὶ ἐπιθυμήμασιν.

39. Καὶ ποιήσει ἐν τοῖς ὀχυρώμασι τῶν καταφυ-

Digitized by Google

γῶν μετὰ θεοῦ ἀλλοτρίου, ὃν οὐκ ἐγνώρισε, καὶ πλη- A
θυνεῖ δόξαν, καὶ ὑποτάξει αὐτοῖς πολλοὺς, καὶ γῆν
διελεῖ ἐν δώροις.

40. Καὶ ἐν καιροῦ πέρατι συνθήκας θήσεται μετὰ
τοῦ βασιλέως τοῦ νότου, καὶ συναχθήσεται ἐπ' αὐτὸν
βασιλεὺς τοῦ βορρᾶ ἐν ἅρμασι, καὶ ἐν ἱππεῦσι, καὶ
ἐν ναυσὶ πολλοῖς, καὶ εἰσελεύσεται εἰς τὴν γῆν ἐν
ταῖς καταχλύσεσι, καὶ συντρίψει, καὶ παρελεύσεται.

41. Καὶ εἰσελεύσεται εἰς τὴν γῆν τοῦ Σαβείμ, καὶ
πολλοὶ ἀσθενήσουσι, καὶ οὗτοι διασωθήσονται ἐκ χει-
ρὸς αὐτοῦ, Ἐδὼμ, καὶ Μωὰβ, καὶ ἀρχὴ υἱῶν Ἀμ-
μών.

42. Καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ
ἡ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν.

43. Καὶ κυριεύσει ἐν τοῖς ἀποκρύφοις τοῦ χρυ-
σίου, καὶ τοῦ ἀργυρίου, καὶ ἐν πᾶσιν ἐπιθυμητοῖς B
Αἰγύπτου, καὶ Λιβύων, καὶ Αἰθιόπων, καὶ ἐν τοῖς
ὀχυρώμασιν αὐτῶν.

44. Καὶ ἀκοαὶ, καὶ σπουδαὶ ταράξουσιν αὐτὸν ἐξ
ἀνατολῶν καὶ βορρᾶ· καὶ ἥξει ἐν θυμῷ πολλῷ τοῦ
ἀφανίσαι, καὶ τοῦ ἀναθεματίσαι πολλούς.

45. Καὶ πήξει τὴν σκηνὴν αὐτοῦ ἐν Ἀπαδανῷ,
ἀνάμεσον τῶν θαλασσῶν, εἰς ὄρος Σαβεὶν ἅγιον, καὶ
ἥξει ἕως μέρους αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐ-
τόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ
ἄρχων ὁ μέγας, ὁ ἑφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ
λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως, θλῖψις οἵα οὐ
γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς, καὶ ἕως C
τοῦ καιροῦ ἐκείνου. Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθή-
σεται ὁ λαός σου πᾶς ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ
βίβλῳ.

2. Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι
ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι
εἰς ὀνειδισμὸν, καὶ εἰς αἰσχύνην αἰώνιον.

3. Καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης
τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν
ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας.

4. Καὶ σὺ, Δανιὴλ, ἔμφραξον τοὺς λόγους, καὶ σφρά-
γισαι τὸ βιβλίον ἕως καιροῦ συντελείας, καὶ διδα-
χθῶσι πολλοὶ, καὶ πληθυνθῇ ἡ γνῶσις.

5. Καὶ εἶδον ἐγὼ Δανιὴλ, καὶ ἰδοὺ δύο ἕτεροι εἱ-
στήκεισαν, εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ, καὶ
εἷς ἐντεῦθεν. D

6. Καὶ εἶπον τῷ ἀνδρὶ τῷ ἐνδεδυμένῳ τὸ βαδδὶν,
ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· Ἕως πότε τὸ
πέρας ὧν εἴρηκας τῶν θαυμασίων, καὶ ὁ καθαρισμὸς
τούτων;

7. Καὶ ἤκουσα τοῦ ἀνδρὸς τοῦ ἐνδεδυμένου τὸ
βαδδὶν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ
ὕψωσε τὴν δεξιὰν αὐτοῦ, καὶ τὴν ἀριστερὰν αὐτοῦ
εἰς τὸν οὐρανὸν, καὶ ὤμοσε τῷ ζῶντι εἰς τὸν αἰῶνα,
ὅτι εἰς καιρὸν, καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ ἐν τῷ
συντελεσθῆναι διασκορπισμὸν χειρὸς λαοῦ ἡγιασμέ-
νου, γνώσονται ἅγιον, καὶ συντελεσθήσονται ἅπαντα
ταῦτα.

8. Καὶ ἐγὼ ἤκουσα, καὶ συνῆκα, καὶ εἶπον· Κύ-
ριε, τί τὰ ἔσχατα τούτων;

deo alieno, quem non cognovit, et multiplicabit gloriam, et subjiciet ipsis multos, et terram dividet in donis.

40. Et in temporis fine fœdera faciet cum rege austri, et congregabitur super eum rex aquilonis in curribus, et in equitibus, et in navibus multis, et ingredietur in terram in inundationibus, et conteret et pertransibit.

41. Et ingredietur in terram Sabim, et multi infirmabuntur, et hi salvabuntur de manu ejus, Edom, et Moab, et principium filiorum Ammon.

42. Et extendet manum suam super terram, et terra Ægypti non erit in salutem.

43. Et dominabitur in reconditis auri, et argenti, et in omnibus desiderabilibus Ægypti, et Libum, et Æthiopum, et in munitionibus eorum.

44. Et rumores, et festinationes turbabunt eum ab oriente, et aquilone, et veniet in furore multo ad disperdendum, et interficiendum multos.

45. Et figet tabernaculum suum in Apadano in medio marium in monte Sabin sancto, et veniet usque ad partem ejus : et non est, qui eruat eum.

CAPUT XII.

1. Et in tempore illo consurget Michael princeps magnus, qui stat pro filiis populi sui : et erit tempus tribulationis, tribulatio qualis non fuit, ex quo facta est gens in terra, et usque ad tempus illud. Et in tempore illo salvabitur populus tuus omnis, qui inventus fuerit scriptus in libro.

2. Et multi de his, qui dormiunt in terræ pulvere, evigilabunt : alii in vitam æternam, et alii in opprobrium, et in confusionem æternam.

3. Et intelligentes fulgebunt sicut splendor firmamenti, et de justis plurimis quasi stellæ in sæcula.

4. Tu autem, Daniel, claude sermones, et signa librum usque ad tempus consummationis, et doceantur multi, et multiplicetur scientia.

5. Et vidi ego Daniel, et ecce duo alii stabant unus hinc super labium fluminis, et alius inde.

6. Et dixi viro, qui indutus erat baddin, qui stabat super aquam fluminis : Usquequo finis eorum quæ dixisti mirabilium, et expiatio istorum?

7. Et audivi virum, qui indutus erat baddin, qui stabat super aquam fluminis, et elevavit dexteram, et sinistram suam in cœlum, et juravit viventi in æternum, quia in tempus, et tempora, et dimidium temporis, cum consummata fuerit dispersio manus populi sanctificati, cognoscent sanctum, et consummabuntur omnia hæc.

8. Et ego audivi, et intellexi, et dixi : Domine, quid novissima horum?

Digitized by Google

9. Et dixit : Huousque Daniel, quia clausi, signa- A tique sunt sermones usque ad temporis finem.

10. Donec eligantur, et dealbentur, et per ignem probentur multi, et impie agent impii, neque intelligent omnes impii, et docti intelligent.

11. Et a tempore mutationis jugis sacrificii, et cum data fuerit abominatio desolationis, dies mille ducenti nonaginta.

12. Beatus qui exspectat, et pervenit ad dies mille trecentos triginta quinque.

13. Tu autem, vade, et quiesce : adhuc enim dies in completionem consummationis, et requiesces, et resurges in sorte tua in consummatione dierum. Et rex Astyages appositus est ad patres suos, et suscepit Cyrus Perses regnum ejus. Et erat B Daniel conviva regis, et honoratus super omnes amicos ejus.

CAPUT XIII.

1. Et erat vir habitans in Babylone, et nomen ei Joakim.

2. Et accepit uxorem, cui nomen Susanna filia Chelciæ, pulchra nimis, et timens Dominum.

3. Et parentes ejus justi, et erudierunt filiam suam juxta legem Mosi.

4. Erat autem Joakim dives valde, et erat ei pomarium vicinum domui suæ, et apud ipsum congregabantur Judæi, eo quod esset ipse honoratior omnibus.

5. Et designati sunt duo senes de populo judices in anno illo : de quibus locutus est Dominus : Quia egressa est iniquitas de Babylone a senioribus judicibus, qui videbantur regere populum.

6. Isti frequentabant domum Joakim, et veniebant ad eos omnes, qui habebant judicia.

7. Et factum est, quando populus recedebat per meridiem, ingrediebatur Susanna, et deambulabat in pomario viri sui.

8. Et videbant eam senes quotidie ingredientem, et deambulantem, et exarserunt in concupiscentiam ejus.

9. Et everterunt sensum suum, et declinaverunt oculos suos, ne aspicerent in cœlum, neque meminissent judiciorum justorum.

10. Erant ergo ambo vulnerati amore ejus, nec indicaverunt sibi invicem dolorem suum.

11. Erubescebant enim indicare concupiscentiam suam, quia volebant concumbere cum ea.

12. Et observabant quotidie sollicite videre eam : et dixerunt alter ad alterum :

13. Eamus domum, quia prandii est hora : et egressi recesserunt a se mutuo.

14. Cumque revertissent, venerunt in unum : et sciscitantes ad invicem, quænam esset causa, confessi sunt inter se concupiscentiam suam : et tunc in commune statuerunt tempus, quando eam possent invenire solam.

15. Et factum est cum observarent ipsi diem

9. Καὶ εἶπεν· Δεῦρο Δανιὴλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι ἕως καιροῦ πέρατος.

10. Ἕως ἐκλεγῶσι, καὶ ἐκλευκανθῶσι, καὶ ἐκπυρωθῶσι πολλοί· καὶ ἀνομήσουσιν ἄνομοι, καὶ οὐ συνήσουσι πάντες ἀσεβεῖς, καὶ οἱ νοήμονες συνήσουσι.

11. Καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ, καὶ τοῦ δοθῆναι βδέλυγμα ἐρημώσεως, ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα.

12. Μακάριος ὁ ὑπομένων, καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε.

13. Καὶ σὺ δεῦρο, καὶ ἀναπαύου· ἔτι γὰρ ἡμέραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ ἀναπαύσῃ, καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν σου εἰς συντέλειαν ἡμερῶν. Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ· καὶ παρέλαβε Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ, καὶ ἦν Δανιὴλ συμβιωτὴς τοῦ βασιλέως, καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ.

2. Καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα, καὶ φοβουμένη τὸν Κύριον.

3. Καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωσῆ.

4. Καὶ ἦν Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ, καὶ πρὸς αὐτὸν συνήγοντο οἱ Ἰουδαῖοι, διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον C πάντων.

5. Καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ Δεσπότης ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἱ ἐδόκουν κυβερνᾷν τὸν λαόν.

6. Οὗτοι προσεκαρτέρουν τῇ οἰκίᾳ Ἰωακείμ, καὶ ἤρχοντο πρὸς αὐτοὺς πάντες οἱ κρινόμενοι.

7. Καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέρας, εἰσεπορεύετο Σουσάννα, καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς.

8. Καὶ ἐθεώρουν αὐτὴν οἱ πρεσβύτεροι καθ' ἡμέραν εἰσπορευομένην, καὶ περιπατοῦσαν, καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς.

9. Καὶ διέστρεψαν τὸν ἑαυτῶν νοῦν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν, μηδὲ μνημονεύειν κριμάτων δικαίων. D

10. Καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ αὐτῆς, καὶ οὐκ ἀπήγγειλαν ἀλλήλοις τὴν ὀδύνην αὐτῶν.

11. Ὅτι ἠσχύνοντο ἀπαγγεῖλαι τὴν ἐπιθυμίαν αὐτῶν, ὅτι ἤθελον συγγενέσθαι αὐτῇ.

12. Καὶ παρετήρουν καθ' ἡμέραν φιλοτίμως τοῦ ὁρᾶν αὐτήν· καὶ εἶπον ἕτερος τῷ ἑτέρῳ·

13. Πορευθῶμεν εἰς οἶκον, ὅτι ἀρίστου ἐστὶν ὥρα· καὶ ἐξελθόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων.

14. Καὶ ἀνακάμψαντες ἦλθον ἐπὶ τὸ αὐτὸ, καὶ ἀνετάζοντες ἀλλήλους, τίς ἡ αἰτία, ὡμολόγησαν ἀλλήλοις τὴν ἐπιθυμίαν αὐτῶν· καὶ τότε κοινῇ συνετάξαντο καιρὸν, ὅτε αὐτὴν δυνήσονται εὑρεῖν μόνην.

15. Καὶ ἐγένετο ἐν τῷ παρατηρεῖν αὐτοὺς ἡμέραν

Digitized by Google

εὔθετον, καθὼς χθὲς, καὶ τρίτην ἡμέραν, εἰσῆλθέ ποτε ἡ Σουσάννα μετὰ δύο μόνων κορασίων, καὶ ἐπεθύμησε λούσασθαι ἐν τῷ παραδείσῳ, ὅτι καῦμα ἦν.

16. Καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ, πλὴν οἱ δύο πρεσβύτεροι κεκρυμμένοι, καὶ παρατηροῦντες αὐτήν.

17. Καὶ εἶπεν τοῖς κορασίοις· Ἐνέγκατε δή μοι ἔλαιον, καὶ σμῆγμα, καὶ τὰς θύρας τοῦ παραδείσου κλείσατε, ὅπως λούσωμαι.

18. Καὶ ἐποίησαν καθὼς καὶ εἶπεν, καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ παραδείσου, καὶ ἐξῆλθον κατὰ τὰς πλαγίους θύρας, ἐνεγκεῖν τὰ προστεταγμένα αὐταῖς, καὶ οὐκ εἶδον τοὺς πρεσβυτέρους, ὅτι ἦσαν ἐγκεκρυμμένοι.

19. Καὶ ἐγένετο ὡς ἐξῆλθον τὰ κοράσια, καὶ ἀνέστησαν οἱ δύο πρεσβύτεροι, καὶ ἐπέδραμον αὐτῇ, καὶ εἶπον·

20. Ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κέκλεινται, καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπιθυμίᾳ σού ἐσμεν· διὸ συγκατάθου ἡμῖν, καὶ γενοῦ μεθ' ἡμῶν.

21. Εἰ δὲ μή, καταμαρτυρήσομέν σου, ὅτι ἦν μετὰ σοῦ νεανίσκος, καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ.

22. Καὶ ἀνεστέναξεν Σουσάννα, καὶ εἶπεν· Στενά μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοί ἐστιν· ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.

23. Αἱρετώτερόν μοί ἐστι μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου.

24. Καὶ ἀνεβόησε Σουσάννα φωνῇ μεγάλῃ· ἀνεβόησαν δὲ καὶ οἱ δύο πρεσβύται κατέναντι αὐτῆς.

25. Καὶ δραμὼν ὁ εἷς, ἤνοιξε τὰς θύρας τοῦ παραδείσου.

26. Ὡς δὲ ἤκουσαν τὴν κραυγὴν τὴν ἐν τῷ παραδείσῳ οἱ οἰκέται τῆς κυρίας, εἰσεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς αὐτῇ.

27. Ἡνίκα δὲ εἶπαν οἱ πρεσβύτεροι τοὺς λόγους αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα, ὅτι οὐδὲ πώποτε ἐῤῥέθη λόγος τοιοῦτος περὶ Σουσάννας.

28. Καὶ ἐγένετο τῇ ἐπαύριον συνῆλθον ὁ λαὸς πρὸς τὸν ἄνδρα τῆς Σουσάννας τὸν Ἰωακεὶμ, καὶ ἦλθον οἱ δύο πρεσβύτεροι πλήρεις τῆς ἀνόμου αὐτῶν ἐννοίας κατὰ Σουσάννας, τοῦ θανατῶσαι αὐτήν.

29. Καὶ εἶπαν ἔμπροσθεν τοῦ λαοῦ, ἀποστείλατε ἐπὶ Σουσάνναν τὴν θυγατέρα Χελκίου, ἥτις ἐστὶ γυνὴ Ἰωακείμ. Οἱ δὲ ἀπέστειλαν.

30. Καὶ ἦλθον αὐτὴ, καὶ οἱ γονεῖς αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς, καὶ πάντες οἱ συγγενεῖς αὐτῆς.

31. Ἡ δὲ Σουσάννα ἦν τρυφερὰ σφόδρα, καὶ καλὴ τῷ εἴδει.

32. Οἱ δὲ παράνομοι ἐκέλευσαν ἀποκαλύψαι αὐτὴν, ἦν γὰρ κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσι τοῦ κάλλους αὐτῆς.

33. Ἔκλαιον δὲ οἱ παρ' αὐτῆς, καὶ πάντες οἱ εἰδότες αὐτήν.

34. Καὶ ἀναστάντες οἱ δύο πρεσβύτεροι ἐν μέσῳ τοῦ λαοῦ, ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτῆς.

A aptum, sicut heri, et nudius tertius, ingressa est aliquando Susanna cum duabus solis puellis, volultque lavari in pomario : æstus quippe erat.

16. Et non erat ibi quisquam præter duos senes absconditos, et contemplantes eam.

17. Et dixit puellis : Afferte jam mihi oleum, et smegma, et ostia pomarii claudite, ut laver.

18. Et fecerunt sicuti etiam dixerat : et clauserunt ostia pomarii, et egressæ sunt per posticas fores, ut afferrent quæ mandata fuerant sibi : et non viderunt senes, quia erant absconditi.

19. Et factum est, posquam egressæ sunt puellæ, B et surrexerunt duo senes, et accurrerunt ad eam, et dixerunt :

20. Ecce ostia pomarii clausa sunt, et nemo videt nos, et in concupiscentia tua sumus : quamobrem assentire nobis, et commiscere nobiscum.

21. Quod si nolueris, dicemus contra te testimonium, quod fuerit tecum juvenis, et ob hanc causam emiseris puellas a te.

22. Et ingemuit Susanna, et ait : Angustiæ sunt mihi undique : si enim hoc egero, mors mihi est; nisi autem egero, non effugiam manus vestras.

23. Melius est mihi absque opere incidere in manus vestras, quam peccare in conspectu Domini.

24. Et exclamavit Susanna voce magna : exclaC maverunt autem et duo senes adversus eam.

25. Et currens unus aperuit ostia pomarii.

26. Ut autem audierunt clamorem in pomario famuli dominæ, irruerunt per posticas fores, ut viderent quidnam accidisset ei.

27. Postquam autem senes dixerunt sermones suos, erubuerunt servi vehementer : quia nequaquam unquam dictus fuerat sermo hujuscemodi de Susanna.

28. Et factum est die crastina, cum convenisset populus ad virum Susannæ Joakim, venerunt etiam duo senes pleni iniqua sua cogitatione adversus Susannam, ut morte afficerent eam.

29. Et dixerunt coram populo : Mittite ad Susannam filiam Chelciæ, quæ est uxor Joakim. Illi vero miserunt.

30. Et venerunt ipsa, et parentes ejus, et filii ejus, et omnes cognati ejus.

31. Porro Susanna erat delicata nimis, et pulchra specie.

32. At iniqui jusserunt, ut discooperirent eam (erat enim cooperta), ut satiarentur decore ejus.

33. Flebant igitur sui, et omnes, qui noverant eam.

34. Consurgentes autem duo presbyteri in medio populi, posuerunt manus suas super caput ejus.

Digitized by Google

35. Quæ vero flens suspexit in cœlum : erat enim cor ejus fiduciam habens in Domino.

36. Et dixerunt presbyteri : Deambulantibus nobis in pomario solis, ingressa est ista cum duabus puellis, et clausit ostia pomarii, et dimisit puellas.

37. Venitque ad eam adolescens, qui erat absconditus, et concubuit cum ea.

38. Porro nos cum essemus in angulo pomarii, videntes iniquitatem, cucurrimus ad eos, et noscentes eos commisceri :

39. Illum quidem nequivimus comprehendere, quia fortior ipse nobis erat, et apertis ostiis exsilivit.

40. Hanc autem cum apprehendissemus, interrogavimus quisnam esset adolescens, et noluit indicare nobis : hæc testamur.

41. Et credidit eis multitudo, ut presbyteris populi, et judicibus, et condemnaverunt eam ad mortem.

42. Exclamavit autem voce magna Susanna, et dixit : Deus æterne, qui absconditorum es cognitor, qui nosti omnia antequam ipsa fierent,

43. Tu scis, quoniam falsum contra me tulerunt testimonium : et ecce morior, cum nihil eorum fecerim, de quibus isti testimonium dixerunt adversus me.

44. Et exaudivit Dominus vocem ejus

45. Cumque duceretur ipsa, ut periret, suscitavit Deus Spiritum sanctum pueri junioris, cujus nomen Daniel.

46. Et exclamavit voce magna : Mundus ego sum a sanguine hujus.

47. Conversus est autem populus omnis ad eum, et dixerunt : Quis est sermo iste, quem tu locutus es ?

48. Qui vero cum staret in medio eorum ait : Sic fatui filii Israel, non judicantes, neque quod manifestum est cognoscentes, condemnatis filiam Israel ?

49. Revertimini igitur ad judicium ; falsum enim testimonium isti locuti sunt adversus eam.

50. Et reversus est populus cum festinatione, et dixerunt ei presbyteri : Veni, et sede in medio nostrum, et indica nobis, quia tibi dedit Deus honorem senectutis.

51. Et dixit ad eos Daniel : Separate eos procul ab invicem, et dijudicabo eos.

52. Cum ergo divisi essent alter ab altero, vocavit unum de eis, et dixit ad eum : Inveterate dierum malorum, nunc venerunt peccata tua, quæ faciebas prius,

53. Judicans judicia injusta, et innocentes quidem condemnans, dimitteus autem reos, dicente Domino : Innocentem, et justum non interficies.

54. Nunc ergo hanc si vidisti, dic sub qua arbore vidisti eos colloquentes invicem. Qui dixit : Sub schino.

55. Dixit autem Daniel : Recte mentitus es in

35. Ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανόν, ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα ἐπὶ τὸν Κύριον.

36. Εἶπον δὲ οἱ πρεσβύτεροι · Περιπατούντων ἡμῶν ἐν τῷ παραδείσῳ μόνων, εἰσῆλθεν αὕτη μετὰ δύο παιδισκῶν, καὶ ἀπέκλεισε τὰς θύρας τοῦ παραδείσου, καὶ ἀπέλυσε τὰς παιδίσκας.

37. Καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε μετ' αὐτῆς.

38. Ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου, ἰδόντες τὴν ἀνομίαν, ἐδράμομεν ἐπ' αὐτοὺς, καὶ ἰδόντες συγγινομένους αὐτούς,

39. Ἐκείνου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γενέσθαι, διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς, καὶ ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι.

40. Ταύτης δὲ ἐπιλαβόμενοι, ἐπηρωτῶμεν, τίς ἦν ὁ νεανίσκος, καὶ οὐκ ἠθέλησεν ἀπαγγεῖλαι ἡμῖν · ταῦτα μαρτυροῦμεν.

41. Καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ, καὶ κριταῖς, καὶ κατέκρινον αὐτὴν ἀποθανεῖν.

42. Ἀνεβόησε δὲ φωνῇ μεγάλῃ Σουσάννα, καὶ εἶπεν · ὁ Θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν,

43. Σὺ ἐπίστασαι, ὅτι ψευδῆ μου κατεμαρτύρησαν, καὶ ἰδοὺ ἀποθνήσκω μὴ ποιήσασα μηδὲν, ὧν οὗτοι κατεμαρτύρησαν κατ' ἐμοῦ.

44. Καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῆς.

45. Καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ἐξήγειρεν ὁ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ.

46. Καὶ ἐβόησε φωνῇ μεγάλῃ · Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης.

47. Ἐπέστρεψε δὲ πᾶς ὁ λαὸς πρὸς αὐτὸν, καὶ εἶπον · Τίς ὁ λόγος οὗτος, ὃν σὺ λελάληκας;

48. Ὁ δὲ σταθεὶς ἐν μέσῳ αὐτῶν, εἶπεν · Οὕτω, μωροὶ υἱοὶ Ἰσραὴλ, οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραήλ ;

49. Ἀναστρέψατε οὖν εἰς τὸ κριτήριον, ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς.

50. Καὶ ἀνέστρεψεν ὁ λαὸς μετὰ σπουδῆς, καὶ εἶπον αὐτῷ οἱ πρεσβύτεροι · Δεῦρο, καὶ κάθισον ἐν μέσῳ ἡμῶν, καὶ ἀπάγγειλον ἡμῖν, ὅτι σοι ἔδωκεν ὁ Θεὸς τὸ πρεσβεῖον.

51. Καὶ εἶπεν πρὸς αὐτοὺς Δανιήλ · Διαχωρίσατε αὐτοὺς μακρὰν ἀπ' ἀλλήλων, καὶ ἀνακρινῶ αὐτούς.

52. Ὡς δὲ διεχωρίσθησαν εἷς ἀπὸ τοῦ ἑνὸς, ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ εἶπεν πρὸς αὐτόν · Πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις τὸ πρότερον,

53. Κρίνων κρίσεις ἀδίκους, καὶ τοὺς μὲν ἀθῴους καταχρίνων, ἀπολύων δὲ τοὺς αἰτίους, λέγοντος τοῦ Κυρίου · ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς.

54. Νῦν οὖν ταύτην εἶπερ οἶδας, εἰπὲ, ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις. Ὁ δὲ εἶπεν · Ὑπὸ σχῖνον.

55. Εἶπε δὲ Δανιήλ · Ὀρθῶς ἐψεύσαι εἰς τὴν σεαυ-

Digitized by Google

τοῦ κεφαλήν· ἤδη γὰρ ἄγγελος τοῦ Θεοῦ λαβὼν παρὰ A τοῦ Θεοῦ σχίσει σε εἰς μέσον.

56. Καὶ μεταστήσας αὐτὸν, ἐκέλευσε προσάγειν τὸν ἕτερον, καὶ εἶπεν αὐτῷ· Σπέρμα Χαναάν, καὶ οὐχὶ Ἰούδα, τὸ κάλλος ἠπάτησέ σε, καὶ ἡ ἐπιθυμία διέστρεψε τὴν καρδίαν σου.

57. Οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραὴλ, καὶ ἐκεῖναι φοβούμεναι ὠμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν.

58. Νῦν οὖν λέγε μοι, ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; Ὁ δὲ εἶπεν· Ὑπὸ πρῖνον.

59. Εἶπεν δὲ αὐτῷ Δανιήλ· Ὀρθῶς ἐψεύσω καὶ σὺ εἰς τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ, τὴν ῥομφαίαν ἔχων πρίσαι σε μέσον, ὅπως ἐξολοθρεύσῃ ὑμᾶς.

B

60. Καὶ ἀνεβόησε φωνῇ μεγάλῃ πᾶσα ἡ συναγωγὴ, καὶ εὐλόγησαν τῷ Θεῷ τῷ σώζοντι τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

61. Καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβυτέρους, ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας· καὶ ἐποίησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο ποιῆσαι τῷ πλησίον, κατὰ τὸν νόμον Μωσῆ.

62. Καὶ ἀπέκτειναν αὐτοὺς, καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

63. Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ ἤνεσαν περὶ τῆς θυγατρὸς αὐτῶν Σουσάννας μετὰ Ἰωακεὶμ τοῦ ἀνδρὸς αὐτῆς, καὶ τῶν συγγενῶν πάντων, ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχημον πρᾶγμα.

C

64. Καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ τῆς ἡμέρας ἐκείνης, καὶ ἐπέκεινα.

65. Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ· καὶ παρέλαβε Κύρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Καὶ ἦν Δανιὴλ συμβιωτὴς τοῦ βασιλέως, καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ.

2. Καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις, ᾧ ὄνομα Βήλ, καὶ ἐδαπανῶντο εἰς αὐτὸν ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι δώδεκα, καὶ πρόβατα τεσσαράκοντα, καὶ οἴνου μέτρα ἕξ.

3. Καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν, καὶ ἐπορεύετο ὁ βασιλεὺς καθ' ἑκάστην ἡμέραν προσκυνεῖν αὐτῷ. Δανιὴλ δὲ προσεκύνει τῷ Θεῷ αὐτοῦ· καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, διατί οὐ προσκυνεῖς τῷ Βήλ;

D

4. Ὁ δὲ εἶπεν αὐτῷ, ὅτι οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ μᾶλλον τὸν Θεὸν τὸν ζῶντα, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν.

5. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Οὐ δοκεῖ σοι ὁ Βὴλ εἶναι θεὸς ζῶν; ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει, καὶ πίνει καθ' ἑκάστην ἡμέραν;

6. Καὶ εἶπε Δανιὴλ γελάσας· Μὴ πλανῶ, βασιλεῦ, οὗτος γὰρ ἔσωθέν ἐστι πηλὸς, ἔξωθεν δὲ χαλκὸς, καὶ οὐ βέβρωκεν οὐδέποτε.

7. Καὶ θυμωθεὶς ὁ βασιλεὺς ἐκάλεσε τοὺς ἱερεῖς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς· Ἐὰν μὴ εἴπητέ μοι, τίς ὁ κατεσθίων τὴν δαπάνην ταύτην, ἀποθανεῖσθε.

caput tuum : ecce enim angelus Dei accipiens a Deo, scindet te medium.

56. Et amoto eo jussit adduci alium, et dixit ei : Semen Chanaan, et non Juda, species seduxit te, et concupiscentia subvertit cor tuum.

57. Sic faciebatis filiabus Israel, et illæ timentes loquebantur vobis : sed non filia Juda sustinuit iniquitatem vestram.

58. Nunc ergo dic mihi ; sub qua arbore comprehendisti eos loquentes invicem? Qui vero ait : Sub prino.

59. Dixit autem Daniel : Recte mentitus es et tu in caput tuum : manet enim angelus Dei gladium habens ad secandum te medium, ut exterminet vos.

60. Et exclamavit voce magna omnis synagoga, et benedixerunt Deo, qui salvat sperantes in se.

61. Et consurrexerunt adversus duos presbyteros (convicerat enim Daniel ex ore ipsorum, falsum dixisse testimonium), et fecerunt eis sicut malitiose egerant adversus proximum secundum legem Mosi.

62. Et interfecerunt eos, et salvatus est sanguis innoxius in die illa.

63. Chelcias autem, et uxor ejus laudaverunt pro filia sua Susanna, cum Joakim marito ejus, et cognatis omnibus, quia non esset inventa in ea res turpis.

64. Et Daniel factus est magnus in conspectu populi a die illa, et deinceps.

65. Et rex Astyages appositus est ad patres suos, et suscepit Cyrus Perses regnum ejus.

CAPUT XIV.

1. Et erat Daniel conviva regis, et honoratus super omnes amicos ejus.

2. Et erat idolum Babyloniis, cui nomen Bel : et impendebantur in eo per singulos dies similæ artabæ duodecim, et oves quadraginta, et vini mensuræ sex.

3. Et rex colebat eum, et ibat rex per singulos dies adorare eum : porro Daniel adorabat Deum suum. Dixitque ei rex : Quare non adoras Bel?

4. At ille dixit ei : Quia non colo idola manufacta, sed magis Deum viventem, qui creavit cœlum, et terram, et habet potestatem omnis carnis.

5. Et ait rex ad eum : Non videtur tibi Bel esse Deus vivens? An non vides, quanta comedat, et bibat quotidie?

6. Et ait Daniel ridens : Ne erres, rex : iste enim intrinsecus est luteus, forinsecus autem æreus, neque comedit aliquando.

7. Et iratus rex vocavit sacerdotes ejus, et ait eis : Nisi dixeritis mihi quis est, qui comedit impensas has, moriemini.

Digitized by Google

8. Si autem ostenderitis quoniam Bel comedat hæc, morietur Daniel, quia blasphemavit in Bel. Et dixit Daniel regi : Fiat juxta verbum tuum.

9. Erant autem sacerdotes Bel septuaginta, exceptis uxoribus, et filiis : et venit rex cum Daniele in domum Belis.

10. Et dixit sacerdos Belis : Ecce nos egredimur foras : tu autem rex appone escas, et vinum miscens pone, et claude ostium, et signa annulo tuo.

11. Et veniens mane, nisi inveneris omnia comesta a Bel, moriemur, vel Daniel, qui mentitus est adversus nos.

12. Ipsi autem contemnebant, quia fecerant sub mensa absconditum introitum, et per illum ingrediebantur continuo, et auferebant ea.

13. Et factum est, postquam exivit inde, et rex apposuit cibos ante Bel : præcepit Daniel pueris suis, et attulerunt cinerem, et sparserunt per totum templum coram rege : et egressi clauserunt ostium, et signaverunt annulo regis, et abierunt.

14. Sacerdotes autem ingressi sunt nocte juxta consuetudinem suam ipsi, et uxores eorum, et filii eorum, et comederunt omnia, et biberunt.

15. Surrexit autem rex primo diluculo, et Daniel cum eo.

16. Et ait rex : Salva sunt signacula, Daniel ? At ille dixit : Salva, rex.

17. Et factum est simul ac aperuit ostia, aspiciens rex super mensam, exclamavit voce magna : Magnus es Bel, et non est apud te ullus dolus.

18. Et risit Daniel, et tenuit regem, ne ingrederetur intro, et dixit : Vide nunc pavimentum, et animadverte, cujus vestigia sunt hæc.

19. Et dixit rex : Video vestigia virorum, et mulierum, et parvulorum : et iratus rex.

20. Tunc apprehendit sacerdotes, et uxores eorum, et filios eorum : et ostenderunt ei abscondita ostia, per quæ ingrediebantur, et consumebant quæ erant in mensa.

21. Occidit ergo illos, et Bel tradidit in potestatem Danielis, qui subvertit eum, et templum ejus.

22. Et erat draco magnus in loco et colebant eum Babylonii.

23. Et dixit rex Danieli : Ecce nunc non potes dicere, quia non sit iste Deus vivens : adora ergo eum.

24. Et dixit Daniel : Dominum Deum meum adorabo : quia ipse est Deus vivens.

25. Tu autem, rex, da mihi potestatem, et interficiam draconem absque gladio, et fuste. Et ait rex : Do tibi.

26. Tulit ergo Daniel picem, et adipem, et pilos, et coxit pariter, fecitque massas, et dedit in os

8. Ἐὰν δὲ δείξητε, ὅτι ὁ Βὴλ κατεσθίει αὐτά, ἀποθανεῖται Δανιὴλ, ὅτι ἐβλασφήμησεν εἰς τὸν Βήλ· καὶ εἶπεν Δανιὴλ τῷ βασιλεῖ· Γενέσθω κατὰ τὸ ῥῆμά σου.

9. Καὶ ἦσαν ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα ἐκτὸς γυναικῶν, καὶ τέκνων· καὶ ἦλθεν ὁ βασιλεὺς μετὰ Δανιὴλ εἰς τὸν οἶκον τοῦ Βήλ.

10. Καὶ εἶπεν ὁ ἱερεὺς Βήλ· Ἰδοὺ ἡμεῖς ἀποτρέχομεν ἔξω· σὺ δὲ, βασιλεῦ, παράθες τὰ βρώματα, καὶ τὸν οἶνον κεράσας θὲς, καὶ ἀπόκλεισον τὴν θύραν, καὶ σφράγισον τῷ δακτυλίῳ σου.

11. Καὶ ἐλθὼν πρωῒ, ἐὰν μὴ εὕρῃς πάντα βεβρωμένα ὑπὸ τοῦ Βὴλ, ἀποθανούμεθα, ἢ Δανιὴλ ὁ ψευδόμενος καθ' ἡμῶν.

12. Αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν ὑπὸ τὴν τράπεζαν κεκρυμμένην εἴσοδον, καὶ δι' αὐτῆς εἰσεπορεύοντο διόλου, καὶ ἀνήλουν αὐτά.

13. Καὶ ἐγένετο ὡς ἐξῆλθεν ἐκεῖθεν, καὶ ὁ βασιλεὺς παρέθηκε τὰ βρώματα τῷ Βήλ· καὶ ἐπέταξε Δανιὴλ τοῖς παιδαρίοις αὐτοῦ, καὶ ἤνεγκαν τέφραν, καὶ κατέσεισαν ὅλον τὸν ναὸν ἐνώπιον τοῦ βασιλέως· καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν, καὶ ἐσφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον.

14. Οἱ δὲ ἱερεῖς εἰσῆλθον τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν αὐτοὶ, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ κατέφαγον πάντα, καὶ ἐξέπιον.

15. Καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωῒ, καὶ Δανιὴλ μετ' αὐτοῦ.

16. Καὶ εἶπεν ὁ βασιλεύς· Σῶοι αἱ σφραγῖδες, Δανιὴλ; Ὁ δὲ εἶπεν· Σῶοι, βασιλεῦ.

17. Καὶ ἐγένετο ἅμα τὸ ἀνοῖξαι τὰς θύρας, ἐπιβλέψας ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν, ἐβόησε φωνῇ μεγάλῃ· Μέγας εἶ Βὴλ, καὶ οὐκ ἔστι παρὰ σοὶ δόλος οὐδὲ εἷς.

18. Καὶ ἐγέλασε Δανιὴλ, καὶ ἐκράτησε τὸν βασιλέα, τοῦ μὴ εἰσελθεῖν ἔσω, καὶ εἶπεν· Ἴδε δὴ τὸ ἔδαφος, καὶ γνῶθι, τίνος τὰ ἴχνη ταῦτα.

19. Καὶ εἶπεν ὁ βασιλεύς· Ὁρῶ ἴχνη ἀνδρῶν, καὶ γυναικῶν, καὶ παιδίων· καὶ ὀργισθεὶς ὁ βασιλεὺς,

20. Τότε συνέλαβε τοὺς ἱερεῖς, καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας, δι' ὧν εἰσεπορεύοντο, καὶ ἐδαπάνων τὰ ἐπὶ τῇ τραπέζῃ.

21. Καὶ ἀπέκτεινεν αὐτοὺς, καὶ τὸν Βὴλ ἔκδοτον ἔδωκε τῷ Δανιὴλ, καὶ κατέστρεψεν αὐτὸν, καὶ τὸν ναὸν αὐτοῦ.

22. Καὶ ἦν δράκων μέγας ἐν τῷ τόπῳ, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι.

23. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Ἰδοὺ δὴ οὐ δύνασαι εἰπεῖν, ὅτι οὐκ ἔστιν αὐτὸς θεὸς ζῶν, καὶ προσκύνησον αὐτῷ.

24. Καὶ εἶπεν Δανιὴλ· Κυρίῳ τῷ Θεῷ μου προσκυνήσω, ὅτι οὗτός ἐστιν ὁ Θεὸς ὁ ζῶν.

25. Σὺ δὲ, βασιλεῦ, δός μοι τὴν ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα ἄνευ μαχαίρας, καὶ ῥάβδου, καὶ εἶπεν ὁ βασιλεύς· Δίδωμί σοι.

26. Καὶ ἔλαβε Δανιὴλ πίσσαν, καὶ στέαρ, καὶ τρίχας, καὶ ἥψησεν ἐπὶ τὸ αὐτό· καὶ ἐποίησεν μάζας,

Digitized by Google

καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος, καὶ διερράγη ὁ δράκων, καὶ εἶπεν Δανιήλ· Ἴδε τὰ σεβάσματα ὑμῶν.

A draconis, et disruptus est draco : et dixit Daniel : Ecce quæ vos colitis.

27. Καὶ ἐγένετο, ὡς ἤκουσαν οἱ Βαβυλώνιοι, ἠγανάκτησαν λίαν, καὶ συνεστράφησαν ἐπὶ τὸν βασιλέα, καὶ εἶπον· Ἰουδαῖος γέγονεν ὁ βασιλεύς, τὸν Βὴλ κατέσπασε, καὶ τὸν δράκοντα ἀπέκτεινε, καὶ τοὺς ἱερεῖς κατέσφαξεν.

27. Et factum est ut audierunt Babylonii, indignati sunt vehementer, et conversi adversus regem dixerunt : Judæus factus est rex : Bel destruxit, et draconem interfecit, et sacerdotes occidit.

28. Καὶ εἶπον πρὸς τὸν βασιλέα · Παράδος ἡμῖν τὸν Δανιήλ, εἰ δὲ μή, ἀποκτενοῦμέν σε, καὶ τὸν οἶκόν σου.

28. Et dixerunt ad regem : Trade nobis Danielem, alioquin interficiemus te, et domum tuam.

29. Καὶ εἶδεν ὁ βασιλεύς, ὅτι κατεπείγουσιν αὐτὸν σφόδρα, καὶ ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ.

29. Vidit ergo rex, quod incitarentur in se vehementer : et necessitate compulsus tradidit eis Danielem.

30. Οἱ δὲ ἔβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἓξ.

30. Illi autem miserunt eum in lacum leonum, et erat ibi diebus sex.

31. Ἦσαν δὲ ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες, καὶ ἐδίδοντο αὐτοῖς τῆς ἡμέρας δύο σώματα, καὶ δύο πρόβατα· τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα καταφάγωσι τὸν Δανιήλ.

B 31. Porro erant in lacu septem leones, et dabantur eis quotidie duo corpora, et duæ oves : tunc autem non sunt data eis, ut devorarent Danielem.

32. Καὶ ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἔψημα, καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην, καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενεγκεῖν τοῖς θερισταῖς.

32. Erat autem Ambacum propheta in Judæa, et ipse coxerat pulmentum, et intriverat panes in alveolo : et ibat in campum, ut afferret messoribus.

33. Καὶ εἶπεν ἄγγελος Κυρίου τῷ Ἀμβακούμ· Ἀπένεγκε τὸ ἄριστον ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων.

33. Dixitque angelus Domini ad Ambacum : Fer prandium, quod habes, in Babylonem Danieli in lacum leonum.

34. Καὶ εἶπεν Ἀμβακούμ. Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα, καὶ τὸν λάκκον οὐ γινώσκω.

34. Et dixit Ambacum : Domine, Babylonem non vidi, et lacum nescio.

35. Καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, C ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου, ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ.

35. Et apprehendit angelus Domini verticem ejus, et portans coma capitis ejus, posuit eum in Babylone supra lacum in impetu spiritus sui.

36. Καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων · Δανιὴλ, λάβε τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι ὁ Θεός.

36. Et clamavit Ambacum, dicens : Daniel, tolle prandium, quod misit tibi Deus.

37. Καὶ εἶπεν Δανιήλ· Ἐμνήσθης γάρ μου ὁ Θεὸς, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε.

37. Et ait Daniel : Recordatus es quippe mei Deus, et non dereliquisti diligentes te.

38. Καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ δὲ ἄγγελος τοῦ Θεοῦ ἀπεκατέστησε τὸν Ἀμβακοὺμ παραχρῆμα ἐπὶ τὸν τόπον αὐτοῦ.

38. Surgensque Daniel comedit. Porro angelus Dei restituit Ambacum confestim in locum ejus.

39. Ὁ δὲ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι τὸν Δανιήλ, καὶ ἦλθεν ἐπὶ τὸν λάκκον, καὶ ἀνέβλεψε, καὶ ἰδοὺ Δανιὴλ καθήμενος.

39. Rex autem venit die septimo, ut lugeret Danielem, et venit ad lacum, et respexit, et ecce Daniel sedens.

D

40. Καὶ ἀνεβόησεν ὁ βασιλεὺς φωνῇ μεγάλῃ, καὶ εἶπεν · Μέγας εἶ, Κύριε ὁ Θεὸς τοῦ Δανιήλ.

40. Et exclamavit rex voce magna, et ait : Magnus es, Domine Deus Danielis.

41. Καὶ ἀνέσπασεν αὐτόν. Τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλε, καὶ κατεβρώθησαν παραχρῆμα ἐνώπιον αὐτοῦ.

41. Et extraxit eum. Porro illos, qui perditionis ejus causa fuerant, injecit, et devorati sunt in momento coram eo.

HEXAPLORUM QUÆ SUPERSUNT.

DANIELIS CAPUT PRIMUM.

2 ארץ שנער Θ. Εἰς γῆν Σενναάρ. Ἄλλος, εἰς γῆν Βαβυλῶνος.

2. Heb. in terram Senar. Th. Vulg. in terram Sennaar. *Alius*, in terram Babylonis.

3 לאשפנז רב סריסיו Θ. τῷ Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ. Ἄλλος, Ἀβδιεζδρὶ διδασκάλῳ εὐνούχων αὐτοῦ.

3. Heb. Asphenez magistro ennuchorum suorum. Th. Asphanez præposito eunuchorum suorum. *Alius*, Abdiezdri magistro eunuchorum suorum. Vulg. Asphenez præposito eunuchorum.

Digitized by Google

הפרתמים Ὁ Ἑβραῖος, τῶν εὐγενῶν. Ἀ. 1. Ο'. A ἐπιλέκτων. Ἀ. 2. τυράννων. Σ. Πάρθων. Θ. Φορθομμίν.

יתגאל 8 Θ. ἀλισγηθῇ. Ἄλλος, μιανθῇ.

שר הסריסים 10 Θ. ἀρχιευνοῦχος.

וחיבתם Θ. καὶ καταδικάσητε. Ἄλλος, καταδικασθῆναι ποιήσητε.

נס 12 Θ. πείρασον. Ἄλλος, δοκίμασον.

אות־עבדיך Θ. τοὺς παῖδάς σου. Ἄλλος, τοὺς δούλους σου.

ויגסם 14 Θ. καὶ ἐπείρασεν αὐτούς. Ἄλλος, καὶ ἐδοκίμασε τὴν ἰδέαν αὐτῶν.

ובריאי בשר 15 Θ. καὶ ἰσχυροὶ ταῖς σαρξίν. Ἄλλος, καὶ αὐτοὶ ἰσχυροὶ ταῖς σαρξίν.

זרעים 16 Θ. σπέρματα. Ἄλλος, δσπρια.

בכל־ספר 17 Ἀ. ἐν παντὶ τῷ βιβλίῳ. Σ.... Θ. ἐν πάσῃ γραμματικῇ.

לפני נבכדנצר 18 Θ. ἐναντίον Ναβουχοδονόσορ. Ἄλλος, πρὸς Ναβουχοδονόσορ.

החרטמים האשפים 20 Ο'. σοφιστὰς καὶ φιλοσόφους. Θ. τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους.

Heb. principibus. *Hebræus*, nobilium. *A.* 1. LXX. electorum *A.* 2. Vulg. tyrannorum. S. Parthorum. Th. Phorthommin.

8. Heb. pollueret se. Th. Vulg. pollueretur. *Alius*, contaminaretur.

10. Heb. Th. Vulg. princeps eunuchorum.

Heb. et condemnabitis. Th. et condemnetis. *Alius*, et condemnari faciatis. Vul. condemnabitis.

12. H. Th. Vul. tenta. *Alius*, proba.

H. *Alius*, Vul. servos tuos. Th. pueros tuos

14. Heb. Th. et tentavit eos. *Alius*, et probavit ideam, [*i.* vultum] eorum. Vul. tentavit eos

15. Heb. et pinguiores carne. Th. et robusti carnibus. *Alius*, et ipsi robusti carnibus. Vul. et corB pulentiores.

16. H. Th. semina. *Alius*, Vul. legumina.

17. Heb. *A.* Vul. in omni libro. S. in omni arte grammatica. Th. in omni litteratura.

18. H. ad facies Nebuchadnesar. Th. Vul. iu conspectu Nabuchodonosor. *Alius*, ad Nabuchodonosor.

20. H. genethliacos sophos. LXX. sophistas et philosophos. Th. incantatores et magos. Vul. ariolos et magos.

Notæ et variæ lectiones ad cap. I Danielis.

V. 1. Sciendum Montfauconium afferre juxta Biblia nostra Theodotionis textum, qui in multis abcedit a textu Theodotionis Chisiano quem dedimus supra. Drach.

V. 2. Schol. Βαβυλῶνος, apud Drusium ex edit. Romana, estque haud dubie altera versio. Hieronymus in comment. « *Terra Sennaar locus est Babylonis, in quo fuit campus Dura, et turris, quam usque ad cœlum hi, qui ab Oriente moverant pedes suos, ædificare nisi sunt.* »

V. 3. Ἄλλος, Ἀβδιεζδρὶ διδασκάλῳ εὐνούχων αὐτοῦ. Cod. regius Bombycinus. Hanc lectionem memorat Hieronymus, qui ait : « Pro *Asphanez*. in editione Vulgata Ἀβριεσδρὶ scriptum reperi. » Codex noster antiquissimus Corbeiensis habet litteris latinis, *Abiesdri*.

Ibid. Ὁ Ἑβρ. τῶν εὐγενῶν. Idem ms. reg. De reliquis versionibus hæc Hieronymus : « Et pro φορθομμίν, quod Theodotio posuit, *LXX.* et Aquila *electos* transtulerunt; Symmachus, *Parthos*, pro verbo nomen gentis intelligens, quod nos juxta editionem Hebræorum, quæ κατ' ἀκρίβειαν legitur, in *tyrannos* vertimus. » Priora hujus loci verba sic habet ms. Corbeiensis noster, « Et pro *Porthommim*, quod Theodotio posuit. »

V. 8. Ἄλλος, μιανθῇ. Drusius.

V. 10. Θ, ἀρχιευνοῦχος. Hieron. « Non solum præpositus Eunuchorum, sive magister, et ut alii transtulerunt, ὁ ἀρχιευνοῦχος, sanctis immutat nomina, sed et Pharao Joseph in Ægypto, etc. »

Ibid. Ἄλλος, καταδικασθῆναι ποιήσητε. Id Drusius quasi scholion affert.

V. 12. Ἄλλος, δοκίμασον. Drus. Ibid. Chrys. τοὺς δούλ.

V. 14. Ἄλλος, καὶ ἐδοκίμασε, etc. Drusius. Quæ sunt alterius interpretis, cujus nomen tacetur.

V. 15. Ἄλλος, καὶ αὐτοὶ ἰσχ. Ex Jo. Chrysostomo in Danielem.

V. 16. Ἄλλος, δσπρια. Ex Drusio.

V. 17. Ἀ, ἐν παντὶ τῷ βιβλίῳ. Ms. reg. et Polychronio. Drusius ex edit. Rom. Schol. ἐν παντὶ τῷ βίβλῳ, mendose : nam βίβλος est feminini generis. « Pro quo, inquit Hieronymus, Symmachus interpretatus est, *artem grammaticam*. »

V. 18. Ἄλλος, πρὸς Ναβουχ. Ex Chrysostomo in Danielem

V. 20. Ms. reg. Ο', σοφιστὰς καὶ φιλοσόφους. Hieronymus : « Pro *hariolis et magis*, Vulgata editio, *sophistas et philosophos* transtulit. »

—

DANIELIS CAPUT II.

לחרטמים 2 Ἀ. Σ. Ο'. Θ. ἐπαοιδούς. Ὁ Σύρος, σοφούς.

ותפעם 3 Σ. καὶ διηπόρει. Θ. καὶ ἐξέστη.

עדנא אנתן זבנין 8 Θ. καιρὸν ὑμεῖς ἐξαγοράζετε.

אזדא מני Ὁ Σύρος, ἀπατᾷ με. Θ. ἀπέστη ἀπ' ἐμοῦ.

ענה ואמר 15 Θ. *vacat*. Ἄλλος, καὶ ἐπυνθάνετο αὐτὸν λέγων.

2. Heb. genethliacos. *A.* S. LXX. Th. incantores. *Syrus*, sophos. Vul. arioli.

3. H. et consternatus est. S. et hæsitabat. Th. et obstupuit. Vulg. et mente confusus.

8. H. tempus vos ementes. Th. tempus vos redimitis. Vulg. tempus redimitis.

H. efluxerit a me. *Syrus*, decipit me. Th. discessit a me. Vulg. recesserit a me.

15. Heb. respondit et dixit. Th. *vacat*. *Alius*, et interrogabat eum dicens. Vulg. et interrogavit eum.

Digitized by Google

וגבורתא 20 Θ. καὶ ἡ σύνεσις. Ἄλλος, καὶ ἡ ἰσχύς.

גזרין 27 Σ. θύτας. Θ. γαζαρηνῶν.

באחרית יומיא 28 Ο' ἐν ἐσχάταις ἡμέραις. Θ. ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

צלם 31 *Οἱ λοιποὶ*, εἰκών. Σ. ἀνδριάς.

די־דהב טב 32 Θ. χρυσίου χρηστοῦ. Ἄλλος, ἐκ χρυσίου καθαροῦ.

והתגזרת 34 Θ. ἀπεσχίσθη. Ἄλλος, ἀπετμήθη.

ומנחה 46 Ἄλλοι, καὶ δῶρον. Θ. καὶ μαναά.

20. Hebr. *Alius* et Vulg. et fortitudo. Th. et prudentia.

27. H. Vulg. aruspices. S. sacrificos. Th. gazarenorum.

28. H. in novissimo dierum. LXX, Th. in novissimis diebus. Vulg. in novissimis temporibus.

31. H. et *reliqui*, imago. S. Vulg. statua.

32. Heb. Th. ex auro bono *Alius*, ex auro puro. Vulg. ex auro optimo.

34. H. Th Vulg. abscissus est. *Alius*, excisus est.

46. Hebr. et munus. *Alii*, et donum. Th. et manaa. Vulg. et hostias.

Notæ et variæ lectiones ad cap. II Danielis.

V. 2. Ἀ. Σ. Ο'. Θ. ἐπαοιδούς. Ex Hieronymo, cujus hæc sunt verba : « Quos nos *hariolos*, cæteri ἐπαοιδούς interpretati sunt, i. e. *incantatores*. Ergo videntur mihi incantatores esse, qui verbis rem peragunt : Magi, qui de singulis philosophantur : Malelici, qui sanguine utuntur et victimis, et sæpe contingunt corpora mortuorum. Porro in Chaldæis γενεθλιαλόγους significari puto, quos vulgus *mathematicos* vocat. » Hujus autem loci initium sic habetur in ms. Corbeiensi, nunc nostri Monasterii : « *Præcevit ergo rex ut convocarentur arioli, et magi, et malefici,* ※ id est, incantatores. Ergo videntur etc. » Drusius ex Polychronio addit, ὁ Σύρος συντόμως λέγει τοὺς σοφοὺς τῆς Βαβυλῶνος. i. e. *Syrus compendio dicit Sophos Babylonis*. Quibus indicatur, illa Magorum et incantatorum varii generis nomina, quæ in Hebraico enumerantur, uno τῶν σοφῶν nomine comprehendi.

V. 3. Σ. καὶ διηπόρει. Sic ms. regius ex Polychronio, et Drusius.

V. 8. Θ. καιρὸν ὑμεῖς ἐξαγοράζετε. In hæc verba scholion adfertur in edit. Rom. τουτέστιν ὑπέρθεσιν θηρᾶσθε, διασκεδάσαι τῇ ἀναβολῇ τοῦ καιροῦ σκοποῦντες τὸ παρ' ὑμῶν ζητούμενον. i. e. *Prorogationem venamini, studentes dilatione temporis dissolvere quod quæritur a vobis*.

Ibid. ὁ Σύρος, ἀπατᾷ με. Hoc suspectum habet Drusius : at non semel Syrus Interpres a litera, imo nonnunquam a sensu discedit.

V. 15. Ἄλλος, καὶ ἐπυνθάνετο. Jo Chrysost. in Danielem. [Quæ vacant in textu communi Theodotionis, i. e. Bibliorum nostrorum, plerumque habentur in ejusdem interpretis textu genuino Chisiano. Quod semel monuisse sufficiat. Drach.]

V. 20. Ἄλλος, καὶ ἡ ἰσχύς. Idem.

V. 27. Hieron. : « Pro *Haruspicibus*, quod nos vertimus, in Hebræo *GAZARENOS* habet, quod solus Symmachus θύτας interpretatus est, quos Græci solent ἡπατοσκόπους appellare : qui exta inspiciunt, ut ex his futura prædicant. » Locus corruptus in editis et in mss. Editi habent θυάς. Ms. Corbeiensis noster. E A S. Sed θύτας legendum esse constat, ut videas infra cap. 4. nota ad versum 4. Ms. Corbeiensis habet, *prædicant*, sic cum accentu recte ; editi, *prædicent*.

V. 28. Hieronymus : « *LXX dies novissimos*, transtulerunt. »

V. 31. Hieron. : « Pro *statua*, i. e. ἀνδριάντι, quod solus interpretatus est Symmachus, cæteri *imaginem* transtulerunt, volentes hoc nomine similitudinem ostendere futurorum. » Alius legit, ἀνδριάντῃ. Ms. vero Corbeiensis, *pro* ἀνδριάντε. Quæ si vera lectio sit, sane Hieronymus voci Græcæ terminationem Latinam dederit, ut cum præpositione *pro* quadraret.

V. 32. Ἄλλος, ἐκ χρυσίου καθαροῦ. Jo. Chrysost.

V. 34. Ἄλλος, ἀπετμήθη. Idem.

V. 46. Ἄλλοι, καὶ δῶρον. Drusius, Schol. δῶρον.

DANIELIS CAPUT III.

דורא 1 Σ. (Δουραῦ.) Ο', περίβολον. Θ. Δειρᾷ.

די חקים נבוכדנצר מלכא 3 Θ. ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς.

עממיא אמיא ולשניא 4 Ἄλλος, ἔθνη, λαοὶ καὶ γλῶσσαι. Θ. λαοί, φυλαί, γλῶσσαι.

סמפניה 5 Ἄλλος, συμφωνίας. *In* Θ. *vacat*.

ולצלם דהבא 18 *Οἱ λοιποὶ*, καὶ εἰκόνι χρυσῇ. Σ. καὶ ἀνδριάντι χρυσῷ.

בסרבליהן 21 Ἀ. Θ. σὺν τοῖς σαραβάροις αὐτῶν. Σ. σὺν ταῖς ἀναξυρίσιν αὐτῶν.

גבריא אלך די הפקו לשדרך מישך ועבד נגו קטל הכון שביבא די נורא 22 Ἄλλος, καὶ τοὺς ἄνδρας ἐκείνους τοὺς ἐμβαλόντας Σιδρὰχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἀπέκτεινεν αὐτοὺς φλὸξ τοῦ πυρός.

וגבריא אלך תלתהן שדרך מישך ועבד נגו נפלו לגוא־אתון־נורא יקדתא מכפתין 23 Ἀ. καὶ οἱ ἄνδρες

1. H. Vulg. Dura. S. Durau. LXX, septum. T. Deïra.

3. Hebr. Vulg. quam erexerat Nabuchodonosor rex. Th. quam statuerat Nabuchodonosor rex.

4. Heb. populis, nationibus et linguis. *Alius*, gentes, populi et linguæ. Th. populi, tribus, linguæ. Vulg. populis, tribubus et linguis.

5. Heb. *Alius*, Vulg. symphoniæ. In Th. *vacat*.

18. Hebr. *Reliqui*, et imagini aureæ. S. Vulg. statuæ aureæ.

21. Hebr. in sarabalis suis. A. Th. cum sarabaris suis. S. cum femoralibus suis. Vul. cum braccis suis.

22. Hebr. viros illos qui ascendere fecerunt Sidrach, Misach, et Abed-nego occidit illos flamma ignis. *Alius*, et viros illos qui injecerant Sidrach, Misach, et Abdenago, occidit eos flamma ignis. Vulg. porro viros illos qui miserant Sidrach, Misach, et Abdenago, interfecit flamma ignis.

23. Heb. et viri illi tres Sidrach, Misach et Abed-nego ceciderunt in medium fornacis ignis ar-

Digitized by Google

ἐκεῖνοι οἱ τρεῖς, Σεδρὰχ, Μισὰχ, Ἀβδενεγὼ ἔπεσον εἰς μέσον τοῦ πυρὸς πεπεδημένοι. Θ. καὶ οἱ τρεῖς οὗτοι, Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ, ἔπεσον εἰς μέσον τῆς καμίνου τῆς καιομένης πεπεδημένοι.

dentis ligati. A. et viri illi tres, Sedrach, Misach, Abdenego ceciderunt in medium ignis colligati. Th. et tres isti, Sedrach, Misach, et Abdenago, ceciderunt in medium camini ardentis ligati. Vulg. viri autem hi tres, id est, Sidrach, Misach, et Abdenago, ceciderunt in medio camino ignis ardentis colligati.

24 אדין נבוכדנצר מלכא תוה וקם בהתבהלה ענה ואמר להדברוהי׃ Ἀ. ὁ βασιλεὺς ὁ Ναβουχοδονόσορ ἐθαύμασε, καὶ ἀνέστη ἐν σπουδῇ, καὶ ἀπεκρίθη καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ. Θ. καὶ Ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ.

24. Hebr. Tunc Nabuchadnesar rex obstupuit, et surrexit in festinando, respondit et dixit magnatibus suis. A. rex Nabuchodonosor miratus est, et surrexit festinanter, et respondit, dixitque optimatibus suis. Th. et Nabuchodonosor audivit hymnos canentes ipsos, et miratus est, et surrexit propere, et ait magnatibus suis. Vulg. Tunc Nabuchodonosor rex obstupuit, et surrexit propere, et ait optimatibus suis.

25 ורוה די רביעיא דמה לבר־אלהין Ἀ..... ὅμοιος υἱῷ Θεοῦ. Σ..... Ο'.... ἀγγέλῳ Θεοῦ. Θ. καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ Θεοῦ.

25. H. et species quarti similis est filio Dei. A..... similis filio Dei. S. species autem quarti, similitudo filiorum deorum. LXX..... angelo Dei. Th. Vul. et species quarti, similis filio Dei.

Notæ et variæ lectiones ad cap. III Danielis.

V. 1. Ex Hieronymo, qui sic habet in ms. Corbeiensi : « Pro *Dura* Theudocio (*sic*) *Deira*, Symmachus *Durau*, *LXX* περίβολον. » Ubi *Dura*, *Deira*, *Durau* legendum, non *Duraum*, ut in editis : nam lineæ supra positæ in ms. hic non indicant *m* in fine.

V. 3. Θ., ἧς ἔστησε etc. Sic editi.

V. 4. Ἄλλος, ἔθνη, λαοὶ, καὶ γλῶσσαι. Drusius.

V. 5. Ἄλλος, συμφωνίας. Drusius, qui hanc notam adfert : « Elias in libro ubi vocum Chaldaicarum sensa explicat : *Nomen est instrumenti musici, quod italice vocatur* Symphonia, *et Germanice* Lier, i. e. Lyra. » *Isidorus :* Symphonia appellatur lignum cavum, ex utraque parte pelle extensa, quam virgulis hic inde musici feriunt etc. »

V. 18. Symmachus, *statua aurea*. Ex Hieronymo.

V. 21. Hieronymus : « Pro *braccis*, quas Symmachus ἀναξυρίδας *vocat*, Aq. et Theodotio *saraballa* dixerunt, et non, ut corrupte legitur, *sarubara*. Lingua autem Chaldæorum *saraballa*, *crura* hominum vocantur et *tibiæ* : et ὁμωνύμως etiam *braccæ* eorum quibus crura teguntur et tibiæ, quasi *crurales* et *tibiales* appellatæ sunt. » Drusius hoc loco sic annotat :

μ0'. Ὁ Κηφεὺς, φησὶν, αὐτοῦ ἐστι πλησίον καὶ ἡ Κασσιέπεια [9] καὶ Ἀνδρομέδα καὶ ὁ Περσεὺς, μεγάλα τῆς | κτίσεως γράμματα τοῖς ἰδεῖν δυναμένοις. Κηφέα γάρ φησιν εἶναι τὸν Ἀδὰμ, τὴν Κασσιέπειαν [10] Εὔαν, τὴν Ἀνδρομέδαν τὴν ἀμφοτέρων [11] τούτων ψυχὴν, τὸν Περσέα Λόγον, πτερωτὸν Διὸς ἔγγονον, τὸ Κῆτος [12] τὸ ἐπίβουλον θηρίον. Οὐκ ἐπ' ἄλλον τινὰ τούτων [13], ἀλλ' ἐπὶ μόνην τὴν Ἀνδρομέδαν ἔρχεται ὁ ἀποκτείνας τὸ θηρίον, οὗ καὶ τὴν Ἀνδρομέδαν πρὸς ἑαυτὸν λαβὼν ἔκδοτον δεδεμένην τῷ θηρίῳ ὁ Λόγος, φησὶν, ὁ Περσεὺς ῥύεται. Περσεὺς δέ ἐστιν ὁ ὑπόπτερος ἄξων, ὁ περαίνων ἑκατέρους τοὺς πόλους διὰ μέσης τῆς γῆς καὶ στρέφων τὸν κόσμον. Ἔστι δὲ καὶ τὸ πνεῦμα τὸ ἐν τῷ κόσμῳ ὁ ὄρνις ὁ Κύκνος [14] παρὰ τὰς Ἄρκτους, [μουσι]κὸν ζῶον, τοῦ θείου σύμβολον Πνεύματος· ὅτι πρὸς αὐτοῖς ἤδη τοῖς τέρμασι [15] γενόμενον τοῦ βίου μόνον ᾄδειν πέφυκε, μετὰ ἀγαθῆς ἐλπίδος τῆς κτίσεως τῆς πονηρᾶς ἀπαλλασσόμενον ὕμνους ἀναπέμπον [16] τῷ Θεῷ. Καρκίνοι δὲ καὶ ταῦροι καὶ λέοντες καὶ κριοὶ καὶ αἶγες καὶ ἔριφοι, καὶ ὅσα ἄλλα θηρία διὰ τῶν ἄστρων ὀνομάζεται κατὰ τὸν οὐρανὸν, εἰκόνες δὴ [17], φησὶν, εἰσὶ καὶ παραδείγματα, ἀφ' ὧν ἡ μεταβλητὴ κτίσις λαμβάνουσα τὰς ἰδέας τοιούτων ζώων γίνεται πλήρης.

124-125 50. His usi sermonibus opinantur multos decipere, quotquot operosius astrologis aurem præbent, hinc fidem Dei confirmare annisi, quæ quidem longe abludit ab horum opinationibus. Quapropter, dilecti, fugiamus illam vanorum mirationem C avis bubonis; hæc enim et hujuscemodi alia saltatio sunt et non veritas. Etenim nullo pacto stellæ hæc ostendunt, sed de suo homines ad accuratiorem quarumdam stellarum appellationem nomina in hunc modum composuerunt, quo notabiles sibi fierent. Quid enim ursæ aut leonis aut hædorum aut aquarii aut Cephei aut Andromedæ aut spectrorum, quæ celebrantur in Orco, simile habent stellæ dispersæ per cœlum, cum multo post nati sint hi homines nominaque postquam hominum exstitit ortus: ut etiam hæretici perculsi spectaculo ita demum annitantur per tales sermones confirmare suas ipsorum doctrinas?

ν'. [p. 87—89] Τούτοις χρώμενοι τοῖς λόγοις ἀπατᾷν νομίζουσι πολλοὺς, ὅσοι περιεργότερον [18] τοῖς ἀστρολόγοις προσέχουσιν, ἐντεῦθεν τὴν θεοσέβειαν συνιστᾷν πειρώμενοι μακρὰν ἀπεμφαίνουσαν τῆς τούτων ὑπολήψεως. Διὸ, ἀγαπητοὶ, φύγωμεν τὸ μικροθαύμαστον τοῦ ὄρνιθος τοῦ ὤτου· ταῦτα γὰρ καὶ τὰ τοιάδε ὀρχήσεις ἐστὶ καὶ οὐκ ἀλήθεια. Οὐδὲν [19] γὰρ ἄστρα ταῦτα δηλοῖ, ἀλλὰ ἰδίως οἱ ἄνθρωποι πρὸς ἐπισημείωσίν τινων ἄστρων ὀνόματα οὕτως ἐπεκάλεσαν, ἵνα αὐτοῖς ἐπίσημα [20] ᾖ. Τί γὰρ ἄρκτου, ἢ λέοντος, ἢ ἐρίφων, ἢ ὑδροχόου, ἢ Κηφέως, ἢ Ἀνδρομέδας, ἢ τῶν ἐν Ἅιδου ὀνομαζομένων εἰδώλων ὅμοιον ἔχουσιν ἀστέρες διεσπαρμένοι κατὰ τὸν οὐρανὸν, πολὺ μεταγενεστέρων γεγενημένων [21] τούτων τῶν ἀνθρώπων καὶ τῶν ὀνομάτων ἢ [22] τῶν ἀνθρώπων συνέστηκε γέννησις· ἵνα καὶ οἱ αἱρετικοὶ καταπλαγέντες τὸ θαῦμα οὕτως ἐξεργάσωνται διὰ τοιῶνδε λόγων τὰ ἴδια δόγματα συνιστᾷν;

51. Sed quoniam pene nulla non hæresis per arithmeticam artem invenit hebdomadum mensuras et æonum quasdam propagines, cum alii aliter artem distraherent et solis nominibus variarent, horum autem magister iis exstitit Pythagoras, qui primus ex Ægypto hujusmodi numeros tradidit: placet

να'. Ἀλλ' ἐπεὶ σχεδὸν πᾶσα αἵρεσις διὰ τῆς ἀριθμητικῆς τέχνης ἐφεῦρεν ἑβδομάδων μέτρα καὶ αἰώνων τινὰς προβολὰς, ἄλλων ἄλλως [23] τὴν τέχνην διασπώντων καὶ τοῖς ὀνόμασι μόνον διαλλασσόντων [24], τούτων δὲ αὐτοῖς διδάσκαλος γίνεται Πυθαγόρας, πρῶτος εἰς Ἕλληνας ἀπ' Αἰγύπτου τοὺς τοιούτους;

VARIÆ LECTIONES.

[8] εἰς ἅιδαο C, cf. Arat. v. 179 [9] Κασιέπεια C. [10] Κασιέπειαν C. [11] τῶν ἀμφ. C, M. [12] τὸ Κῆτος. Cf. Arat. v. 353 sq.: Τὴν δὲ καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν | Ἀνδρομέδην μέγα Κῆτος ἐπερχόμενον κατεπείγει. [13] τούτου C. [14] Cf. Schol. in Arat. v. 275: Τοῦτον τὸν ὄρνιν οἱ μὲν λέγουσιν ὄντα κύκνον καταστερισθῆναι εἰς τιμὴν τοῦ Ἀπόλλωνος ἅτε μουσικὸν ὄντα. [15] τοῖς σπέρμασι C. [16] ἀναπέμπων C. [17] δή, δὲ C, M. [18] περιεργότεροι C. [19] Οὐδὲ C, M. [20] ἐπιστημανῇ C. [21] γεγεννημένων C. [22] ἡ C. [23] ἀλλὴνἀλλως C. [24] διαλασσόντων C.

Digitized by Google

ριθμοὺς παραδούς· δοκεῖ μηδὲ τοῦτο παραλιπεῖν, ἀλλὰ διὰ συντόμου δείξαντας ἐπὶ τὴν τῶν ζητουμένων πόδειξιν χωρῆσαι. Γεγόνασιν ἀριθμητικοὶ καὶ γεωμέτραι [25], οἷς μάλιστα τὰς ἀρχὰς παρεσχηκέναι οἰκεῖ πρῶτος Πυθαγόρας· καὶ οὗτοι [26] τῶν ἀριθμῶν εἰς ἄπειρον ἀεὶ προχωρεῖν δυναμένων τῷ πολυπλατιασμῷ καὶ τοῖς σχήμασι τὰς πρώτας ἔλαβον ἀρχὰς [27] μόνοι θεωρητὰς μόνῳ τῷ λόγῳ. Γεωμετρίας γάρ, ὡς ἔστιν ἐνιδεῖν, σημεῖόν ἐστιν ἀρχὴ ἀμερὲς, ἀπ' ἐκείνου δὲ τοῦ σημείου τῇ τέχνῃ ἡ τῶν ἀπείρων σχημάτων ἀπὸ τοῦ σημείου γένεσις εὑρίσκεται. Ῥυὲν γὰρ τὸ σημεῖον | ἐπὶ μῆκος γίνεται γραμμὴ μετὰ τὴν ῥύσιν, πέρας ἔχουσα σημεῖον, γραμμὴ δὲ ἐπὶ πλάτος ῥυεῖσα ἐπίπεδον γεννᾷ, πέρατα δὲ τοῦ ἐπιπέδου γραμμαί, ἐπίπεδον δὲ ῥυὲν εἰς βάθος γίνεται σῶμα· στερεοῦ δὲ ὑπάρξαντος, οὕτως ἐξ ἐλαχίστου σημείου παντελῶς ἡ τοῦ μεγάλου σώματος ὑπέστη φύσις, καὶ τοῦτό ἐστιν ὃ λέγει Σίμων οὕτως [28]· *Τὸ μικρὸν μέγα* [p. 89. 90] *ἔσται οἱονεὶ σημεῖον ὄν, τὸ δὲ μέγα ἀπέραντον*, κατακολουθῶν [28] τῷ γεωμετρουμένῳ σημείῳ [29]. Τῆς δὲ ἀριθμητικῆς κατὰ σύνθεσιν ἐχούσης τὴν φιλοσοφίαν ἀριθμὸς γέγονεν ἀρχὴ, ὅπερ ἐστὶν ἀόριστον, ἀκατάληπτον, ἔχων ἐν ἑαυτῷ πάντας τοὺς ἐπ' ἄπειρον ἐλθεῖν δυναμένους ἀριθμοὺς κατὰ τὸ πλῆθος. Τῶν δὲ ἀριθμῶν ἀρχὴ γέγονε καθ' ὑπόστασιν ἡ πρώτη μονὰς, ἥτις ἐστὶ μονὰς ἄρσην [30], γεννῶσα πατρικῶς τοὺς ἄλλους πάντας ἀριθμούς. Δεύτερον ἡ δυὰς [30] θῆλυς ἀριθμὸς, ὁ δὲ αὐτὸς καὶ ἄρτιος ὑπὸ τῶν ἀριθμητικῶν καλεῖται. Τρίτον ἡ τριὰς ἀριθμὸς ἄρσην [31]· οὗτος καὶ περισσὸς ὑπὸ τῶν ἀριθμητικῶν νενομοθέτηται καλεῖσθαι. Ἐφ' ἅπασι δὲ τούτοις ἡ τετρὰς θῆλυς ἀριθμὸς, ὁ δὲ αὐτὸς οὗτος καὶ ἄρτιος καλεῖται, ὅτι θῆλύς ἐστι. Γεγόνασιν οὖν οἱ πάντες ἀριθμοὶ ληφθέντες ἀπὸ γένους [32] τέσσαρες (ἀριθμὸς δὲ ἦν τὸ γένος ἀόριστος), ἀφ' ὧν ὁ τέλειος αὐτοῖς ἀριθμὸς συνέστηκεν ἡ δεκάς. Τὸ γὰρ ἕν, δύο, τρία, τέσσαρα γίνεται δέκα, ὡς προαποδέδεικται, ἐὰν ἑκάστῳ τῶν | ἀριθμῶν φυλάττηται κατ' οὐσίαν ὄνομα τὸ οἰκεῖον [33]. Αὕτη ἐστὶν ἡ κατὰ Πυθαγόραν ἱερὰ τετρακτὺς ἀεννάου φύσεως ῥιζώματ' ἔχουσα ἐν ἑαυτῇ, τουτέστι τοὺς ἄλλους πάντας ἀριθμούς· ὁ γὰρ [34] ἑνδεκα καὶ δώδεκα καὶ οἱ λοιποὶ τὴν ἀρχὴν τῆς γενέσεως ἀπὸ τῶν δέκα λαμβάνουσι. Ταύτης τῆς δεκάδος, τοῦ τελείου ἀριθμοῦ, τὰ τέσσαρα καλεῖται μέρη· ἀριθμὸς, μονὰς, δύναμις, κύβος, οἷς ἐπιπλοκαὶ καὶ μίξεις πρὸς γένεσιν αὐξήσεως [35] γίνονται, κατὰ φύσιν τὸν γόνιμον ἀριθμὸν ἐπιτελοῦσαι· ὅταν γὰρ δύναμις αὐτὴ [36] ἐφ' ἑαυτὴν κυβισθήσεται, γέγονε δυναμοδύναμις, ὅταν δὲ δύναμις ἐπὶ κύβον, γέγονε δυναμόκυβος, ὅταν δὲ κύβος ἐπὶ κύβον, γέγονε κυβόκυβος [37]· ὡς γίνεσθαι τοὺς πάντας ἀριθμοὺς ἑπτὰ, ἵνα ἡ τῶν γενομένων γένεσις γένηται ἐξ ἑβδομάδος,

A ne hoc quidem prætermittere, sed, ubi paucis ostenderimus, ad ea quæ consilium est demonstranda progredi. Exstiterunt arithmetici et geometræ, quibus præter cæteros fomenta præbuisse videtur primus Pythagoras, iique a numeris, qui in infinitum multiplicando progredi possunt, etiam figuris prima principia sumpserunt tanquam sola mente percipienda. Geometriæ enim, ut licet videre, punctum indivisum est principium; ab illo autem puncto per artem infinitarum figurarum a puncto genitura repetitur. Ubi enim processit punctum in longitudinem, exsistit linea post processum, quæ terminum habet punctum; linea autem cum in latitudinem processit, planitiem gignit, termini autem planitiei sunt lineæ; planities autem cum processit in altitudinem, exsistit B corpus. Ubi autem firmum corpus exstitit, in hunc modum ex minimo puncto prorsus magni corporis fundata est natura, idque est quod Simon in hunc modum **126-127** effatur: *Exiguum magnum erit, tanquam punctum quod est, magnum autem infinitum*, quippe secutus punctum geometrarum. Arithmeticæ autem continentis per compositionem philosophiam numerus exstitit principium, id quod est infinitum, incomprehensum, habens in se omnes qui possunt in infinitum per multitudinem progredi numeros. Numerorum autem principium exstitit per substantiam prima monas, quæ quidem est monas virilis, procreans paterne reliquos omnes numeros. Altero loco dyas, femineus numerus, idem autem et par ab arithmeticis appellatur. Tertium trias, numerus C virilis; hic et impar ab arithmeticis vocari solet. Præter hos omnes autem tetras, femineus numerus, idem autem hic et par vocatur, qui femineus est. Sunt igitur universi numeri sumpti generatim quatuor (numerus autem erat ad sexum indefinitus), unde perfectus illis numerus exstitit decas. Unum enim, duo, tria, quatuor efficiunt decem, ut supra demonstratum est, cum singulis numeris conservabitur ex re domesticum nomen. Hæc est illa Pythagoræ sacra tetractys perpetuæ naturæ continens in se radices, hoc est reliquos omnes numeros; undecimus enim numerus et duodecimus et reliqui principium generationis a numero qui est decem sumunt. Hujus decadis, perfecti numeri, quatuor vocantur D partes: numerus, monas, potestas, cubus, quibus implexiones et mistiones ad generationem augmenti fiunt, ex natura generatorem numerum efficientes. Ubi enim potestas ipsa multiplicabitur secum ipsa, exsistit dynamodynamis, ubi autem potestas cum cubo, exstitit dynamocubus, ubi autem cubus cum cubo, exsistit cubocubus, ut omnes numeri fiant septem, quo eorum, quæ generata sunt,

VARIÆ LECTIONES.

[25] ἀριθμητικαὶ γεωμετρία C [26] οὗτοι. τούτων C, cf. Sext. Emp. p. 314 M. [27] sqq. Cf. infra l. VI, c. 25, p. 178, 179 ed. Oxon. [28] Cf. infra l. VI, c. 14, p. 167, 11 — 168, 14 et c. 17, p. 172, 50. [28] κατακολουθοῦν C, M. [29] sqq. Prorsus similia leguntur supra l. I, c. 2, p. 10, 24—12, 52. [30] ἄρσις C. [30] ἡ δυάς bis C. [31] ἄρσις C. [32] ἀπὸ γένους. ἀπὸ τοῦ γένους C, M. [33] ὀνόματος οἰκείου C. [34] ὁ γάρ. τὸ γὰρ C, M. [35] γένεσιν αὐξήσεως. ἕνωσιν . . . ήσεως C, M; cf. supra p. 10, 46. [36] αὕτη C. [37] κυβόκυβος. δυναμόκυβος C.

Digitized by Google

generatio fiat ex hebdomade, quæ est numerus, monas, potestas, cubus, dynamodynamis, dynamocubus, cubocubus. Hanc hebdomadem Simon et Valentinus, nominibus commutatis, in miraculum exornaverunt, unde argumentum sibi arripuerunt. Simon enim ita appellat: *mens, intelligentia, nomen, vox, ratiocinatio, cogitatio, qui stat, stetit, stabit.* Et Valentinus: *mens, veritas, logus, vita, homo, ecclesia* et *pater* una numeratus, pariter **128-129** atque illi, qui arithmeticam philosophiam excoluerunt, quam tanquam incognitam multitudini admirati et imitati, hæreses a se excogitatas constituerunt. Quidam autem et ab arte medica conficere hebdomades periclitantur, stupefacti cerebri dissectione, cum dicunt universi substantiam et potestatem paternam et divinitatem a cerebri dispositione doceri. Cerebrum enim cum sit principalis pars universi corporis, superjacet fixum et immotum in se intus habens spiritum. Jam talis narratio non est incredibilis, sed ut longe dissideat ab horum conatu. Cerebrum enim resectum intus habet quod vocatur camarium, cujus ab utraque parte tenues sunt membranulæ, quas illi pterygia appellant, leniter a spiritu motæ et rursus depellentes spiritum versus cerebellum, qui percurrens per vasculum quoddam calami simile ad conarium meat, cui adjacet os cerebelli, excipiens permeantem spiritum et transfundens ad dorsalem quæ dicitur medullam, unde universum corpus accipit spirituale, cum omnes arteriæ instar rami ex hoc vasculo aptæ sint, cujus finis in genitalia vascula terminatur, unde et semina ex cerebro per femur meantia secernuntur. Est autem habitus cerebelli similis capiti serpentis, de quo multus sermo instituitur a magistris prave cognominatæ cognitionis, sicut demonstrabimus. Alteræ autem ex cerebro nascuntur sex conjunctiones, quæ circa caput porrectæ continent corpora, in ipso capite finitæ; septima autem ex cerebello permeat ad inferiores partes reliqui corporis, sicuti diximus. Et de hoc quoque multus fit sermo, unde et Simon et Valentinus reperientur et hinc doctrinæ suæ ansas sumpsisse et, etiamsi non confiteantur, esse primum mendaces, deinde hæretici. Cum autem hæc quoque satis a nobis videantur explicata, omnia autem, quæ videntur terrenæ philosophiæ placita, comprehensa sint in quatuor libris, placet proficisci ad horum discipulos, vel dicam expilatores.

ἥτις ἐστίν· ἀριθμός, μονάς, δύναμις, κύβος, δυναμοδύναμις, δυναμόκυβος, κυβόκυβος. Ταύτην τὴν ἑβδομάδα Σίμων καὶ Οὐαλεντῖνος ὀνόμασιν ἐνδιαλλάξαντες ἐτερατολόγησαν, ὑπόθεσιν ἑαυτοῖς ἐντεῦθεν σχεδιάσαντες. Ὁ μὲν γὰρ Σίμων οὕτως καλεῖ· *νοῦς, ἐπίνοια, ὄνομα, φωνή, λογισμός, ἐνθύμησις, ὁ ἑστὼς, στὰς, στησόμενος*, καὶ Οὐαλεντῖνος· *νοῦς, ἀλήθεια, λόγος, ζωή, ἄνθρωπος, Ἐκκλησία* καὶ ὁ *πατὴρ* συναριθμούμενος, κατὰ ταὐτὰ [a] [p. 91—92] τοῖς τὴν ἀριθμητικὴν ἠσκηκόσι φιλοσοφίαν, [ἣν] ὡς ἄγνωστον [τοῖς] [b] πολλοῖς θαυμάσαντες καὶ [c] κατακολουθήσαντες τὰς ὑπ' αὐτῶν ἐπινοηθείσας αἱρέσεις συνεστήσαντο. Τινὲς μὲν οὖν καὶ ἀπὸ ἰατρικῆς συνιστᾶν τὰς ἑβδομάδας πειρῶνται·, ἐκπλαγέντες ἐπὶ τῇ τοῦ ἐγκεφάλου ἀνατομῇ, λέγοντες τὴν τοῦ παντὸς οὐσίαν καὶ δύναμιν | πατρικὴν καὶ [d] θειότητα ἀπὸ τῆς τοῦ ἐγκεφάλου διαθέσεως διδάσκεσθαι. Ὁ γὰρ ἐγκέφαλος κύριον μέρος ὢν τοῦ παντὸς σώματος ἐπίκειται ἀτρεμὴς καὶ ἀκίνητος, ἐντὸς ἑαυτοῦ ἔχων τὸ πνεῦμα. Ἔστι μὲν οὖν ἡ τοιαύτη ἱστορία οὐκ ἀπίθανος, μακρὰν δὲ τῆς τούτων ἐπιχειρήσεως. Ὁ μὲν γὰρ ἐγκέφαλος ἀνατμηθεὶς ἔνδον ἔχει τὸ [e] καλούμενον καμάριον, οὗ ἑκατέρωθεν ὑμένες εἰσὶ λεπτοί, οὓς πτερύγια προσαγορεύουσιν, ἠρέμα ὑπὸ τοῦ πνεύματος κινούμενα καὶ πάλιν ἀπελαύνοντα τὸ πνεῦμα ἐπὶ τὴν παρεγκεφαλίδα [f]· ὃ διατρέχον [g] διά τινος ἀγγείου καλάμῳ ἐοικότος [h] ἐπὶ τὸ κωνάριον χωρεῖ, ᾧ πρόσκειται τὸ στόμιον τῆς παρεγκεφαλίδος ἐκδεχόμενον τὸ διατρέχον πνεῦμα καὶ ἀναδιδὸν ἐπὶ τὸν νωτιαῖον λεγόμενον μυελὸν, ὅθεν πᾶν τὸ σῶμα μεταλαμβάνει τὸ πνευματικὸν πασῶν τῶν ἀρτηριῶν δίκην κλάδου ἐκ τούτου τοῦ ἀγγείου ἠρτημένων, οὗ τὸ πέρας ἐπὶ τὰ γεννητικὰ ἀγγεῖα τερματίζεται· ὅθεν καὶ τὰ σπέρματα ἐξ ἐγκεφάλου διὰ τῆς ὀσφύος χωροῦντα ἐκκρίνεται. Ἔστι δὲ τὸ σχῆμα τῆς παρεγκεφαλίδος ἐοικὸς κεφαλῇ δράκοντος, περὶ οὗ πολὺς ὁ λόγος τοῖς τῆς ψευδωνύμου γνώσεως γίνεται, καθὼς ἐπιδείξομεν [i]. Ἕτεραι δὲ ἐκ τοῦ ἐγκεφάλου φύονται ἓξ συζυγίαι, αἱ περὶ [k] τὴν κεφαλὴν διικνούμεναι συνέχουσι τὰ σώματα ἐν αὐτῇ περατούμεναι· ἡ δὲ ἑβδόμη ἐκ τῆς παρεγκεφαλίδος εἰς [l] τὰ κάτω τοῦ λοιποῦ σώματος, καθὼς εἴπομεν. Καὶ περὶ τούτου δὲ πολὺς ὁ λόγος, ὅθεν καὶ Σίμων καὶ Οὐαλεντῖνος εὑρεθήσονται καὶ ἐντεῦθεν ἀφορμὰς εἰληφότες, καὶ | εἰ μὴ ὁμολογοῖεν, ὄντες πρῶτον ψεῦσται, εἶτα αἱρετικοί. Ἐπεὶ οὖν καὶ ταῦτα δοκεῖ ἱκανῶς ἡμᾶς ἐκτεθεῖσθαι, πάντα δὲ τὰ δοκοῦντα εἶναι τῆς ἐπιγείου φιλοσοφίας δόγματα περιείληπται ἐν τέσσαρσι βιβλίοις, δοκεῖ ἐπὶ τοὺς τούτων χωρεῖν μαθητὰς, μᾶλλον δὲ κλεψιλόγους [m].

VARIÆ LECTIONES.

[a] κατὰ ταὐτὰ Roeperus: κατ' αὐτὰ C, M. [b] ἣν et τοῖς add. M. [c] καὶ om. C, M. [d] πατρικὴν καί. καὶ πατρικὴν C, M. [e] τό. τὸν C. [f] παρακεφαλίδα C. [g] ὁ διατρέχων C. [h] ἐοικότι C. [i] ἐπιδείξωμεν C. [k] αἱ περὶ C. [l] Ante εἰς voc. εἶσιν inserendum esse censet M. [m] Ad calcem hujus libri: φιλοσοφουμένων δ' βιβλίον M.

Digitized by Google

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

ΒΙΒΛΙΟΝ Ε'.

REFUTATIONIS OMNIUM HÆRESIUM

LIBER QUINTUS.

α'. [p. 93. 94] Τάδε ἔνεστιν ἐν τῇ πέμπτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου·

β'. Τίνα οἱ Ναασσηνοὶ [66] λέγουσιν οἱ ἑαυτοὺς γνωστικοὺς ἀποκαλοῦντες, καὶ ὅτι ἐκεῖνα δογματίζουσιν ἃ πρότερον οἱ Ἑλλήνων φιλόσοφοι ἐδογμάτισαν καὶ οἱ [67] τὰ μυστικὰ παραδόντες, ἀφ' ὧν τὰς ἀφορμὰς λαβόντες αἱρέσεις συνεστήσαντο.

γ'. Καὶ τίνα τὰ τοῖς Περάταις δοκοῦντα, καὶ ὅτι μὴ ἀπὸ τῶν ἁγίων Γραφῶν τὸ δόγμα αὐτοῖς συνίσταται, ἀλλὰ ἀπὸ ἀστρολογικῆς.

δ'. Τίς ὁ κατὰ τοὺς Σηθιανοὺς [68] λόγος, καὶ ὅτι ἀπὸ τῶν καθ' [69] Ἕλληνας σοφῶν κλεψιλογήσαντες [70] Μουσαίου [71] καὶ Λίνου καὶ Ὀρφέως τὸ δόγμα ἑαυτῶν συνεκάττυσαν.

ε'. Τίνα τὰ Ἰουστίνῳ δοκοῦντα, καὶ ὅτι μὴ ἀπὸ τῶν ἁγίων Γραφῶν τὸ δόγμα αὐτῷ [72] συνίσταται, ἀλλ' ἐκ τῶν Ἡροδότου [73] τοῦ ἱστοριογράφου τερατολογιῶν.

ς'. Πάνυ νομίζω πεπονημένως τὰ δόξαντα πᾶσι τοῖς καθ' [74] Ἕλληνάς τε καὶ βαρβάρους [φιλοσόφοις] [75] περί τε τοῦ Θείου καὶ τῆς τοῦ κόσμου δημιουργίας ἐκτεθεῖσθαι ἐν ταῖς [76] πρὸ ταύτης τέσσαρσι βίβλοις, ὧν οὐδὲ τὰ περίεργα παραλείψας [77] οὐ τὸν τυχόντα πόνον ἀναδέδεγμαι [78] τοῖς ἐντυγχάνουσι, προτρεπόμενος πολλοὺς πρὸς φιλομάθειαν καὶ ἀσφάλειαν τῆς περὶ τὴν ἀλήθειαν γνώσεως. Περιλείπεται τοίνυν ἐπὶ τὸν τῶν αἱρέσεων ἔλεγχον ὁρμᾷν, οὗ χάριν [79] καὶ τὰ προειρημένα ἡμῖν ἐκτεθείμεθα, ἀφ' ὧν τὰς ἀφορμὰς μετασχόντες [80] οἱ αἱρεσιάρχαι δίκην παλαιορράφων [συγκ]αττύσαντες [81] πρὸς τὸν ἴδιον νοῦν τὰ τῶν παλαιῶν σφάλματα ὡς καινὰ [82] παρέθεσαν τοῖς πλανᾶσθαι δυναμένοις, ὡς ἐν τοῖς ἀκολούθοις δείξομεν. Τὸ λοιπὸν προκαλεῖται ἡμᾶς ὁ χρόνος ἐπὶ τὴν τῶν προκειμένων πραγματείαν χωρεῖν, ἄρξασθαι δὲ ἀπὸ τῶν τετολμηκότων τὸν αἴτιον τῆς πλάνης [p. 94. 95] γενόμενον ὄφιν ὑμνεῖν διά τινων

1. **130-131** Hæc insunt in quinto libro refutationis omnium hæresium:

2. Quæ Naasseni dicant, qui se gnosticos appellant: quos illa profiteri, quæ prius Græcorum philosophi et ii qui mystica tradiderunt professi sint, a quibus profecti hæreses condiderint.

3. Et quænam placita sint Peratarum, quorum dogma non manaverit a sacris Scripturis, sed ab astrologica.

4. Quæ doctrina sit Sethianorum, qui, surrepta Græcorum sapientum doctrina, Musæi, Lini, Orphei, suum dogma consarcinaverint.

5. Quæ sint placita Justini, cujus dogma non profectum sit a sacris Scripturis, sed ex Herodoti miraculosis narrationibus.

6. Satis opinor accurate quæ placuerint omnibus et inter Græcos et inter barbaros philosophis et de divino numine et de fabrica mundi exposita esse in quatuor libris proximis superioribus, quorum ne præstigiis quidem prætermissis non inanem laborem suscepi lecturis, incitans multos ad discendi cupiditatem et ad certam cognitionem veritatis. Relinquitur ergo refutationem hæresium aggredi, propter quam etiam supra a nobis dicta exposuimus, a quibus profecti hæresiarchæ instar veteramentariorum consarcinata ad ipsorum opinionem veterum errata tanquam nova proposuerunt iis qui in errorem induci possunt, ut in iis quæ sequuntur demonstrabimus. Jam provocat nos tempus ad eorum, quæ sunt nostri operis, tractationem accedere, initio ab eis ducto, qui ausi sunt erroris **132-133** auctorem serpentem celebrare per quasdam ipsius instinctu inventas dictiones. Igitur sacerdotes et antistites

VARIÆ LECTIONES.

[66] Νασσηνοὶ C, M. [67] καὶ οἱ καὶ ὅτι C, M. [68] Σηθιανοὺς C, M, quod ubique correximus. [69] κατ' C. [70] κλεψιλογήσαντες C, supra p. 128, 20 dixit auctor κλεψιλόγους. Idem in libro primo p. 6, 86 τούτων γὰρ μάλιστα γεγένηνται κλεψίλογοι οἱ τῶν αἱρέσεων πρωτοστατήσαντες; quæ voces addendæ lexicis, M. [71] Μουσέου C. [72] αὐτῶν C. [73] Ἡρωδότου C. [74] κατ' C. [75] φιλοσόφοις om. C, M. [76] ταῖς, τοῖς C, M. [77] παραλείψας. ἀποκαλύψας C, M. [78] ἀναδέδειγμαι pr. C. [79] οὗ χάριν. τούτου χάριν M, qui in Add. voc. τούτου litteras in C prorsus ablatas dicit. [80] μετασχόντες. μεταλαβόντες susp. M. [81] [συγκ]αττύσαντες M in Add. : . . . . . αταττύσαντες C. [82] κενὰ L.

Digitized by Google

dogmatis exstiterunt primi qui Naasseni vocantur, lingua Hebraica ita appellati — naas autem *serpens* vocatur — ; posthac autem cognominaverunt sese gnosticos, dicentes se solos profunda cognita habere. A quibus digressi multi multifariam fecerunt hæresin, quæ est una, diversis dogmatis eadem tradentes, ut arguet progrediens sermo. Hi universarum rerum principium celebrant hominem et eumdem filium hominis. Est autem hic homo mas idem et femina, vocatur autem Adamas apud eos; hymni autem facti sunt in eum multi et varii. Hymni autem, ut paucis defungamur, dicuntur apud eos in hunc ferme modum : *A te pater et per te mater, duo immortalia nomina, ævorum sator, civis cœli, inclyte homo.* Dividunt autem eum ut Geryonem trifariam. Est enim hujus, ut aiunt, partim rationale, partim animale, partim choicum, et censent cognitionem ejus esse initium cognitionis Dei, cum dicunt sic : *Initium perfectionis est cognitio hominis, Dei autem cognitio est absoluta perfectio.* Hæc autem omnia, inquit, rationalia et animalia et choica cesserunt et devenerunt in unum hominem simul, **134-135** Jesum ex Maria natum. Et loquebantur, inquit, simul una hi tres homines ex sua quisque specie ad suos. Sunt enim secundum eos tria genera universorum, angelicum, animale, choicum, et tres Ecclesiæ, angelica, animalis, choica, nomina autem earum: electa, vocata, captiva.

ἐφηυρημένων κατ' αὐτοῦ ἐνέργειαν λόγων, Οἱ οὖν ἱερεῖς καὶ προστάται τοῦ δόγματος γεγένηνται πρῶτοι οἱ [67] ἐπικληθέντες Ναασσηνοί, τῇ Ἑβραΐδι φωνῇ [68] οὕτως ὠνομασμένοι· — ναὰς δὲ [69] *ὁ ὄφις* καλεῖται. — Μετὰ δὲ ταῦτα ἑπεκάλεσαν ἑαυτοὺς Γνωστικούς [70], φάσκοντες μόνοι τὰ βάθη γινώσκειν. Ἐξ ὧν ἀπομερισθέντες πολλοὶ πολυσχιδῆ τὴν αἵρεσιν ἐποίησαν οὖσαν [71] μίαν, διαφόροις δόγμασι τὰ αὐτὰ διηγούμενοι, ὡς διελέγξει προβαίνων ὁ λόγος. Οὗτοι τῶν ἄλλων ἁπάντων [72] παρὰ τὸν αὐτῶν λόγον τιμῶσιν ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου. Ἔστι δὲ ἄνθρωπος οὗτος ἀρσενόθηλυς, καλεῖται δὲ Ἀδάμας [73] παρ' αὐτοῖς· ὕμνοι δὲ εἰς αὐτὸν γεγόνασι πολλοὶ καὶ ποικίλοι· οἱ δὲ ὕμνοι, ὡς δι' ὀλίγων [74] εἰπεῖν, λέγονται παρ' αὐτοῖς τοιοῦτόν τινα τρόπον [75]· *Ἀπὸ σοῦ πατὴρ* [76] *καὶ διὰ σὲ μήτηρ, τὰ δύο ἀθάνατα ὀνόματα, αἰώνων γονεῖς* [77], *πολῖτα οὐρανοῦ, μεγαλώνυμε ἄνθρωπε.* Διαιροῦσι δὲ αὐτόν, ὡς Γηρυόνην [78], τριχῇ. Ἔστι γὰρ τούτου, φασί, τὸ μὲν νοερόν, τὸ δὲ ψυχικόν, τὸ δὲ χοϊκόν· καὶ νομίζουσιν εἶναι τὴν γνῶσιν αὐτοῦ ἀρχὴν τοῦ δύνασθαι γνῶναι τὸν Θεόν, λέγοντες οὕτως· *Ἀρχὴ* [79] *τελειώσεως γνῶσις* [*ἀνθρώποις, Θεοῦ δὲ*] *γνῶσις ἀπηρτισμένη τελείωσις.* Ταῦτα δὲ πάντα, φησί, τὰ νοερὰ καὶ ψυχικὰ καὶ χοϊκὰ κεχώρηκε [80] καὶ κατ[ελήλυθεν εἰς] [81] ἕνα ἄνθρωπον ὁμοῦ, Ἰησοῦν τὸν ἐκ [p. 95—97] τῆς Μαρίας γεγενημένον· καὶ ἐλάλουν, φησίν, ὁμοῦ κατὰ τὸ αὐτὸ οἱ τρεῖς οὗτοι ἄνθρωποι ἀπὸ τῶν ἰδίων οὐσιῶν τοῖς ἰδίοις ἕκαστος. Ἔστι γὰρ τῶν ὅλων *τρία* γένη κατ' αὐτούς, ἀγγελικόν, ψυχικόν, χοϊκόν· καὶ τρεῖς ἐκκλησίαι, ἀγγελική, ψυχική, χοϊκή· ὀνόματα δὲ αὐταῖς ἐκλεκτή, κλητή [82], αἰχμάλωτος.

7. Hæc sunt multorum admodum commentorum capita, quæ dicit tradidisse Mariamnæ Jacobum Domini fratrem. Ne igitur diffament neque Mariamnam posthac impii illi, neque Jacobum, neque Salvatorem ipsum, veniamus ad mysteria (unde illis

ζ'. Ταῦτά ἐστιν ἀπὸ πολλῶν πάνυ λόγων τὰ κεφάλαια, ἃ φησι παραδεδωκέναι Μαριάμνῃ [83] τὸν Ἰάκωβον τοῦ Κυρίου τὸν ἀδελφόν. Ἵν' οὖν μήτε Μαριάμνης [84] ἔτι καταψεύδωνται οἱ ἀσεβεῖς, μήτε Ἰακώβου, μήτε τοῦ | Σωτῆρος αὐτοῦ, ἔλθωμεν ἐπὶ τὰς

VARIÆ LECTIONES.

[67] πρῶτοι οἱ. πρῶτοι C. [68] Cf. Theodoret. Quæst 49 in II, IV Regg. . . . οἱ δὲ λοιποὶ (sc. interpretantur) τὸν Νεεσθὰν νάας. Ἐντεῦθεν οἶμαι καὶ τοὺς Ὀφίτας, αἵρεσις δὲ αὕτη δυσσεβεστάτη, Ναασσηνοὺς ὀνομάζεσθαι. Ejusd. *Hær. fab.* 1. 13 : Ἐκ τῶν Βαλεντίνου σπερμάτων τὸ τῶν Βαρβηλιωνῶν ἦγουν Βορβοριανῶν ἢ Ναασσινῶν (l. Ναασσηνῶν) ἢ Στρατιωτικῶν ἢ Φημιονιτῶν (Φιδιωνιτῶν?) καλουμένων ἐβλάστησε μύσος. [69] δέ. γὰρ Roeperus. [70] Γνωστικούς. Cf. Iren. *Cont. hær.* 1, 29, 1, p. 107, ed. Mass. : *Super hos autem ex his, qui prædicti sunt Simoniani, multitudo gnosticorum Barbelo exsurrexit et velut a terra fungi manifestati sunt* . . . Epiphan. hær. 25, 2 : Καὶ ἐντεῦθεν ἄρχονται οἱ τῆς ψευδωνύμου γνώσεως κακῶς τῷ κόσμῳ ἐπιφύεσθαι· φημὶ δὲ Γνωστικοὶ καὶ Φιδιωνῖται καὶ οἱ τοῦ Ἐπιφανοῦς καλούμενοι Στρατιωτικοί τε καὶ Λευῖτικοὶ καὶ ἄλλοι πλείους· ἕκαστος γὰρ τούτων τὴν ἑαυτοῦ αἵρεσιν τοῖς πάθεσιν αὐτοῦ ἐπισπώμενος μυρίας ὁδοὺς ἐπενόησε κακίας. Ejusd. hær. 27, 1 : Οἱ Ὀφῖται μὲν γάρ, ὡς προεῖπον, τὰς προφάσεις εἰλήφασιν ἀπὸ τῆς τοῦ Νικολάου καὶ γνωστικῶν καὶ τῶν πρὸ τούτων αἱρέσεων. [71] οὖσαν add. M. [72] Infra l. x, c. 9, p. 314, 99—2 ed. Oxon. sententia verbis : Ναασσηνοὶ ἄνθρωπον καλοῦσι τὴν πρώτην τῶν ὅλων ἀρχήν, τὸν αὐτὸν καὶ υἱὸν ἀνθρώπου aperte perscripta est, hunc autem locum manus male sedula glossematis inquinavit, veluti τῶν ἄλλων ἁπάντων videtur ortum esse, postquam τῶν ὅλων in τῶν ἄλλων abiit. Aberravit Bernaysius (ep. crit. ad Bunsenium), cum conjicit : Οὗτοι τῶν ἄλλων ἁπάντων Πατέρα τῷ αὐτῷ λόγῳ τιμῶσι, κ. τ. λ. [73] Ἀδάμας. Cf. Iren. *Cont. hær.* 1, 29, 3, p. 108. *Confirmatis igitur sic omnibus, super hæc emittit Autogenes hominem perfectum et verum, quem et Adamantem vocant, quoniam neque ipse domatus est, neque ii ex quibus erat....* Theodoret. *Hær. fab.* 1, 13. Pistis Sophia, Latine ed. Berol. 1851, p. 27 : *Magnus Adamus* (l. Adamas), *τύραννος* p. 88, 89 et passim. [74] ὀλίγον C. [75] Cfr Iren. *Cont. hær.* l.l.. *et refrigerant in hoc omnia hymnizare magnum Æona. Hinc autem dicunt manifestatam Matrem, Patrem, Filium...* [76] πατὴρ. πάτερ C : cf. infra l. VIII, c. 12, p. 269, 40, ed. Oxon. Αὕτη μήτηρ, αὕτη πατήρ, τὰ δύο ἀθάνατα ὀνόματα. [77] γονεῦ? [78] Γηρυόνην. Cf. infra c. 8, p. 107, 63, 64. ed. Oxon. [79] Lacunam explevit M ex c. 8, p. 115, 83—85. ed. Oxon. Ἀρχὴ γάρ, φησίν, τελειώσεως γνῶσις ἀνθρώπου· Θεοῦ δὲ γνῶσις ἀπηρτισμένη τελείωσις. [80] κεχώρηκε Bernaysius e l. x, c. 9, p. 314, 7 ed. Oxon. : καὶ ἐχώρησε C, κατεχώρησε M. [81] κατελήλυθεν εἰς. κατ. . . . . C, κατῆλθεν εἰς M. [82] κλητὴ Bernaysius e l. x, c. 9. l. l. : κλητικὴ C, M. [83] Μαριάμμη C, Μαριάμμῃ M ; cf. infra l. x, c. 9, ubi τῇ Μαριάμνῃ legitur, et Orig. c. Cels. 5, 62, p. 626 ed. Delarue. [84] Μαριάμμης C, M.

Digitized by Google

τελετὰς (ὅθεν αὐτοῖς οὗτος ὁ μῦθος), εἰ δοκεῖ, ἐπὶ τὰς βαρβαρικάς τε καὶ Ἑλληνικὰς, καὶ ἴδωμεν ὡς τὰ κρυπτὰ καὶ ἀπόῤῥητα πάντων ὁμοῦ συνάγοντες οὗτοι μυστήρια τῶν ἐθνῶν καταψευδόμενοι τοῦ Χριστοῦ ἐξαπατῶσι τοὺς ταῦτα οὐκ εἰδότας τὰ τῶν ἐθνῶν ὄργια. Ἐπεὶ γὰρ ὑπόθεσις αὐτοῖς ὁ ἄνθρωπός ἐστιν Ἀδάμας, καὶ λέγουσι γεγράφθαι περὶ αὐτοῦ [85], *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* μάθετε πῶς κατὰ μέρος παρὰ τῶν ἐθνῶν τὴν ἀνεξεύρητον [86] καὶ ἀδιάφορον τοῦ ἀνθρώπου γενεὰν λαβόντες ἐπιπλάσσουσι τῷ Χριστῷ. *Γῆ δὲ* [87], φασὶν οἱ Ἕλληνες, *ἄνθρωπον ἀνέδωκε πρώτη καλὸν ἐνεγκαμένη γέρας*, μὴ φυτῶν ἀναισθήτων μηδὲ θηρίων ἀλόγων, ἀλλὰ ἡμέρου | ζώου καὶ θεοφιλοῦς ἐθέλουσα μήτηρ γενέσθαι. *Χαλεπὸν δὲ*, φησὶν, *ἐξευρεῖν, εἴτε Βοιωτοῖς Ἀλαλκομενεὺς* [88] *ὑπὲρ λίμνης Κηφισίδος ἀνέσχε πρῶτος ἀνθρώπων, εἴτε Κουρῆτες ἦσαν Ἰδαῖοι* [89], *θεῖον γένος*, [p. 97. 98] *ἢ Φρύγιοι Κορύβαντες, οὓς πρώτους* [90] *ἥλιος ἐπίδε* [91] *δενδροφυεῖς ἀναβλαστάντας, εἴτε προσεληναῖον* [92] *Ἀρκαδία Πελασγὸν, ἢ Ῥαρίας* [93] *οἰκήτορα Δαυλοῦ Ἐλευσῖν, ἢ Λῆμνος* [94] *καλλίπαιδα Κάβειρον ἀῤῥήτων ἐτέκνωσεν ὀργιασμῶν* [95], *εἴτε Φελλήνη Φλεγραῖον Ἀλκυονέα, πρεσβύτατον Γιγάντων. Λίβυες* [96] *δὲ Ἰάρβαντά φασι, πρωτόγονον αὐχμηρῶν ἀναδύντα πεδίων* [97] *γλυκείας ἀπάρξασθαι Διὸς βαλάνου. Αἰγυπτίων δὲ Νεῖλος ἰλὺν* [98] *ἐπιλιπαίνων μέχρι σήμερον ζωογονῶν*, φησὶν, *ὑγρᾷ σαρκούμενα* [99] *θερμότητι ζῶα σώματα* [1] *ἀναδίδωσιν.* Ἀσσύριοι δὲ Ὤαννην [2] ἰχθυοφάγον γενέσθαι παρ' αὐτοῖς, Χαλδαῖοι δὲ τὸν Ἀδάμ. Καὶ τοῦτον εἶναι φάσκουσι τὸν ἄνθρωπον, ὃν ἀνέδωκεν ἡ γῆ μόνον,

hic mythus), si placet, et barbarica et Græca, et videamus, ut abscondita et arcana omnium simul congerentes mysteria ethnicorum, diffamantes Christum, decipiant illos, qui hæc ignorant orgia ethnicorum. Cum enim argumentum illis sit homo Adamas et dicant scriptum esse de eo : *Generationem illius quis enarrabit?* discite, quomodo singulatim ab ethnicis inexploratam et æquivocam hominis generationem mutuati affingant Christo. *Terra autem*, aiunt Græci, *hominem edidit prima pulchrum ferens decus*, non stirpium sensu carentium, neque animalium ratione vacuorum, sed cicuris animantis et Dei amantis volens mater fieri. *Arduum autem*, ait, *reperire, utrum Bœotis Alalcomeneus super lacum Cephisidem surrexerit primus hominum, an Curetes fuerint Idæi, divinum genus*, **136-137** *Phrygiive Corybantes, quos primos sol aspexerit arborum instar succrescentes, an proselenæum Arcadia Pelasgum, an Rariæ incolam Diaulum Eleusin, an Lemnus Cabirum procreaverit parentem pulchrorum arcanorum orgiorum, an Pallene Phlegræum Alcyoneum, antiquissimum gigantum. Libyes autem Jarbantem ferunt primigenium ex limosis exsurgentem campis vesci cœpisse a dulci Jovis quercu. Ægyptiorum autem Nilus limum infetans ad hunc diem*, inquit, *animantes gignens, humido carnata vapore viva corpora edit.* Assyrii autem Oannen piscivorum ortum esse apud se, Chaldæi autem Adamum. Et hunc dicunt fuisse hominem, quem terra ediderit solum; jacere autem eum inanimum, immotum, inconcussum ut statuam, imaginem illius, qui supra est, celebrati Adamantis hominis factum a potestatibus

VARIÆ LECTIONES.

[85] Isa. LIII, 8. [86] ἀνεξεύρετον susp. M ; ἀνεξερεύνητον? [87] Hoc carmen, quod Pindari esse suspicantur hymni in Jovem Ammonem, primus vulgavit Schneidewinus Philol. I, 421 sqq., post quem G. Hermannus et scripturam emendare et numeros restituere conatus est ibid. p. 584. Deinde Th. Bergkius hoc carmen, quod in Teubnerianam editionem Pindari p. 240 recepit Schneidewinus, tractavit in Annal. Antiq. Marburgenss. a. 1847, 1 sqq., iterum in Annal. Lyric. part. II, p. 14, postremo in altera editione Poett. Lyric. p. 1058 sq. Qui cum Schneidewini Hermannique conamina attulerit, nos Bergkii ipsius apposuimus redintegrationem, quæ hæc est :

Στρ. Ἄνθρωπον (ὡς) ἄνδωκε γαῖα πρώτα ἐνεγκαμένα καλὸν γέρας,
. . . . . τὸ δ' ἐξευρεῖν χαλεπόν,
Εἴτε Βοιωτοῖσιν Ἀλαλκομενεὺς λίμνας ὑπὲρ Καφισίδος
Πρῶτος ἀνθρώπων ἀνέσχεν,
Εἴτε Κουρῆτες ἔσαν γένος Ἰδαῖοι θεῶν,
Ἢ Φρύγιοι Κορύβαντες,
Οὓς Ἅλιος πρώτους ἐπεῖδεν δενδροφυεῖς ἀναβλαστόντας,
Εἴτ' Ἀρκαδία προσελαναῖον Πελασγὸν,
Ἢ Ῥαρίας Δαυλὸν οἰκιστῆρ' Ἐλευσῖς,
Ἀντιστρ. Ἢ καλλίπαιδα Λᾶμνος ἀῤῥήτων ἐτέκνωσε Κάβειρον ὀργίων,
Εἴτε Πελλάνα Φλεγραῖον Ἀλκυονῆα Γιγάντων πρεσβύτατον
. . . . . .
Ἐπῳδ. . . . . Φαντὶ δὲ πρωτόγονον Γαράμαντα
Λίβυες αὐχμηρῶν πεδίων ἀναδύντα γλυκείας Διὸς ἀπάρξασθαι βαλάνου.
Νεῖλος δὲ. . . . . .
Σαρκούμεν' ὑγρᾷ θερμότατι ζωὰ σώματ' ἀναδιδοῖ.

Cæterum argumentum poetæ docte illustrat Prellerus in commentatione : *Die vorstellungen der alten, besonders der Griechen, von dem ursprunge und den ältesten schicksalen des menschlichen geschlechts.* Philol. VIII, 1 sqq. [88] Ἀλκομενεὺς C. [89] ἦσαν Ἰδαῖοι, ἢ σανίδαι οἱ C. [90] πρῶτος C. [91] ἐφίδε pr. C. [92] πρὸς σεληναῖον Ἀρκάδα διὰ Πελασγὸν C. [93] ἢ Ῥαρίας G. Hermannus : ἠραρυίας C. [94] δίαυλον Ἑλ. ἢ Λῆμνος C. [95] ὀργιασμῷ C, ὀργίων Hermannus. [96] Λίβες δὲ Τάρβαντα C. [97] πεδίω C. [98] ἰλύν. ὕλην C. [99] ὑργᾶς ἀρκούμενα C. [1] ζωὰ σώματα. ζῶα καὶ σῶμα C. [2] Ἰαννῆν C, M ; cf. Berosi Chaldæorum Historiæ quæ supersunt ed. Richter. p. 48, 49.

Digitized by Google

multis, de quibus singulis longa exstat fabula. Ut igitur penitus in potestatem redigatur magnus homo qui supra est, *a quo*, sicuti dicunt, *omnis paternitas nominata in terra et in cœlis* constituta est, data est ei etiam anima, ut per animam patiatur et puniatur in servitutem redactum plasma magni et pulcherrimi et perfecti hominis; etenim ita eum appellant. Quærunt igitur rursus quæ sit anima et unde et cujus origine, ut, ubi venerit in hominem et moverit, in servitutem redigat et puniat plasma perfecti hominis. Quærunt autem non a Scripturis, sed etiam hoc a mysticis. Esse autem dicunt animam difficilem inventu admodum et comprehensu arduam. Non enim manet in eodem habitu eademque figura usque neque affectione una, ut quis eam aut signo monstret aut re et facto assequatur. Mutationes autem has varias in Evangelio secundum Ægyptios scripto comprehensas habent. Ambigunt igitur sicuti reliqui omnes homines ethnicorum, utrum tandem ex Proonte sit, an ex Autogene, aut ex **138-139** effuso Chao. Et primum ad Assyriorum confugiunt mysteria, tripartitam divisionem hominis considerantes. Primi enim Assyrii animam tripartitam censent et unam. Animæ enim omnis natura, alia autem aliter cupiens est. Est enim anima omnium quæ fiunt causa; omnia quæcunque nutriuntur, inquit, atque augescunt, anima opus habent. Nihil enim neque nutrimentum, inquit, neque augmentum accipere potest, si absit anima. Etenim et lapides, inquit, sunt animati, habent enim vim augescendi, auctus autem non unquam evenerit sine nutrimento. Per accessionem enim augescunt quæ augescunt, accessio autem nutrimentum est eorum quæ nutriuntur. Omnis igitur natura cœlestium, inquit, et terrenorum et inferorum cupiens est animæ. Vocant autem Assyrii tale Adonin aut Endymionem aut Attin, et sicubi Adonis vocatur, Venus, inquit, amat et concupiscit animam talis nominis. Venus autem generatio est secundum eos. Sicubi autem Proserpina sive Cora amat Adonin, moritura quædam, inquit, a Venere sejuncta (i. e. a generatione) est anima. Sin vero Luna in Endymionis cupidinem incidit et amorem formæ, sublimiorum, inquit, natura et ipsa concupiscit animam. Sin vero, inquit, mater deorum exsecat Attin, et ipsa hunc habens amasium, supermundanorum et æternorum supra beata natura masculam potestatem animæ revocat ad se. Est enim, inquit, mas-femina homo. Ex hac igitur illis ratione valde turpe et prohibitum ex doctrina mulieris cum viro

A κεῖσθαι δὲ αὐτὸν ἄπνουν, ἀκίνητον, ἀσάλευτον, ὡς ἀνδριάντα [3], εἰκόνα ὑπάρχοντα ἐκείνου τοῦ ἄνω, τοῦ ὑμνουμένου Ἀδάμαντος ἀνθρώπου, γενόμενον ὑπὸ δυνάμεων τῶν πολλῶν, περὶ ὧν ὁ κατὰ μέρος λόγος ἐστὶ πολύς. Ἵν' οὖν τελέως ᾖ κεκρατημένος ὁ μέγας ἄνθρωπος ἄνωθεν [4], ἀφ' οὗ, καθὼς λέγουσι, *πᾶσα πατριὰ* [5] *ὀνομαζομένη ἐπὶ γῆς καὶ ἐν τοῖς οὐρανοῖς* συνέστηκεν, ἐδόθη αὐτῷ καὶ ψυχή, ἵνα διὰ τῆς ψυχῆς πάσχῃ καὶ κολάζηται καταδουλούμενον τὸ πλάσμα τοῦ μεγάλου καὶ καλλίστου καὶ τελείου ἀνθρώπου· καὶ γὰρ οὕτως αὐτὸν καλοῦσι. Ζητοῦσιν οὖν αὖ [6] πάλιν τίς ἐστιν ἡ ψυχὴ καὶ πόθεν καὶ ποταπὴ τὴν φύσιν, ἵν' ἐλθοῦσα εἰς τὸν ἄνθρωπον καὶ κινήσασα [7] καταδουλώσῃ καὶ κολάσῃ τὸ πλάσμα τοῦ τελείου ἀνθρώπου· ζητοῦσι δὲ οὐκ ἀπὸ τῶν

B Γραφῶν, ἀλλὰ καὶ τοῦτο ἀπὸ τῶν μυστικῶν. Εἶναι δέ φασι τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε οὐδὲ πάθους ἑνός, ἵνα τις αὐτὴν ᾖ τύπῳ εἴπῃ ἢ οὐσίᾳ καταλήψεται. Τὰς δὲ ἐξαλλαγὰς ταύτας τὰς ποικίλας ἐν τῷ ἐπιγραφομένῳ κατ' Αἰγυπτίους Εὐαγγελίῳ κειμένας ἔχουσιν. Ἀποροῦσιν οὖν, καθάπερ οἱ ἄλλοι πάντες τῶν ἐθνῶν ἄνθρωποι, πότερόν ποτε ἐκ τοῦ προόντος ἐστὶν, [ἢ] [8] ἐκ τοῦ αὐτογενοῦς [9], ἢ ἐκ τοῦ ἐκκεχυμένου χάους. Καὶ πρῶτον ἐπὶ τὰς Ἀσσυρίων καταφεύγουσι τελετὰς τὴν τριχῆ διαίρεσιν τοῦ [p. 98. 99] ἀνθρώπου κατανοοῦντες· πρῶτοι γὰρ Ἀσσύριοι τὴν ψυχὴν τριμερῆ νομίζουσιν εἶναι καὶ μίαν. Ψυχῆς [10] γάρ, φασι, πᾶσα [11] φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται· ἔστι γὰρ

C ψυχὴ πάντων τῶν γινομένων αἰτία· πάντα ὅσα τρέφεται, φησὶ, καὶ αὔξει, ψυχῆς δεῖται. Οὐδὲν γὰρ οὔτε τροφῆς, φησὶν, οὔτε αὐξήσεως οἷόν τ' ἐστὶν [12] ἐπιτυχεῖν ψυχῆς μὴ παρούσης. Καὶ γὰρ οἱ λίθοι, φησὶν, εἰσὶν ἔμψυχοι· ἔχουσι γὰρ τὸ αὐξητικόν· αὔξησις δὲ οὐκ ἄν ποτε γένοιτο χωρὶς τροφῆς· κατὰ προσθήκην γὰρ αὔξει τὰ αὐξανόμενα· ἡ δὲ προσθήκη τροφὴ τοῦ τρεφομένου. Πᾶσα οὖν φύσις ἐπουρανίων, φησὶ, καὶ ἐπιγείων καὶ καταχθονίων ψυχῆς ὀρέγεται. Καλοῦσι δὲ Ἀσσύριοι τὸ τοιοῦτον Ἄδωνιν ἢ Ἐνδυμίωνα [13]· καὶ ὅταν μὲν Ἄδωνις καλῆται, Ἀφροδίτη [14], φησὶν, ἐρᾷ καὶ ἐπιθυμεῖ τῆς ψυχῆς τοῦ τοιούτου ὀνόματος. Ἀφροδίτη δὲ ἡ γένεσίς ἐστι κατ' αὐτούς. Ὅταν δὲ ἡ Περσεφόνη καὶ [15] ἡ Κόρη | ἐρᾷ

D τοῦ Ἀδώνιδος, θνητὴ, φησὶ, τις τῆς Ἀφροδίτης κεχωρισμένη [τῶν γενέσεώς] [16] ἐστιν ἡ ψυχή. Ἐὰν δὲ ἡ Σελήνη Ἐνδυμίωνος εἰς ἐπιθυμίαν ἔλθῃ καὶ ἔρωτα μορφῆς, ἢ τῶν ὑψηλοτέρων, φησὶ, φύσις [17] προσδεῖται καὶ ψυχῆς [18]. Ἐὰν δὲ, φησὶν, ἡ μήτηρ τῶν θεῶν ἀποκόψῃ τὸν Ἄττιν [19] καὶ αὐτὴ τοῦτον ἔχουσα

VARIÆ LECTIONES.

[3] ἀνδριάντος C. [4] ὁ ἄνωθεν? [5] Cf. Ephes. III, 15: Ἐξ οὗ. πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται. [6] αὖ. αὐτὸν C, M, qui susp. αὐτοί. [7] νικήσασα Roeperus; sed cf. supra l. 11 ἀκίνητον. [8] ἢ om. C. [9] αὐτογενοῦς Bunsenius, *Hippolytus and his age* 1854 t. I, p. 346: αὐτοῦ γένους C, M. [10] Ψυχὴ C, M. Tu cf. l. 42—44 et p. 117, 54—56 ed. Oxon.: Οὗτος, φησὶν, ἐστὶν ὁ πυλυώνυμος μυριόμματος ἀκατάληπτος, οὗ πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται. [11] φασὶ. πᾶσι C. [12] οἷόν ἐστιν C. [13] Ἐνδημίωνα C. Post Ἐνδυμίωνα excidisse videtur ἢ Ἄττιν, cf. infra lin. 50 sqq. καλεῖται C. [14] Ἀφροδίτης C. [15] καί. ἢ? [16] Fort. leg. κεχωρισμένη [ἦγουν γενέσεως] ἐστὶν — Vocabula duo de glossa marginali videntur illata, ad vocem Ἀφροδίτης pertinentia M. [17] φύσις. κτίσις C, M. [18] καὶ αὐτὴ ψυχῆς susp. M. [19] Ἄπιν C.

Digitized by Google

ἐρώμενον, ἡ τῶν ὑπερκοσμίων, φησὶ, καὶ αἰωνίων ἄνω μακαρία φύσις τὴν ἀῤῥενικὴν δύναμιν τῆς ψυχῆς ἀνακαλεῖται πρὸς αὐτήν. Ἔστι γὰρ, φησὶν, ἀρσενόθηλυς [20] ὁ ἄνθρωπος. Κατὰ τοῦτον οὖν [21] αὐτοῖς τὸν λόγον πάνυ πονηρὸν καὶ κεκωλυμένον [22] κατὰ τὴν διδασκαλίαν ἡ γυναικὸς πρὸς ἄνδρα δεδειγμένη καθέστηκεν ὁμιλία. Ἀπεκόπη γὰρ, φησὶν, ὁ Ἄττις, τουτέστιν ἀπὸ τῶν χοϊκῶν τῆς κτίσεως κάτωθεν μερῶν, καὶ ἐπὶ τὴν αἰωνίαν ἄνω μετελήλυθεν οὐσίαν, ὅπου, φησὶν, οὐκ ἔστιν οὔτε [23] θῆλυ οὔτε ἄρσεν, ἀλλὰ καινὴ κτίσις, καινὸς ἄνθρωπος, ὃς [24] ἐστιν ἀρσενόθηλυς [25]. Ποῦ δὲ ἄνω λέγουσι, κατὰ τὸν οἰκεῖον ἐλθὼν δείξω τόπον. Μαρτυρεῖν δέ φασιν αὐτῶν τῷ λόγῳ οὐχ ἁπλῶς μόνην τὴν Ῥέαν, ἀλλὰ γὰρ, ὡς ἔπος εἰπεῖν, ὅλην τὴν κτίσιν· καὶ τοῦτο εἶναι τὸ λεγόμενον ὑπὸ τοῦ λόγου διασαφοῦσι. *Τὰ* [p. 99—101] *γὰρ* [26] *ἀόρατα αὐτοῦ ἀπὸ τῆς κτίσεως | τοῦ κόσμου τοῖς ποιήμασιν αὐτοῦ νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, πρὸς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Διότι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώμασιν εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν, καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵ |τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν.* Τί δέ ἐστιν ἡ φυσικὴ κατ' αὐτοὺς χρῆσις, ὕστερον ἐροῦμεν. *Ὁμοίως δὲ* [27] *καὶ οἱ ἄῤῥενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄῤῥενες ἐν ἄῤῥεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι* (ἀσχημοσύνη δέ ἐστιν ἡ πρώτη καὶ μακαρία κατ' αὐτοὺς ἀσχημάτιστος οὐσία, ἡ πάντων σχημάτων τοῖς σχηματιζομένοις αἰτία) *καὶ τὴν* [27] *ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.* Ἐν γὰρ τούτοις τοῖς λόγοις, οἷς εἴρηκεν ὁ Παῦλος, ὅλον φασὶ συνέχεσθαι [28] τὸ κρύφιον αὐτῶν καὶ ἄῤῥητον τῆς μακαρίας μυστήριον ἡδονῆς. Ἡ γὰρ ἐπαγγελία τοῦ λυτροῦ οὐκ ἄλλη τίς ἐστι κατ' αὐτοὺς, ἢ τὸ εἰσαγαγεῖν εἰς τὴν ἀμάραντον ἡδονὴν τὸν λουόμενον κατ' αὐτοὺς ζῶντι ὕδατι καὶ χριόμενον ἀλάλῳ [29] χρίσματι. Οὐ μόνον δ' [26] αὐτῶν ἐπιμαρτυρεῖν [31] φασι τῷ λόγῳ τὰ Ἀσσυρίων μυστήρια demonstrata est consuetudo. Exsectus est enim, inquit, Attis, hoc est a choicis mundi infra partibus et ad æternam supra pervenit naturam, ubi, inquit, neque muliebre exstat, neque virile, sed nova creatura, novus homo, qui est mas-femina. Ubi autem *supra* dicant, suo loco ostendam. Attestari autem aiunt ipsorum narrationem non unam modo Rheam, sed pene universam creaturam, et hoc esse quod dicatur a Logo declarant : *Invisibilia enim ipsius* **140-141** *a creatura mundi ipsius factis intellecta conspiciuntur, sempiterna quoque ejus virtus et divinitas, ut sint inexcusabiles, quia cum cognovissent Deum, non sicut Deum glorificaverunt aut gratias egerunt, sed evanuit insipiens cor eorum. Dicentes enim se esse sapientes, stulti facti sunt et mutaverunt gloriam incorruptibilis Dei in similitudines imaginis corruptibilis hominis et volucrum et quadrupedum et serpentium. Propter quod etiam tradidit illos Deus in passiones ignominiæ. Nam feminæ eorum immutaverunt naturalem usum in eum usum qui est contra naturam.* Quid autem sit naturalis secundum eos usus, postea dicemus. *Similiter autem et masculi relicto naturali usu feminæ exarserunt in desideriis suis in vicem, masculi in masculos* ἀσχημοσύνην *operantes* (ἀσχημοσύνη autem est prima et beata secundum eos ἀσχημάτιστος natura, quæ est omnium schematum schematizatis causa), *et mercedem quam oportuit erroris sui in semetipsis recipientes.* In his enim verbis, quæ fecit Paulus, universum dicunt inesse secretem suum et arcanum beatæ mysterium voluptatis. Promissio enim lavacri non alia quædam est secundum illos, quam introducere in perennem voluptatem eum, qui lavatur secundum eos viva aqua et ungitur ineffabili unguento. Non solum autem fidem facere dicunt suæ narrationi Assyriorum mysteria, sed etiam Phrygum circa eorum, quæ fuerunt, quæque sunt, quæque futura sunt posthac, beatam opertam simul et apertam naturam, quam quidem ait intus in homine quæsitum regnum cœlorum, de quo perspicue in Evangelio, quod secundum Thomam inscriptum est, tradunt, dicentes ita : *Me qui quærit inveniet in infantibus a septem annis, ibi enim in* **142-143** *quartodecimo ævo occultus in lucem edar.* Hoc autem non est Christi, sed Hippocratis dicentis :

VARIÆ LECTIONES.

[20] ἀρενόθηλυς pr. C, ἀῤῥενόθηλυς corr. C, M. [21] οὖν add corr. C. [22] μεμολυσμένον C. F. Hermannus. [23] οὐδὲ . . . οὐδὲ C, M. [24] ὃ C, M. [25] Cf. Galat. III, 28; VI, 15 M et Clem. Rom. ep. II, 12 Ὅταν ἔσται τὰ δύο ἓν καὶ τὸ ἔξω ὡς τὸ ἔσω καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, οὔτε ἄρσεν οὔτε θῆλυ Bunsenius l. l. [26] Cf. Rom. I, 20—26 : τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. [27] Cf. Rom. I, 27. [28] συνέχεσθε corr. C [29] ἀλάλῳ M coll. p. 122, 69 ed. Oxon. καὶ χριόμενοι ἐκεῖ ἀλάλῳ χρίσματι, ἄλλῳ C. [30] δ' add M. [31] ἐπιμαρτύρει pr. C.

Digitized by Google

mis, et exsurge, et illuminabit tibi Christus. Hic est Christus, in omnibus generatis Filius hominis effigiatus ab ineffigiato Logo. Hoc, inquit, est magnum et arcanum Eleusiniorum mysterium *Hye Cye*. Et ei omnia esse subjecta, et hoc est dictum illud : *In omnem terram exiit sonus eorum*, ut illud : *Virgam movens ducit Mercurius, illæ autem stridentes sequuntur* animæ continuo ita, ut per imaginem poeta ostendit dicens :

A τας μνηστῆρας. Περὶ τούτων, φησὶν, ἡ Γραφὴ λέγει [83] · Ἔγειραι, ὁ καθεύδων, καὶ ἐξεγέρθητι, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Οὗτός ἐστιν ὁ Χριστὸς, ὁ ἐν πᾶσι, φησὶ, τοῖς γενητοῖς Υἱὸς ἀνθρώπου κεχαρακτηρισμένος ἀπὸ τοῦ ἀχαρακτηρίστου Λόγου [84]. Τοῦτο, φησὶν, ἐστὶ τὸ μέγα καὶ ἄρρητον Ἐλευσινίων μυστήριον Ὑε Κύε [85] · καὶ ὅτι, φησὶν, αὐτῷ πάντα ὑποτέτακται, καὶ τοῦτ' ἔστι τὸ εἰρημένον· *Εἰς πᾶσαν* [86] *τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν* · ὡς τὸ *τὴν ῥάβδον ἄγει* [87] *κινήσας ὁ Ἑρμῆς, αἱ δὲ τρίζουσαι ἕπονται* αἱ ψυχαὶ συνεχῶς οὕτως, ὡς διὰ τῆς εἰκόνος ὁ ποιητὴς ἐπιδείξειε λέγων · |

Ut autem cum vespertiliones in angulo specus divinæ,

Stridentes volant ubi quis decidit
Ex serie de rupe, et invicem continentur.

Ὡς δ' ὅτε [88] *νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο*
Τρίζουσαι [89] *ποτέονται, ἐπεί κέ* [90] *τις ἀποπέσῃσιν*
Ὁρμαθοῦ ἐκ πέτρης, ἁτὰρ τ' ἀλλήλῃσιν [91] ἔχονται.

De rupe, inquit, de Adamante dicit. Hic, inquit, est Adamas, *lapis summus, angularis factus, in caput anguli* (insertus in caput genitalis), — in capite enim esse formativum cerebrum essentiam, ex quo omnis paternitas formatur — *quem insero*, inquit, *adamantem in fundamenta Sion* ; per figuram, inquit, figmentum hominis dicit. Insertus autem adamas cohibetur dentibus, **148-149** ut Homerus dicit : *Sepes dentium*, hoc est murus et munimentum, in quo est interior homo, qui illuc decidit a primore homine supra Adamante, *sectus sine manibus secantibus* et delatus in figmentum oblivionis, choicum, figlinum. Et dicit stridentes animas ipsum sequi, hoc est Logum :

B Πέτρης, φησὶ, τοῦ Ἀδάμαντος λέγει. Οὗτος, φησὶν, ἐστὶν ὁ Ἀδάμας [92] *ὁ λίθος ὁ ἀκρογωνιαῖος εἰς κεφαλὴν γεγενημένος γωνίας* (ἐν κεφαλῇ γὰρ εἶναι τὸν χαρακτηριστικὸν ἐγκέφαλον τὴν οὐσίαν, ἐξ οὗ πᾶσα πατριὰ χαρακτηρίζεται), ὅτ, φησὶν, *ἐντάσσω ἀδάμαντα εἰς τὰ θεμέλια Σιών* · ἀλληγορῶν, φησὶ [93], τὸ πλάσμα τοῦ ἀνθρώπου λέγει. Ὁ δὲ ἐντασσόμενος [p. 105. 106] ἀδάμας ἐστὶν [94] .... ὀδόντες, ὡς Ὅμηρος λέγει [95] *ἕρκος ὀδόντων*, τουτέστι τεῖχος καὶ χαράκωμα, ἐν ᾧ ἐστιν ὁ ἔσω ἄνθρωπος, ἐκεῖσε [96] ἀποπεπτωκὼς ἀπὸ τοῦ ἀρχανθρώπου ἄνωθεν Ἀδάμαντος, ὁ τμηθεὶς [97] *ἄνευ χειρῶν τεμνουσῶν* καὶ κατενηνεγμένος εἰς τὸ πλάσμα τῆς λήθης, τὸ χοϊκὸν, τὸ ὀστράκινον· καὶ φησιν ὅτι τετριγυῖαι αὐτῷ ἠκολούθουν αἱ ψυχαὶ, τῷ λόγῳ·

C

Sic illæ stridentes simul ibant, ducebat autem illas

Ὡς αὗται [98] *τετριγυῖαι ἅμ' ἦσαν, ἦρχε δ' ἄρα* [σφιν,
(τουτέστιν ἡγεῖτο,)
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα,

Mercurius mitis (ἀκάκητα) *per obscuros tramites.* hoc est, inquit, in loca æterna ab omni malitia (κακίας) libera. Quo enim, inquit, venerunt ?

τουτέστι, φησὶν, εἰς τὰ πάσης κακίας ἀπηλλαγμένα αἰώνια χωρία. Ποῦ γὰρ, φησὶν, ἦλθον;

Prætermeabant autem præter oceani fluctus et [*Leucadem petram*]
Et præter solis portas et gentem somniorum.

Παὰρ δ' ἴσαν [99] *ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέ*[τρην,
Ἠδὲ παρ' [1] *ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων.*

Hic inquit, est oceanus *generatio deorum generationeque hominum*, ex reciproca fluctuatione circumactus semper, mox sursum, mox deorsum. Sed ubi, inquit, deorsum fluit oceanus, generatio est hominum ; ubi autem sursum in murum et munimentum et Leucadem petram, generatio est deorum. Hoc, inquit, est scriptum illud : *Ego dixi : Dii estis et filii Altissimi omnes, ubi ex Ægypto fugere festinabitis et perveneritis trans mare Rubrum in desertum*, hoc est ab inferiore mistione in eam quæ

D Οὗτος, φησὶν, ἐστὶν ὠκεανὸς *γένεσίς* τε [2] *θεῶν, γένεσίς* τ' | *ἀνθρώπων*, ἐκ παλιρροίας στρεφόμενος αἰεὶ, ποτὲ ἄνω, ποτὲ κάτω. Ἀλλ' ὅταν, φησὶ, κάτω ῥέῃ ὁ ὠκεανὸς, γένεσίς ἐστιν ἀνθρώπων· ὅταν δὲ ἄνω ἐπὶ τὸ τεῖχος καὶ τὸ χαράκωμα καὶ τὴν Λευκάδα πέτρην, γένεσίς ἐστι [3] θεῶν. Τοῦτό ἐστι, φησὶ, τὸ γεγραμμένον· *Ἐγὼ* [4] *εἶπα· Θεοὶ ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες, ἐὰν ἀπὸ τῆς Αἰγύπτου φυγεῖν σπεύδητε καὶ γένησθε πέραν τῆς Ἐρυθρᾶς θαλάσσης εἰς τὴν ἔρημον*, τουτέστιν ἀπὸ τῆς κάτω

VARIÆ LECTIONES.

[83] Ephes. v, 14 : Ἔγειρε (Ἔγειραι ς) ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. [84] λόγος C. [85] ὃε κε. Cf. Plut. de Isid. et Os. c. 34 p. 364. [86] Rom. x, 18. [87] ἄγει om. C, M. Cf. Hom. Od. xxiv, 5 : Τῇ ῥ' ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο. [88] Hom. Od. 24, 6 sqq. [89] τρίζουσι C. [90] ἐπεὶ καί τις C. [91] ἀλλήλοισιν C. [92] Cf. Isa. xxviii, 16; psal. cxviii, 22. [93] Cf. Isa. xxviii, 16. [94] Inter ἐστὶν et ὀδόντες quædam excidisse videntur. [95] Hom. Il. iv, 350 et alibi. [96] ἐκεῖθεν C, M. [97] Cf. Daniel. ii, 45. [98] ὣς αἱ et ἦϊσαν Homer. Od. xxiv, 9 sqq. [99] παρὲ δ' ἔσαν C. [1] ἦ παρ' C. [2] γένεσίς τε. γένεσις C, M. Versus videtur conflatus esse ex Hom. Il. xiv, 201 Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν et v. 246, Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται. [3] ἐστι. τε C, M. [4] ἐγὼ — πάντες. Psal. lxxxii, 6.

Digitized by Google

ἕως ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ [8], ἥτις ἐστὶ μήτηρ A sursum est Jerusalem, quæ est mater vivorum. *Ubi*
ντων, *ἐὰν δὲ πάλιν ἐπιστραφῆτε ἐπὶ τὴν Αἴ-* *autem rursus revertitis in Ægyptum*, hoc est in in-
πτον, τουτέστιν ἐπὶ τὴν κάτω μῖξιν, *ὡς ἄνθρωποι* *feriorem mistionem, ut homines morimini.* Mortalis
τοθνήσκετε [9]· θνητὴ γάρ, φησί, πᾶσα ἡ κάτω enim, inquit, omnis inferior generatio, immortalis
νεσις, ἀθάνατος δὲ ἡ ἄνω γεννωμένη· γεννᾶται autem quæ sursum generatur; generatur enim ex
ρ ἐξ ὕδατος μόνου καὶ πνεύματος, πνευματικὸς, aqua sola et spiritu spiritualis, non carnalis. Infra
σαρκικός· ὁ δὲ κάτω σαρκικός· τουτέστι, φησὶ, autem nascitur carnalis; hoc est, inquit, scriptum
γεγραμμένον· *Τὸ γεγεννημένον* [7] *ἐκ τῆς σαρκὸς* illud: *Quod natum est ex carne caro est, et quod*
ἀρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύμα- *natum est ex spiritu spiritus est.* Hæc est secundum
ος πνεῦμά ἐστιν. Αὕτη ἐστὶν ἡ κατ' αὐτοὺς πνευ- illos spiritualis generatio. Hic, inquit, est magnus
ιατικὴ γένεσις. Οὗτος, φησὶν [8], ἐστὶν ὁ μέγας Ἰορ- Jordanes, quem deorsum fluentem et impedientem
άνης, ὃν κάτω ῥέοντα καὶ κωλύοντα [9] ἐξελθεῖν τοὺς ab exitu filios Israel ex terra Ægyptia (hoc est ex
ἰοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου (ἤγουν ἐκ τῆς κάτω inferiore mistione; Ægyptus enim est corpus se-
μίξεως· Αἴγυπτος γὰρ ἐστι τὸ σῶμα κατ' αὐτούς) cundum eos) reflexit Jesus et fecit in sursum fluere.
ἀνέστειλεν Ἰησοῦς καὶ ἐποίησεν ἄνω ῥέειν.

[P. 106. 107] η'. Τούτοις καὶ τοῖς τοιούτοις ἑπό- B **150-151** 8. Hæc et talia secuti mirifici gno-
μενοι οἱ θαυμασιώτατοι Γνωστικοὶ, ἐφευρεταὶ καιν- stici, inventores novæ grammaticæ artis, vatem
ῆς [10] τέχνης γραμματικῆς, τὸν ἑαυτῶν προφήτην suum Homerum hæc prodere per arcana profitentur
Ὅμηρον ταῦτα προφαίνοντα ἀῤῥήτως δοξάζουσι καὶ et sacrarum Scripturarum expertes in talia com-
τοὺς ἀμυήτους τὰς ἁγίας Γραφὰς εἰς τοιαύτας ἐν- menta abducentes ludificantur. Dicunt autem: qui
νοίας συνάγοντες ἐνυβρίζουσι. Λέγουσι δέ· Ὁ λέγων dicit omnia ex uno constare, devius errat; qui dicit
τὰ πάντα ἐξ ἑνὸς συνεστάναι, πλανᾶται· ὁ | λέγων ex tribus, recte dicit et universorum rationem
ἐκ τριῶν, ἀληθεύει καὶ περὶ τῶν ὅλων τὴν ἀπόδειξιν aperiet. Una enim est, inquit, beata natura beati
δώσει. Μία γάρ ἐστι, φησὶν, ἡ μακαρία φύσις τοῦ hominis, qui supra est, Adamantis, una autem
μακαρίου ἀνθρώπου τοῦ ἄνω, τοῦ Ἀδάμαντος· μία mortalis, quæ infra est, unum autem irrex genus,
δὲ ἡ θνητὴ κάτω· μία δὲ ἡ ἀβασίλευτος γενεὰ ἡ ἄνω quod sursus evectum est, ubi est, inquit, Mariam,
γενομένη, ὅπου, φησὶν, ἐστὶ Μαριὰμ ἡ ζητουμένη quæ vestigatur, et Jothor, magnus sapiens, et Sep-
καὶ Ἰοθὼρ ὁ μέγας σοφὸς [11]| καὶ Σεπφώρα ἡ βλέ- phora, quæ cernit, et Moses, cujus genus non est
πουσα [12] καὶ Μωσῆς, οὗ γένεσις [13] οὐκ ἔστιν ἐν in Ægypto; nati enim sunt ei filii in Madiam. Et
Αἰγύπτῳ· γεγόνασι γὰρ αὐτῷ παῖδες ἐν Μαδιὰμ, C hoc, inquit, ne poetas quidem fugit:
καὶ τοῦτο, φησὶν, οὐδὲ τοὺς ποιητὰς λέληθε·

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε *Trifariam autem omnia divisa sunt, unusquisque au-*
τιμῆς [14]. *[tem nactus est honorem.]*

Δεῖ γὰρ, φησὶ, λαλεῖσθαι τὰ μεγέθη, λαλεῖσθαι δὲ Oportet enim dici magnitudines, dici autem sic ab
dum esse unum, trifariam divisum. Est autem trifariæ divisionis apud eos quasi unum quoddam initium tanquam magnus fons, in infinita per rationem dissecabilis segmenta. Primum autem segmentum et potius secundum eos est trias, et una quidem pars appellatur bonum perfectum, magnitudo patria, secunda autem triadis eorum pars tanquam potestatum innumera quædam multitudo ex sese genitarum, tertia speciale. Et est prima quidem id quod non genitum est bonum, secunda autem bonum ex se genitum, tertia genitum, unde perspicue dicunt tres deos, tres logos, tres mentes, tres homines. Singulis enim partibus mundi, divisione discreta, tribuunt et deos et logos et mentes et homines et quæ reliqua sunt. Desuper autem ex non generatione et primo mundi segmento, **178-179** cum constitisset deinceps mundus ad consummationem, descendisse ob causas, quas postea reddemus, Herodis temporibus trinaturatum quemdam et tricorporem et tripotentem hominem vocatum Christum, in se habentem a tribus partibus mundi omnia concrementa et potestates. Et hoc ait esse quod dicitur · *Omnem plenitudinem complacuit inhabitare in ipso corporaliter*, et omnis inest in ipso divinitas sic divisæ triadis. Delata enim esse ait a superjacentibus mundis duobus, et non generato et ex se ipso generato, in hunc mundum, in quo versamur nos, omnifariarum potestatum semina. Qui autem sit modus descensionis eorum, posthac aperiemus. Devenisse igitur Christum dicit desuper a non generatione, ut per descensionem ejus omnia salventur trifariam divisa. Quæ enim, inquit, desuper devenerunt infra, ascendent per eum. Ea autem, quæ insidiata sunt delapsis desuper, abjiciuntur et punita ablegantur. Hoc est, inquit, quod dictum est : *Non enim venit Filius hominis in mundum ad perdendum mundum, sed ut salvetur mundus per ipsum.* Mundum, inquit, vocat duas illas partes, quæ superjacent, et non genitam et ex se ipsa genitam. Cum autem dicit, inquit: *Ut non cum mundo damnetur* Scriptura, tertiam partem dicit, qui est mundus specialis. Tertiam enim oportet perire, quam dicit mundum, reliquas autem duas sejungi ab interitu, superjacentes.

διηρημένον. Ἔστι δὲ τῆς τριχῆ διαιρέσεως παρ' αὐτοῖς [τὸ μὲν ἓν μέρος] [1] οἷον μία τις ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τῷ λόγῳ τμηθῆναι τομὰς δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προεχεστέρα [2] κατ' αὐτούς ἐστιν ἡ τριὰς [3], καὶ [τὸ μὲν ἓν μέρος] [4] καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον τῆς τριάδος αὐτῶν μέρος οἱονεὶ δυνάμεων ἄπειρόν τι πλῆθος ἐξ αὐτῶν γεγενημένων [5]· τὸ τρίτον ἰδικόν. Καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον, ὅπερ ἐστὶν ἀγαθόν· τὸ δὲ δεύτερον ἀγαθὸν αὐτογενές· τὸ τρίτον γεννητόν· ὅθεν διαῤῥήδην λέγουσι τρεῖς θεοὺς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου τῆς διαιρέσεως διαχεχριμένης [6] διδόασι [p. 124. 125.] καὶ θεοὺς, καὶ λόγους, καὶ νοῦς, καὶ ἀνθρώπους, καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς πρώτης [7] τοῦ κόσμου τομῆς, καθεστηκότος λοιπὸν τοῦ κόσμου ἐπὶ συντελείᾳ, κατεληλυθέναι δι' αἰτίας, ἃς ὕστερον ἐροῦμεν, ἐν τοῖς Ἡρώδου χρόνοις τριφυῆ τινὰ καὶ τρισώματον [8] καὶ τριδύναμον ἄνθρωπον καλούμενον Χριστὸν, ἀπὸ τῶν τριῶν ἔχοντα τοῦ κόσμου μερῶν ἐν ἑαυτῷ πάντα τὰ συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναί φησι τὸ λεγόμενον· *Πᾶν τὸ πλήρωμα εὐδόκησε κατοικῆσαι ἐν αὐτῷ σωματικῶς, καὶ πᾶσά ἐστιν ἐν αὐτῷ ἡ θεότης* τῆς οὕτω διηρημένης τριάδος. Κατενηνέχθαι γάρ [10] φησιν ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου [11] καὶ τοῦ αὐτογενοῦς, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμὲν ἡμεῖς, παντοίων δυνάμεων σπέρματα. Τί; δέ ἐστιν ὁ τρόπος τῆς καταβάσεως αὐτῶν, ὕστερον ἐροῦμεν. Κατεληλυθέναι οὖν φησι τὸν Χριστὸν ἄνωθεν ἀπὸ τῆς ἀγεννησίας [12], ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ πάντα σωθῇ τὰ τριχῇ διῃρημένα. Τὰ μὲν γὰρ, φησὶν, ἄνωθεν κατενηνεγμένα κάτω ἀνελεύσεται δι' αὐτοῦ· τὰ δὲ ἐπιβουλεύσαντα τοῖς κατενηνεγμένοις; ἄνωθεν ἀφίσται καὶ [13] κολασθέντα ἀπολέγεται. Τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον, *Οὐ γὰρ ἦλθεν* [14] *ὁ Υἱὸς τοῦ ἀνθρώπου εἰς τὸν κόσμον, ἀπολέσαι τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.* Κόσμον, φησὶ, καλεῖ τὰς δύο μοίρας τὰς ὑπερκειμένας, τήν τε ἀγέννητον καὶ τὴν αὐτογέννητον. Ὅταν δὲ λέγῃ, φησὶν, *ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν* [15], ἡ Γραφὴ, τὴν τρίτην μοῖραν λέγει τοῦ κόσμου τοῦ ἰδικοῦ [16]. Τὴν μὲν γὰρ τρίτην δεῖ φθαρῆναι, ἣν καλεῖ κόσμον, τὰς δὲ δύο τῆς φθορᾶς ἀπαλλαγῆναι τὰς ὑπερκειμένας.

B

C

D

13. Videamus igitur primum, quomodo hanc doctrinam ab astrologis mutuati infament Christum,

ιγ'. Μάθωμεν οὖν πρῶτον, πῶς ταύτην τὴν διδαχὴν παρὰ τῶν ἀστρολόγων εἰληφότες ἐπηρεάζουσι

VARIÆ LECTIONES.

[1] τὸ μὲν ἓν μέρος ut aperte ab hoc loco alienum seclusimus. Cf. infra lin. 75. [2] προεχετέρα C, M. [3] ἐστὶν ἡ τριάς. ἐστὶ τριάς C, M; cf. infra p. 315, 21 ed. Oxon. [4] τὸ μὲν ἓν μέρος. Verba hæc, quæ paulo ante delenda, in hunc locum reducenda esse videntur, ut ratio constet. [5] ἐξ αὐτῶν γεγενημένων Bernaysius *ep. crit. ad Bunsen.* l. l. p. 314, ἐξ αὐτῶν γεγενημένον C, M. [6] διακεχρομμένης C; cf. infra p. 315, 28 ed. Oxon [7] τῆς πρώτης. πρὸ τῆς C, M; cf. infra p. 315, 20 ed. Ox.. πρώτης J. Bernaysius l. l. [8] τρίσωμον C, M., cf. infra p. 315, 32. [9] cf. Coloss. II, 9: Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; coll. col. 1, 19. [10] γάρ. δὲ legitur infra p. 313, 37. [11] ἀγενήτου C. [12] ἀγενησίας C. [13] ἀφίεται καί. ἀφίει καὶ C, M, ἀφιεῖ εἰκῇ καὶ infra p. 316, 43 ed. Ox. : ὀφιειδῆ J. Bernaysius l. l. p. 314 sqq. [14] Cf. Ev. Joan. III, 16: οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. [15] I Cor. XI, 32. [16] τοῦ — ἰδικοῦ. τὸν κόσμον τὸν ἰδικόν J. Bernaysius l. l. p. 315.

Digitized by Google

Χριστὸν, ἐργαζόμενοι φθορὰν τοῖς ἑπομένοις αὐτοῖς ἐν τῇ τοιαύτῃ πλάνῃ. Οἱ γὰρ ἀστρολόγοι ἕνα τὸν κόσμον εἰρηκότες διαιροῦσιν αὐτὸν εἰς τὰ ἀπλανῆ τῶν ζωδίων μέρη δώδεκα, καὶ καλοῦσι τὸν κόσμον τῶν ζωδίων τῶν ἀπλανῶν ἕνα κόσμον ἀπλανῆ· ἕτερον δὲ εἶναι τὸν τῶν πλανωμένων καὶ δυνάμει καὶ θέσει καὶ ἀριθμῷ κόσμον λέγουσιν, ὅς ἐστι μέχρι[17] σελήνης. Λαμβάνειν δὲ κόσμον ἀπὸ [p. 125. 126.] κόσμου δύναμίν τινα καὶ μετουσίαν, καὶ μετέχειν ἀπὸ τῶν ὑπερκειμένων τὰ ὑποκείμενα. Ἵνα δὲ ἔσται τὸ λεγόμενον ἐμφανὲς, αὐταῖς ἐκείναις ταῖς τῶν ἀστρολόγων ἐκ μέρους χρήσομαι[18] φωναῖς ὑπομνήσων τοὺς ἐντυγχάνοντας τὰ προειρημένα ἐν τῷ τόπῳ, οὗ ἐξεθέμεθα τὴν τῶν ἀστρολόγων πᾶσαν τέχνην. Ἃ μὲν οὖν[19] ἐκείνοις δοκεῖ ἔστι τάδε· ἀπὸ τῆς τῶν ἄστρων ἀπορροίας τὰς γενέσεις τῶν ὑποκειμένων ἀποτελεῖσθαι. Περιεργότερον γὰρ ἀναβλέψαντες εἰς τὸν οὐρανὸν οἱ Χαλδαῖοι ἔφασαν[20] δραστικῶν μὲν αἰτιῶν ἐπέχειν λόγον | εἰς ἕκαστον τῶν καθ' ἡμᾶς συμβαινόντων |ἐκβαίνειν τοὺς ἑπτὰ ἀστέρας][21], συνεργεῖν δὲ τὰ τῶν ἀπλανῶν ζωδίων μέρη. [Τὸν μὲν οὖν ζωδιακὸν κύκλον διαιροῦσιν εἰς μέρη][22] δώδεκα, ἕκαστον δὲ ζώδιον εἰς μοῖρας τριάκοντα, ἑκάστην δὲ μοῖραν εἰς ἑξήκοντα λεπτά· οὕτω γὰρ καλοῦσι τὰ ἐλάχιστα καὶ τὰ ἀμερῆ. Τῶν δὲ ζωδίων τὰ μὲν ἀρρενικὰ καλοῦσι, τὰ δὲ θηλυκά· καὶ τὰ μὲν δίσωμα, τὰ δὲ οὔ· καὶ τὰ μὲν τροπικὰ, τὰ δὲ στερεά[23]. Ἀρρενικὰ μὲν οὖν ἐστιν ἡ θηλυκὰ, ἅπερ συνεργὸν ἔχει φύσιν πρὸς ἀρρενογονίαν [ἢ θηλυγονίαν][24]· Κριὸς γὰρ ἀρρενικόν ἐστι ζώδιον, Ταῦρος δὲ θηλυκὸν, καὶ τὰ λοιπὰ κατὰ τὴν αὐτὴν ἀναλογίαν ἃ μὲν ἀρρενικὰ, ἃ δὲ θηλυκά. Ἀφ' ὧν οἶομαι οἱ Πυθαγορικοὶ[25] κινηθέντες τὴν μὲν μονάδα ἄρρεν προσαγορεύουσι, τὴν δὲ δυάδα θῆλυ, τὴν δὲ τριάδα πάλιν ἄρρεν· καὶ ἀναλόγως τοὺς λοιποὺς[26] τῶν τε ἀρτίων καὶ[27] περισσῶν ἀριθμῶν. Ἔνιοι δὲ καὶ ἕκαστον ζώδιον εἰς δωδεκατημόρια[28] διελόντες τῇ αὐτῇ σχεδὸν ἐφόδῳ χρῶνται, οἷον ἐπὶ Κριοῦ [τὸ μὲν πρῶτον δωδεκατημόριον αὐτοῦ Κριόν τε][29] καλοῦσι καὶ ἄρρεν[30], τὸ δὲ δεύτερον Ταῦρόν τε[31] καὶ θῆλυ, τὸ δὲ τρίτον Διδύμους τε[32] καὶ ἄρρεν, καὶ ἐπὶ τῶν ἄλλων μοιρῶν δὲ[33] ὁ αὐτὸς λόγος. Δίσωμα δὲ εἶναι λέγουσι ζώδια [Διδύμους τε καὶ τὸν][34] διαμετροῦντα τούτοις Τοξότην, Παρθένον τε καὶ Ἰχθύας· οὐ δίσωμα δὲ τὰ λοιπά. Καὶ ὡσαύτως τροπικὰ[35] μὲν, ἐν οἷς γενόμενος ὁ ἥλιος μεταλλάσσει [p. 126. 127] καὶ ποιεῖ[36] τοῦ περιέχοντος τροπὰς, οἷόν ἐστι[37] ζώδιον ὅ τε Κριὸς καὶ ὁ τούτου διάμετρος[38], καθάπερ Ζυγὸς, Αἰγόκερώς[39] τε καὶ Καρ-

afferentes perniciem iis, qui eos sequuntur in tali errore. Astrologi enim unum statuentes mundum dividunt eum in non errantes signorum animalium partes duodecim et vocant signorum non errantium mundum unum mundum non errantem; alterum autem esse errantium et vi et positura et numero mundum dicunt, qui est **180-181** usque ad lunam. Accipere autem mundum a mundo vim quamdam et communionem et participare a superjacentibus subjacentia. Ut autem quod diximus luculenter appareat, ipsis illis astrologorum singulatim utar vocibus, admoniturus lecturos eorum, quæ ante dicta sunt eo loco, ubi exposuimus astrologorum universam artem. Quæ igitur illis placent hæc sunt: ab astrorum defluxione genituras subjacentium perfici. Curiosius enim contemplati cœlum Chaldæi dixerunt agentium causarum continere rationem ad singula quæque, quæ eveniat ut nobis accidant, septem stellas, adjuvare autem non errantium signorum partes. Zodiacum igitur orbem dividunt in partes duodecim, unumquodque autem signum in partes triginta, unamquamque autem partem in sexaginta minuta; sic enim appellant minima et indivisa. Signorum autem alia mascula appellant, alia feminea, et alia bicorpora, alia non, et alia tropica, alia fixa. Mascula igitur sunt aut feminina, quæcunque natura sua adjuvant masculam generationem aut femininam. Aries enim masculum est signum, Taurus autem femininum; et reliqua ad eamdem rationem vel mascula vel feminina. Unde, ut opinor, Pythagorici orsi monadem masculum quoddam appellant, dyadem autem femininum, triadem autem rursus masculum, et eadem ratione reliquos et parium et imparium numerorum. Quidam autem et unumquodque signum in duodenas partes dividentes eadem fere via utuntur: veluti in ariete primam duodecim ejus partium et arietem vocant et masculum, secundam autem et taurum et femininum, tertiam autem et geminos et masculum, et in reliquis etiam partibus consimiliter. Bicorpora autem esse aiunt signa et geminos et qui exadversum illis est Sagittarium, Virginemque et Pisces, non bicorpora autem reliqua. Et pariter tropica quidem, in quibus cum constitit sol, **182-183** commutat et efficit ambientis conversiones, quale est signum et aries et qui est exadversum illi sicut Libra, Capricornusque et Cancer. In Ariete enim verna fit conversio, in Capricorno autem hiemalis, in Cancro autem æstiva, in Libra

VARIÆ LECTIONES.

[17] ὅς ἐστι μέχρι. ὃ ἐστι μέρος C, M. [18] χρήσωμαι C. [19] οὖν. οὖν ὡς C. Quæ sequuntur hausta sunt ex Sexto Empirico *adv. Mathem.* V. 5 sqq. p. 729 sqq. ed. Bekker. [20] ἔφασαν C. [21] ἐκβαίνειν τοὺς ἑπτὰ ἀστέρας om. C, M, supplenda ex Sexto. [22] τὸν μὲν οὖν ζωδιακὸν κύκλον διαιροῦσιν εἰς μέρη suppeditavit Sextus omissa in C, M. [23] στερεά Sextus ἕτερα C, M. [24] ἢ θηλυγονίαν Sextus: om. C et Sexti cod. Cizensis. [25] 48 οἱ Πυθαγορικοὶ Sextus; Πυθαγορικοὶ C. [26] λοιποὺς Sextus, λόγους C, M. [27] ἀρτίων καὶ Sextus, ἀρτίων τε καὶ C. [28] δωδεκατημόρια Sextus, δωδεκατημόριον C, M. [29] τὸ μὲν πρῶτον — Κριόν τε Sextus, om. C, M. [30] καλοῦσι καὶ ἄρρεν Sextus, καλοῦσιν ἄρρεν C, M. [31] Ταῦρόν τε Sextus· Ταῦρον, ἄρρεν τε C, M. [32] Διδύμους τε Sextus, Διδύμους C, M. [33] μοιρῶν, δέ Sextus, μοιρῶν δὲ C, M. [34] ζώδια Διδύμους τε καὶ τὸν διαμ. Sextus, ζώδια τὰ διαμ., M. [35] τροπικὰ Sextus, τροπικὰς C. [36] μεταλλάσσει καὶ ποιεῖ Sextus, μεγάλας ἐμπεριποιεῖ C, M. [37] τροπὰς, οἷόν ἐστι. Sextus *τροπὰς. ἄρρεν* ἐστὶ C, M. [38] τὸ τούτου διάμετρον Sextus. [39] Αἰγόκερως Sextus, ἀπόκερως C.

Digitized by Google

autem autumnalis. Hæc autem et doctrinam de his minutatim exposuimus in eo libro qui hunc antecedit, unde studiosis licet discere, quomodo Peraticæ sectæ significri, Euphrates Peraticus et Celbes Carystius, quæ hauserunt, nomine tantum tenus immutaverunt, re autem consimilia statuerunt, et ipsi ad tædium usque huic arti dediti. Etenim fines astrorum astrologi dicunt, in quibus plus posse aiunt imperantes stellas, veluti in aliis malefaciunt, in aliis bene, quarum alias maleficas vocant, alias beneficas. Aspicere autem dicuntur se invicem et concinere inter se, ut quæ in triangulari aut quadrata forma apparent. In triangulari forma igitur conformantur aspectantes se invicem stellæ, quæ trium signorum spatium habent interjectum, in quadrata autem quæ duorum. Sicuti autem in homine capiti subjacentes partes compatiantur, compatiatur autem etiam subjacentibus caput, sic etiam superlunaribus terrena. Verumenimvero quædam est horum differentia et incompatibilitas, ut quæ non unam eamdemque habeant unitionem. Hanc composituram et divergentiam stellarum, quæ est Chaldaica, sibi arrogantes, quos ante diximus, nomini veritatis falso impertientes, tanquam Christi doctrinam venditant, ævorum statum et transitiones bonarum potestatum in mala et concentus bonorum **184-185** cum pravis vocantes. Appellantes igitur toparchas et proastios et alia plurima nomina confingentes sibi non suppeditantia, sed astrologorum omnem de stellis imaginationem præter artem in artem redigentes, magni erroris materiem superinducentes, coarguentur per nostram industriam. Componam enim supra dictæ Chaldaicæ arti nonnulla Peraticorum commentorum, unde licebit instituta comparatione perspicere, quomodo Peratica doctrina astrologis aperte debeatur, non Christo.

14. Visum est igitur apponere unum aliquem eorum librorum, qui iis approbati sunt, in quo dicit : *Ego vox expergefactionis in ævo noctis. De reliquo exordior nudare a chao redundantem po-*

κίνος. Ἐν Κριῷ μὲν γὰρ ἐαρινὴ γίνεται τροπή, ἐν Αἰγοκέρῳ δὲ χειμερινή, ἐν Καρκίνῳ δὲ θερινή, ἐν Ζυγῷ δὲ φθινοπωρινή. Ταῦτα δὲ καὶ τὸν περὶ τούτων[60] λόγον λεπτομερῶς ἐξεθέμεθα ἐν τῇ πρὸ ταύτης βίβλῳ, ὅθεν ἔστι μαθεῖν τὸν φιλομαθῆ, ὡς οἱ τῆς Περατικῆς αἱρέσεως ἀρχηγοὶ Εὐφράτης ὁ Περατικὸς καὶ Κέλβης[61] ὁ Καρύστιος, μεταγαγόντες ὀνόματι[62] μόνον διήλλαξαν, δυνάμει δὲ τὰ ὅμοια ἔθεντο, καὶ αὐτοὶ τῇ τέχνῃ κατακόρως προσέχοντες. Καὶ γὰρ[63] ὅρια τῶν ἀστέρων οἱ ἀστρολόγοι λέγουσιν[64], ἐν οἷς μᾶλλον δύνασθαι φάσκουσι τοὺς ἄρχοντας ἀστέρας, οἷον [ἔν τισι μὲν κακοποιοῦσιν], ἐν τισι δὲ ἀγαθοποιοῦσιν, ὧν καί τινας κακοποιοὺς λέγουσι, τινὰς δὲ ἀγαθοποιούς. Ἐπιβλέπειν δὲ λέγονται ἀλλήλους καὶ συμφωνεῖν ἀλλήλοις, ὡς[65] οἱ κατὰ τρίγωνον [ἢ τετράγωνον φαινόμενοι. Κατὰ τρίγωνον μὲν οὖν][67] σχηματίζονται[66] ἐπιθεωροῦντες[68] ἀλλήλους ἀστέρες, ἐπὶ[69] τριῶν ζωδίων ἔχοντες τὸ μεταξὺ διάλειμμα[71], κατὰ[70] τετράγωνον δὲ οἱ δυεῖν[72]. [Ὃν[73] δὲ τρόπον ἐν τῷ ἀνθρώπῳ] κεφαλῇ μὲν τὰ ὑποκείμενα[74] μέρη συμπάσχειν[75], συμπάσχειν δὲ καὶ τοῖς ὑποκειμένοις τὴν κεφαλήν, οὕτως καὶ τοῖς ὑπερσελήνοις[77] τὰ ἐπίγεια. Ἀλλὰ γάρ τίς[78] ἐστι τούτων διαφορὰ καὶ ἀσυμπάθεια[79], ὡς ἂν μὴ[80] μίαν καὶ τὴν αὐτὴν ἐχόντων ἕνωσιν. Ταύτην τὴν σύστασιν[81] καὶ τὴν διαφορὰν τῶν ἄστρων Χαλδαϊκὴν ὑπάρχουσαν πρὸς ἑαυτοὺς ἐπισπασάμενοι οὓς προείπομεν, ἐπιψευσάμενοι τῷ τῆς ἀληθείας ὀνόματι, ὡς Χριστοῦ λόγον κατήγγειλαν αἰώνων στάσιν καὶ ἀποστασίας ἀγαθῶν δυνάμεων εἰς κακὰ καὶ συμφωνίας ἀγαθῶν μετὰ πονηρῶν προσαγορεύοντες [p. 127—129.] Καλοῦντες οὖν τοπάρχας[82] καὶ προαστείους καὶ ἄλλα πλεῖστα ὀνόματα ἀναπλάσσοντες ἑαυτοῖς[83] οὐχ ὑποκείμενα, ἀλλὰ τὴν τῶν ἀστρολόγων περὶ τοὺς ἀστέρας πᾶσαν φαντασίαν ἀτέχνως τεχνολογοῦντες, μεγάλης πλάνης ὑπόθεσιν ἐπεισάγοντες, ἐξελεγχθήσονται σὺν τῇ ἡμετέρᾳ ἐμμελείᾳ. Ἀντιπαραθήσω γὰρ τῇ προλελεγμένῃ τῶν ἀστρολόγων Χαλδαϊκῇ τέχνῃ ἕνια τῶν Περατικῶν συνταγμάτων, ἀφ' ὧν ὑπάρξει συγκρίναντας[84] κατανοῆσαι πῶς οἱ Περατικοὶ[85] λόγοι τῶν ἀστρολόγων ὁμολογουμένως εἰσὶν, οὐ Χριστοῦ.

ιθ. Δοκεῖ οὖν παρατάξαι μίαν τινὰ τῶν παρ' αὐτοῖς δοξαζομένων βίβλων, ἐν ᾗ λέγει· *Ἐγὼ φωνὴ ἐξυπνισμοῦ ἐν τῷ αἰῶνι τῆς νυκτός· λοιπὸν ἄρχομαι γυμνοῦν τὴν ἀπὸ τοῦ χάους δύναμιν*

VARIÆ LECTIONES.

[60] τούτων. τοῦτον C, M. [61] Κέλβης. CF. supra p. 50, 16, 17 not. [62] ὀνόματι. ὀνόματα supr. M. [63] Καὶ γάρ. Ἀ γάρ C, M. [64] Cf. Sext. V, 37, p. 734. Ὅρια δὲ ἀστέρων προσαγορεύουσιν ἐν ἑκάστῳ ζωδίῳ, ἐν οἷς ἕκαστος τῶν ἀστέρων ἀπὸ ποστῆς μοίρας ἐπὶ ποστὴν μοῖραν πλεῖστον δύναται. *Ibid.* § 20, p. 731 : Οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχειν ἡγοῦνται τοὺς ἀστέρας πρὸς τὸ κακοποιεῖν ἢ μὴ, ἐπί τε τῶν κέντρων θεωρουμένους καὶ ἐπὶ ταῖς ἀναφοραῖς, κ. τ. λ. [65] Ἐπιβλέπειν, κ. τ. λ. hausta ex Sexto l. v, 39. p. 734 Bekker, unde auctorem nostrum correximus collatis supra p. 50 scriptis. [66] ὡς Sextus, om. C, M. Cf. supra p. 50, 9. [67] ἢ τετράγωνον — οὖν Sextus om. C, M. [68] σχηματίζονται Sextus, συσχηματίζονται C, M. [69] ἐπιθεωροῦντες. καὶ ἐπιθεωροῦσιν Sextus. [70] ἐπί. οἱ ἐπὶ Sextus. Cf. supra p. 50, 10. [71] τὸ — διάλειμμα. Cf. supra p. 50, 11 : τὰ — διαλείμματα C, M, τὸ — διάστημα Sextus. [72] κατὰ Sextus. Cf. supra p. 50, 11 : καὶ C, M. [73] οἱ δυεῖν. δυεῖν C, M, οἱ δυοῖν Sextus. [74] Hæc petita sunt ex Sexto V, 44. p. 735 Ὃν — ἀνθρώπῳ. μὲν τὰ ἄνω C, M. [75] κεφαλῇ — ὑποκείμενα. κεφαλὴ, τὰ δὲ ὑποκείμενα C, M, τῇ κεφαλῇ τὰ ὑποκείμενα Sextus, κεφαλῇ τὰ ὑποκείμενα auctor ipse supra p. 50, 12. [76] μέρη συμπάσχειν. μέρη πάσχειν συμπάσχειν C, M, μέρη συμπάσχει Sextus. [77] ὑπερσεληναίοις. ἐπουρανίοις Sextus. [78] Ἀλλὰ γάρ τις. Ἄλλη γάρ τις C, M, ἀλλά τις Sextus et auctor noster p. 50, 14. [79] ἀσυμπάθεια iidem p. 50, 14; συμπάθεια C, M. [80] ὡς ἂν μὴ iidem p. 50, 14, 15, ὡς μὴ C, M. [81] Cf. supra p. 50, 16—23. [82] προσαγορεύουσι, καλοῦντες τοπάρχας C, M. [83] ἑαυτοὺς C. [84] συγκρίναντες C. [85] Περατικοί. Περάται C, Περατῶν M.

Digitized by Google

Ἡ δύναμις[66] τοῦ ἀβυσσικοῦ θολοῦ[67], ἡ τὸν πηλὸν ἀναβαστάζουσα τοῦ ἀφθάρτου ἀχαροῦς διύγρου, ἡ τοῦ σπάσματος ὅλη δύναμις ὑδατόχρους ἀεικίνητος, φέρουσα τὰ μένοντα, κατέχουσα τὰ τρέμοντα, ἀπολύουσα τὰ ἐρχόμενα, κουφίζουσα τὰ μένοντα, καθαιροῦσα τὰ αὔξοντα, πιστὴ οἰκονόμος τοῦ ἴχνους τῶν ἀέρων, ἡ τὰ ἀνερευγόμενα ἀπὸ τῶν δώδεκα ὀφθαλμῶν ἐντολῆς ἀπολαύουσα, σφραγῖδα δηλοῦσα πρὸς τὴν μετ' αὐτῶν οἰκονομοῦσαν τῶν ἐπιφερομένων ἀοράτων ὑδάτων δύναμιν, ἐκλήθη Θάλασσα[68]. Ταύτην τὴν δύναμιν ἡ ἀγνωσία ἐκάλεσε Κρόνον, δεσμοῖς φρουρούμενον, ἐπεὶ ἔσφιγγε τὸ σύμπλεγμα τοῦ[69] πυκνοῦ καὶ ὁμιχλώδους ἀδήλου σκοτεινοῦ ταρτάρου. Ταύτης ἐγένοντο κατ' εἰκόνα Κηφεύς, Προμηθεύς, Ἰαπετός. Δύναμις πεπιστευμένη τὴν Θάλασσαν ἀῤῥενόθηλυς ἡ[70] τὸν ἀνατρέχοντα συριγμὸν ἀπὸ τῶν δώδεκα στομάτων τοῖς δώδεκα αὐλίσκοις ἁρμόζουσα διαχύνει λεπτὴ οὖσα καὶ καθαιροῦσα τὴν κατέχουσαν λάβρον ἀναφοράν, καὶ σφραγίζει ἀτρεμῶν ὁδοὺς αὐτῆς, πρὸς τὸ μὴ πολεμῆσαι ἢ ἐναλλάξαι τὸ μὴ δι' αὐτῆς θυγάτηρ τυφωνικὴ πιστὴ φύλαξ ὑδάτων παντοίων. Ὄνομα αὐτῇ Χορζάρ· ταύτην ἡ ἀγνωσία ἐκάλεσε Ποσειδῶνα, οὗ κατ' εἰκόνα ἐγένετο Γλαῦκος, Μελικέρτης, [p. 129. 130] Ἰνὼ[71], Νεβρόη[72]. Περιεσχαιρωκὼς τὴν δωδεκαγώνιον[73] πυραμίδα, πύλην εἰς πυραμίδα σκοτίζων ποικίλαις χρόαις καὶ ἀπαρτίζων πᾶσαν τὴν νυκτόχρουν. Τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Κόριν, οὗ λειτουργοὶ πέντε· πρῶτος Οὐ, δεύτερος Ἀοαί, τρίτος Οὐώ, τέταρτος Οὐωάβ, πέμπτος[74]..... ἄλλοι πιστοὶ οἰκονόμοι αὐτοῦ τῆς τοπαρχίας ἡμέρας καὶ νυκτὸς οἱ ἀναπαυόμενοι ἐν τῇ ἐξουσίᾳ αὐτῶν. Τούτους ἡ ἀγνωσία ἐκάλεσε τοὺς πλανήτας ἀστέρας, ἐφ' ὧν ἡ φθαρτὴ γένεσις ἐώρητω[75]. Ἀέρος[76] ἀνατολῆς οἰκονόμος, Καρφακωσημεοχειρ, Ἐκκαββάκαρα· τούτους ἐκάλεσεν ἡ ἀγνωσία Κουρῆτας· ἄρχων ἀνέμων τρίτος Ἀριήλ, οὗ κατ' εἰκόνα ἐγένετο Αἴολος, Βριάρης. Καὶ ἄρχων δωδεκαώρου νυκτερινῆς Σοκλάν, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ὄσιριν· τούτου κατ' εἰκόνα ἐγένετο Ἄδμητος, Μήδεια, Ἑλλήν, Αἴθουσα. Ἄρχων ἡμερινῆς δωδεκαώρου Εὐνώ· οὗτος οἰκονόμος τῆς πρωτοκαμάρου ἀνατολῆς καὶ αἰθερίου, ὃν[77] ἐκάλεσεν ἡ ἀγνωσία Ἶσιν. Τούτου σημεῖον τὸ κυνὸς ἄστρον, οὗ κατ' εἰκόνα ἐγένοντο Πτολεμαῖος ὁ Ἀρσινόης, Διδύμη, Κλεοπάτρα, Ὀλυμπιάς. Δύναμις Θεοῦ δεξιά, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Ῥέαν, οὗ κατ' εἰκόνα ἐγένοντο

A testatem. Potestas imi fundi sordidi turbamenti limum sursum portans incorrupti hiulci uliginosi, convulsionis universa potestas aquatico colore, semper mobilis, ferens manentia, cohibens trementia, absolvens euntia, levans manentia, tollens augescentia, fida dispensatrix vestigii aerum, eructatis a duodecim oculis injunctionis fruens, sigillum manifestans ad potestatem cum iis dispensantem aquarum, quæ inferuntur, invisibilium, vocata est Thalassa. Hanc potestatem ignorantia vocavit Cronum, vinculis custoditum, quoniam constringebat complexus densi et nebulosi cæci tenebricosi tartari. Hujus exstiterunt ad imaginem Cepheus, Prometheus, Japetus. Potestas, cui concredita est Thalassa, mas et femina, quæ enascentem sibilum a duodecim oribus duodecim tibiolis aptatum diffundit, tenuis natura sua et tollens detinentem vehementem anaphoram, et obsignat semitarum vias ejus, ad non bellandum aut commutandum . . . ejus filia typhonica fidelis custos aquarum omnigenarum. Nomen ejus Chorzar. Hanc ignorantia vocavit Neptunum, cujus ad imaginem exstitit Glaucus, Melicertes, Ino, **186-187** Nebroe. Circumvolutam habens duodecim angulorum pyramidem, portam in pyramidem obscurans variis coloribus et perficiens totam nocticolorem. Hunc ignorantia vocavit Coram, cujus ministri quinque, primus U, secundus Aoai, tertius Uo, quartus Uoab, quintus . . . alii fideles dispensatores ejus toparchiæ diei et noctis requiescentes in facultate eorum. Hos ignorantia vocavit erraticas stellas, in quibus caduca generatio suspensa est. Stellæ ortus dispensator, Carphacasemeocheir, Eccabbacara. Hos ignorantia vocavit Curetas. Princeps ventorum tertius Ariel, cujus ad imaginem exstitit Æolus, Briares. Et princeps dodecahori nocturni Soclan, quem vocavit ignorantia Osirin; hujus ad imaginem exstitit Admetus, Medea, Hellen, Æthusa. Princeps dodecahori diurni Euno. Hic dispensator protocamari ortus et ætherii, quem vocavit ignorantia Isidem. Hujus signum canis astrum, cujus ad imaginem exstiterunt Ptolemæus, Arsinoe, Didyma, Cleopatra, Olympias. Potestas Dei dextra, quam vocavit ignorantia Rheam, cujus ad imaginem exstiterunt Attis, Mygdon, Œnone. Potestas sinistra victus facultatem habet, quam vocavit ignorantia Cererem, nomen ejus Bena. Hujus ad imaginem exstiterunt Celeus, Triptolemus, Misyr, Praxidica. Potestas dextra facultatem habet frugum; hanc ignorantia vocavit Lunum, cujus ad imaginem exstiterunt Bumegas, Ostanes, Mercurius Trismegistus, Curites, Petosiris, Zodarium, Berosus. Astrampsu-

VARIÆ LECTIONES.

[66] Quæ sequuntur tam perplexa sunt, ut omnem medicinam respuant. [67] θόλου C. M. [68] Θάλασσα. Cf. Berosi *Chaldæor. Hist. quæ supersunt ed. Richter* p. 49. 50 : Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ εἶναι, καὶ ἐν τούτοις ζῶα τερατώδη ἰδιοφυεῖς (*pl.* εἰδιφυεῖς, *al.* διφυεῖς. . . . ἄρχειν δὲ τούτων πάντων γυναῖκα ᾗ ὄνομα Ὁμόρκα (*al.* Ὁμορῶκα, *al.* Marcala) εἶναι δὲ τοῦτο Χαλδαῖστὶ μὲν Θαλάτθ, Ἑλληνιστὶ δὲ μεθερμηνεύεσθαι θάλαττα (*al.* θάλασσα)· κατὰ δὲ ἰσόψηφον σελήνη (*al. om.*) Cf. *D. Friedrich Münter Religion der Babylonier, Kopenhagen* 1827. p. 36—46, et *D. F. C. Movers die Phönizier*, tom. I. p. 268—86. [69] τοῦ. τῆς C. [70] ἡ. ἢ C. 7. διαχύνει C. [71] Ἰνώ. Ἴη C. [72] Νεβρόη. Νεφλη? M. [73] δωδεκαγόνιον pr. C. [74] Hic lacuna M. [75] αἰώρητε pr. C, ἠώρητε corr. C, ἠώρηται M. [76] Ἀέρος, Ἀστέρος? [77] ὃν. ἣ C.

Digitized by Google

chus, Zoroastris. Potestas ignis sinistra ; hunc ignorantia vocavit Vulcanum, cujus ad imaginem exstiterunt Erichthonius, Achilleus, Capaneus, Phaethon, Meleager, Tydeus, Enceladus, Raphael, Suriel, Omphale. Potestates tres mediæ ex aere suspensæ auctores generationis. Has ignorantia vocavit Parcas, quarum ad imaginem exstiterunt domus Priami, domus Laii, Ino, Autonoe, Agave, Athamas, Procne, Danaides, Peliades. Potestas mas et femina semper **188-189** *infans, non consenescens, auctrix pulchritudinis, voluptatis, vigoris, appetitus, concupiscentiæ, quem vocavit ignorantia Amorem, cujus ad imaginem exstiterunt Paris, Narcissus, Ganymedes, Endymion, Tithonus, Icarius, Leda, Amymone, Thetis, Hesperides, Iasion, Leander, Hero.* Hi sunt proastii usque ad ætherem ; sic enim et inscribit librum.

15. Perspicuum nemini non facile factum est Peratarum hæresin ab astrologorum translatam esse nominibus tenus. Eamdem autem rationem continent etiam reliqui libri eorum, si cui placuerit omnes perlustrare. Omnium enim, ut dixi, quæ nata sunt, causas statuunt esse non nata et superjacentia, et ortum esse per defluxionem mundum nostrum, quem specialem illi appellant, et has omnes simul stellas, quæ conspiciuntur in cœlo, generationis auctores exstitisse hujus mundi, mutantes earum nomina, ut comparatione proastiorum instituta licet videre ; deinde autem eumdem in modum, ut exstiterit mundus a defluxione desuper, sic res mundanas a defluxione stellarum genituram habere et interitum dicunt et administrari. Quandoquidem astrologi norunt horoscopum et mesuranema et occasum et antimesuranema, et, his stellis alias aliter inventibus propter conversionem semper universi, alias alias declinationes exsistere secundum centrum et centris successiones : aliorsum deflectentes astrologorum descriptionem, centrum quidem tanquam deum et monadem et dominum universæ genituræ adumbrant, declinationem autem sinistram, successionem autem dextram. Quando igitur quis, qui in libros eorum incidit, potestatem reperiet apud eos dictam dextram vel sinistram, recurrat ad centrum et declinationem et successionem, et perspiciet clare universam eorum disciplinam esse astrologorum doctrinam.

16. Appellant autem sese Peratas, nihil posse

A Ἄττις, Μύγδων [78], Οἰνώνη. Δύναμις ἀριστερὰ τροφῆς ἐξουσιάζει, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Δήμητραν, ὄνομα αὐτῇ Βένα· τούτου κατ' εἰκόνα ἐγένοντο Καλεὸς, Τριπτόλεμος, Μίσυρ, Ἀπραξία [79]. Δύναμις δεξιὰ ἐξουσιάζει καρπῶν· τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Μῆνα, οὗ κατ' εἰκόνα ἐγένοντο Βουμέγας, Ὀστάνης, Ἑρμῆς τρισμέγιστος, Κουρίτης, Πετόσιρις, Ζωδάριον, Ἐπιρωσὸς, Ἀστράμψυχος, Ζωρόαστρις. Δύναμις πυρὸς εὐώνυμος· τοῦτον ἡ ἀγνωσία ἐκάλεσεν Ἥφαιστον, οὗ κατ' εἰκόνα ἐγένοντο Ἐριχθόνιος, Ἀχιλλεὺς, Καπανεὺς, Φλέγων [80], Μελέαγρος, τὰ δύηκεν, Κέλαδος [81], Ῥαφαὴλ, Σουριὴλ, Ὀμφάλη. Δυνάμεις τρεῖς μέσαι τοῦ ἀέρος κρεμάμεναι, αἰτίαι γενέσεως. Ταύτας ἡ ἀγνωσία ἐκάλεσε Μοίρας, ὧν κατ' εἰκόνα ἐγένοντο οἶκος Πριάμου, οἶκος Λαΐου, Ἰνὼ, Αὐτονόη, Ἀγαυὴ, Ἀθάμας [82], Πρόκνη, Δαναΐδες, Πελιάδες. [p. 130. 131.] Δύναμις ἀρσενόθηλυς ἀεὶ νηπιάζουσα, ἀγήρατος, αἰτία κάλλους, ἡδονῆς, ἀκμῆς, ὀρέξεως, ἐπιθυμίας, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ἔρωτα, οὗ κατ' εἰκόνα ἐγένοντο Πάρις, Νάρκισσος, Γανυμήδης, Ἐνδυμίων, Τιθωνὸς, Ἰκάριος, Λήδα, Ἀμυμώνη, Θέτις, Ἑσπερίδες, Ἰασίων [83], Λέανδρος, Ἡρώ. Οὗτοί εἰσιν οἱ προάστειοι ἕως αἰθέρος· οὕτω γὰρ καὶ ἐπιγράφει τὸ βιβλίον.

B

C

ιε'. Καταφανὴς [84] σύμπασιν εὐκόλως γεγένηται ἡ τῶν Περατῶν αἵρεσις ἀπὸ τῆς τῶν ἀστρολόγων μεθηρμοσμένη τοῖς ὀνόμασι μόνοις. Τὸν δὲ αὐτὸν τρόπον περιέχει καὶ τὰ ἕτερα αὐτῶν βιβλία, εἴ τινι φίλον εἴη διὰ πάντων ἐλθεῖν. Πάντων γὰρ, ὡς ἔφην, τῶν γεννητῶν τῆς γενέσεως αἴτια νομίζουσιν εἶναι τὰ ἀγέννητα καὶ τὰ ὑπερκείμενα, καὶ γεγονέναι κατὰ ἀπόρροιαν [85] τὸν κόσμον τὸν καθ' ἡμᾶς, ὃν ἰδικὸν ἐκεῖνοι καλοῦσι, καὶ τούτους πάντας ὁμοῦ τοὺς ἀστέρας τοὺς θεωρουμένους ἐν τῷ οὐρανῷ τῆς γενέσεως αἰτίους γεγονέναι τοῦδε [86] τοῦ κόσμου, ἐναλλάξαντες [87] αὐτῶν τὸ ὄνομα, ὡς ἀπὸ τῶν προαστείων ἔστι συγκρίναντας εὑρεῖν· δεύτερον δὲ δὴ κατὰ τὸν αὐτὸν τρόπον, ὡς γέγονεν ὁ κόσμος ἀπὸ τῆς ἀπορρροίας τῆς ἄνω, οὕτως τὰ ἐνθάδε ἀπὸ τῆς ἀπορροίας τῶν ἀστέρων γένεσιν ἔχειν καὶ φθορὰν λέγουσι καὶ διοικεῖσθαι. Ἐπεὶ γοῦν οἱ ἀστρολόγοι ἴσασιν ὡροσκόπον καὶ μεσουράνημα, καὶ δύσιν καὶ ἀντιμεσούράνημα, καὶ τούτων τῶν ἄστρων ἄλλοτε ἄλλως κινουμένων [88] διὰ τὴν στροφὴν ἀεὶ τοῦ παντὸς ἄλλοτε ἄλλα ἀποκλίματα εἶναι κατὰ κέντρον, καὶ κέντροις [89] ἐπαναφορὰς, ἀλληγοροῦντες τὴν διαταγὴν τῶν ἀστρολόγων τὸ μὲν κέντρον οἱονεὶ θεὸν καὶ μονάδα καὶ κύριον τῆς πάσης γενέσεως ὑποτυποῦσι [90], τὸ δὲ ἀπόκλιμα ἀριστερὸν, τὴν δ' ἐπαναφορὰν δεξιόν. Ὅταν οὖν τοῖς γράμμασιν αὐτῶν ἐντυχών τις δύναμιν εὑρίσκῃ παρ' αὐτοῖς λεγομένην δεξιὰν ἢ ἀριστερὰν, ἀνατρεχέτω ἐπὶ τὸ κέντρον καὶ τὸ ἀπόκλιμα καὶ τὴν ἐπαναφορὰν [91], καὶ κατόψεται [92] σαφῶς πᾶσαν αὐτῶν τὴν πραγματείαν ἀστρολογικὴν διδασκαλίαν καθεστῶσαν.

ις'. Καλοῦσι δὲ αὐτοὺς Περάτας, μηδὲν δύνασθαι

D

VARIÆ LECTIONES.

[78]. Μυγδόνη C, Μυγδόνη M. [79] Ἀπραξία. Πραξιδίκη? [80] Φλέγων. Φαέθων? [81] τὰ δύηκεν. Κέλαδος. Τέλως, Κέλαδος M, Τυδεύς, Ἐγκέλαδος ? [82] Ἀθαμὰς C. [83] Ἰάσων C, M. [84] Καταφανῆ C. [85] ἀποριαι C. [86] τοῦδε. τοὺς δὲ C, M. [87] ἐναλλάξαντας M. [88] κινουμένων. γινομένων C. [89] κέντροις. κέντρων? [90] ὑποτυπτοῦσι. ὑποτυποῦντες C, M. [91] ἀναφορὰν C. M. [92] καὶ κατόψεται. κατόψεται C, καὶ ὄψεται M.

Digitized by Google

ιζοντες τῶν ἐν γενέσει καθεστηκότων διαφυγεῖν A arbitrantes eorum quæ in genitura nituntur effugere
ν ἀπὸ τῆς γενέσεως τοῖς γεγενημένοις ὡρισμένην sortem a genitura iis quæ genita sunt definitam.
ραν. Εἰ γάρ τι, φησί, [p. 131—133.] γεννητὸν, Nam si quid, inquit, natum, omnino **190-191** et
ως καὶ φθείρεται[93], καθάπερ καὶ Σιβύλλῃ δοκεῖ, perit, sicut etiam Sibyllæ placet. Soli autem,
νοι δὲ [94], φησὶν, ἡμεῖς οἱ τὴν ἀνάγκην τῆς γενέ- ait, nos, qui necessitatem genituræ perspexerimus et
ως ἐγνωκότες, καὶ τὰς ὁδοὺς, δι' ὧν εἰσελήλυθεν vias, quibus intravit homo in mundum, accurate
ἄνθρωπος εἰς τὸν κόσμον, ἀκριβῶς διδιδαγμένοι cognitas habeamus, permeare et pervadere inte-
ελθεῖν καὶ περᾶσαι τὴν φθορὰν μόνοι δυνάμεθα, ritum possumus soli. Est autem interitus, ait, aqua,
Ἐστι δὲ ἡ φθορά, φησὶ, τὸ ὕδωρ, οὐδὲ ἄλλῳ [95] τινὶ, neque alia quaquam re citius periit mundus quam
φησὶν, ἐφθάρη τάχιον ὁ κόσμος ἢ ὕδατι. Τὸ δὲ ὕδωρ aqua. Aqua autem est id quod circumvolvit in
στὶ τὸ περιεσφαιρωκὸς ἐν τοῖς προαστείοις, λέ- proastiis, aiunt, Cronus; potestas enim, inquit,
ουσιν, ὁ Κρόνος· δύναμις γὰρ, φησὶν, ὑδατόχρους, aquatico colore est ille, quam potestatem, inquit,
ντινα δύναμιν, φησὶ, τουτέστι τὸν Κρόνον, οὐδεὶς hoc est Cronum nemo eorum, qui in genitura ni-
ῶν ἐν γενέσει καθεστώτων διαφυγεῖν δύναται· tuntur, effugere potest. Omni enim genituræ, ut
πάσῃ γὰρ γενέσει πρὸς τὸ ὑποπεσεῖν τῇ φθορᾷ succumbat interitui, in causa Cronus est, nec fieri
ἀνάγκης ἐφίστηκεν ὁ Κρόνος, καὶ οὐκ ἂν γένοιτο B potest, ut genitura exsistat, in qua Cronus non
γένεσις, ἐν ᾗ Κρόνος οὐκ ἐμποδίζει. Τοῦτό ἐστι, intercedat. Hoc est, inquit, quod etiam poetæ di-
φησὶν, ὃ καὶ οἱ ποιηταὶ λέγουσι τὸ καὶ τοὺς cunt illud, quod vel ipsos deos terrore percutit:
θεοὺς ἐκφοβοῦν [96].

Ἴστω γὰρ [97], φησὶ, τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς *Scito enim, inquit, hoc tellus et cœlum vastum superne*
[ὑπερθεν
Καὶ τὸ κατειβόμενον [98] Στυγὸς ὕδωρ ὅστε μέ- *Et destillans Stygis aqua, quod quidem maximum*
[γιστος
Ὅρκος δεινότατός τε πέλει μακάρεσσι [99] θεοῖσιν. *Jusjurandum et gravissimum est beatis diis.*

Οὐ μόνον δὲ τοῦτο, φησὶν, οἱ ποιηταὶ, λέγουσιν, Non solum autem, inquit, hoc poetæ dicunt, sed
ἀλλ' ἤδη καὶ οἱ σοφώτατοι τῶν Ἑλλήνων, ὧν ἐστι jam etiam sapientissimi Græcorum, quorum est
καὶ Ἡράκλειτος [1] εἷς, λέγων [2]· Ψυχῇσι γὰρ θάνατος etiam Heraclitus unus, dicens: *Animabus enim mors,*
ὕδωρ γενέσθαι. Οὗτος, φησὶν, ὁ θάνατος καταλαμ- *aquam fieri* Hæc mors, inquit, deprehendit Ægyptios
βάνει τοὺς Αἰγυπτίους ἐν Ἐρυθρᾷ θαλάσσῃ μετὰ in mari Rubro cum curribus ipsorum. Omnes au-
τῶν ἁρμάτων αὐτῶν. Πάντες δὲ οἱ ἀγνοοῦντες, φη- tem, qui illud ignorant, inquit, Ægyptii sunt. Et
σὶν, εἰσὶν Αἰγύπτιοι. Καὶ τοῦτό ἐστι, λέγουσι [3], τὸ C hoc, aiunt, est exiisse ex Ægypto, e corpore.
ἐξελθεῖν ἐξ Αἰγύπτου, ἐκ τοῦ σώματος. Αἴγυπτον Ægyptum enim esse parvam corpus arbitrantur, et
γὰρ εἶναι μικρὰν τὸ σῶμα νομίζουσι, καὶ περᾶσαι transire mare Rubrum, hoc est interitus aquam,
τὴν θάλασσαν τὴν Ἐρυθρὰν, τουτέστι τῆς φθορᾶς quæ est Cronus, et transiisse mare Rubrum, hoc est
τὸ ὕδωρ, ὅ ἐστιν ὁ Χρόνος, καὶ γενέσθαι πέραν τῆς genituram, et pervenisse in desertum, hoc est extra
Ἐρυθρᾶς θαλάσσης, τουτέστι τῆς γενέσεως, καὶ genituram pervenisse, ubi sunt una omnes dii per-
ἐλθεῖν εἰς τὴν ἔρημον, τουτέστιν ἔξω γενέσεως γενέ- niciei et deus salutis. Sunt autem, inquit, dii per-
σθαι, ὅπου εἰσὶν ὁμοῦ πάντες οἱ θεοὶ τῆς ἀπωλείας niciei stellæ, commutabilis genituræ afferentes iis,
καὶ ὁ Θεὸς τῆς σωτηρίας. Εἰσὶ δὲ, φησὶν, οἱ θεοὶ τῆς quæ exsistunt, necessitatem. Hos, inquit, Moses vo-
ἀπωλείας οἱ ἀστέρες οἱ τῆς μεταβλητῆς γενέσεως cavit serpentes deserti mordentes et perdentes eos,
ἐπιφέροντες τοῖς γινομένοις τὴν ἀνάγκην. Τούτους [4], φησὶν, ἐκάλεσε Μωϋσῆς ὄφεις τῆς ἐρήμου qui se mare Rubrum transgressos esse arbitrantur.
δάκνοντας καὶ διαφθείροντας τοὺς πεπερακέναι **192-193** Morsis igitur, inquit, in deserto filiis
νομίζοντας τὴν Ἐρυθρὰν θάλασσαν. Δακνομέ- Israel demonstravit Moses verum serpentem, per-
νοις [5] οὖν, φησὶν, ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ fectum, cui qui confiderent non mordebantur in de-
[p. 133. 134] ἐπέδειξε Μωϋσῆς τὸν ἀληθινὸν ὄφιν τὸν D serto, hoc est a potestatibus. Nemo igitur, inquit,
τέλειον, εἰς ὃν οἱ πιστεύοντες οὐκ ἐδάκνοντο ἐν τῇ ἐρήμῳ, est qui possit salvare et conservare eos, qui exeunt
τουτέστιν ὑπὸ [6] τῶν δυνάμεων. Οὐδεὶς οὖν, φησὶν, ex terra Ægypto, hoc est ex corpore et ex hoc
ὁ δυνάμενος σῶσαι καὶ ῥύσασθαι τοὺς ἐκπορευομένους mundo, nisi solus perfectus et plenus plenorum ser-
ἐκ γῆς Αἰγύπτου, τουτέστιν ἐκ σώματος καὶ ἐκ pens. In hoc, inquit, qui spem reposuit, a serpen-
tibus deserti non perit, hoc est a diis genituræ.

VARIÆ LECTIONES.

[93] Cf. *Oracula Sibyllina ed. Friedlieb Fragm.* 2, vs. 1, p. 4: Εἰ δὲ γενητὸν ὅλως καὶ φθείρεται, οὐ δύνατ' ἀνδρὸς ἐκ μητέρας τε θεὸς τετυπωμένος εἶναι, κ. τ. λ. [94] δὲ. Δὴ susp. M. [95] ἄλλῳ. ἄλλως C. [96] ἐκφοβοῦν. ἐκφοβέω, novum vocabulum, significat haud dubie *terreo*, nisi legendum ἐκφοβοῦν M. [97] Hom. Od. v, 184 sqq. Ἴστω νῦν τόδε, κ. τ. λ. [98] κατιβόμενον C. [99] μακάρεσι C. [1] Ἡράκλειτος—ὕδωρ γενέσθαι J. Bernaysius in *Ep. critic. ad Bunsenium* l. l. p. 351, collato Heraclideo fragmento 49 *Schleiermacher* p. 117: Ψυχῇσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή. [2] Ἡράκλειτος, εἷς, λέγων. Ψυχῆς εἰ γὰρ — γενέσθαι C, M, qui pro εἰ γὰρ susp. εἴη ἄν. [3] ἐστι, λέγουσι. ἐπιλέγουσι C. [4]. Cfr. IV Mos. XXI, 6 sqq. [5] δακνομένους — τοὺς υἱοὺς C. [6] ὑπό. ἀπὸ C, M.

Digitized by Google

Scriptum est, inquit, in libro Mosis : Hic, inquit, serpens est potestas, quæ comitata est Mosen, virga conversa in serpentem. Adversati enim erant, inquit, potestati Mosis in Ægypto magorum serpentes, dii perniciei, sed omnes eos subjecit et peremit virga Mosis. Universalis serpens, inquit, hic est sapiens Evæ sermo. Hoc, inquit, est mysterium Edem, hoc fluvius ex Edem, hoc signum impositum Cain, ne quis eum reperiens interimeret. Hic est, inquit, Cain, cujus sacrificium non recepit deus hujus mundi, cruentatum autem recepit Abelis ; sanguinibus enim gaudet hujus mundi dominus. Hic est, inquit, is, qui extremis diebus specie humana apparuit temporibus Herodis, factus ad exemplar Josephi venditi ex manu fratrum, cujus solius velamen erat varium. Hic, inquit, est factus ille ad exemplar Esau, cujus vel non præsentis vesti benedictum est, qui non recepit, inquit, cæcam benedictionem, sed ditescebat extrinsecus, nihil a cæcutiente nactus, cujus vidit faciem Jacob, prouti viderit homo faciem Dei. De hoc, inquit, scriptum est : *Ut Nebrod magnificus venator coram Domino.* Sunt autem hujus æmulatores multi, tot numero, quot conspecti sunt in deserto filiis Israel mordentes, a quibus conservavit morsos perfectus ille, quem statuit Moses. Hoc est, inquit, quod dictum est : *Et quemadmodum Moses exaltavit serpentem in deserto, ita exaltari oportet Filium hominis.* Hujus ad exemplar factus est serpens in deserto æneus, quem statuit Moses. Hujus, inquit, solius effigies in cœlo perpetuo est **194-195** in luce conspicua. Hic, inquit, est magnum principium, de quo scriptum est. De hoc, inquit, dictum est : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in principio apud Deum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil. Quod factum est in ipso, vita est.* In ipso autem, inquit, Eva facta est, Eva autem vita. Hæc autem est, inquit, Eva, mater omnium viventium, communis natura, hoc est deorum angelorum, immortalium mortalium, ratione carentium ratione præditorum ; nam qui *omnium* dixit, inquit, omnium dixit. Et si cujus, inquit, oculi beati, hic videbit attollens oculos in cœlum serpentis pulchram imaginem in magno principio cœli sese vertentem et exsistentem principium omnis motus omnibus quæ fiunt, et cognoscet sine illo nihil neque cœlestium neque terrestrium neque infernalium constitisse. Non nox, non luna, non fruges, non genitura, non divitiæ, non migratio, nec omnino quidquam eorum quæ sunt est sine gubernatore illo. In hoc est, inquit, magnum miraculum, quod cernitur iis in cœlo, qui

A τοῦδε τοῦ κόσμου, εἰ μὴ μόνος ὁ τέλειος, ὁ πλήρης τῶν πληρῶν ὄφις [7]. Ἐπὶ τοῦτον, φησὶν, ὁ ἐλπίσας ὑπὸ τῶν ὄφεων τῆς ἐρήμου οὐ διαφθείρεται, τουτέστι τῶν θεῶν τῆς γενέσεως. Γέγραπται, φησὶν, ἐν βίβλῳ Μωσέως· Οὗτος, φησὶν, ὁ ὄφις [8] ἐστὶν ἡ δύναμις ἡ παρακολουθήσασα τῷ Μωσεῖ, ἡ ῥάβδος ἡ στρεφομένη εἰς ὄφιν. Ἀνθεστήκεισαν δὲ, φησὶ, τῇ δυνάμει Μωσέως ἐν [9] Αἰγύπτῳ τῶν μάγων οἱ ὄφεις, οἱ θεοὶ τῆς ἀπωλείας· ἀλλὰ πάντας αὐτοὺς ὑπέταξε καὶ διέφθειρεν ἡ ῥάβδος Μωσέως. Ὁ καθολικὸς ὄφις, φησὶν, οὗτός [10] ἐστιν ὁ σοφὸς τῆς Εὔας λόγος. Τοῦτο, φησὶν, ἐστὶ μυστήριον Ἐδὲμ, τοῦτο ποταμὸς ἐξ Ἐδὲμ, τοῦτο σημεῖον τὸ τεθὲν τῷ Κάϊν, ἵνα πᾶς [11] ὁ εὑρίσκων αὐτὸν μὴ ἀποκτείνῃ. Οὗτος, φησὶν, ἐστὶ B Κάϊν [12], οὗ τὴν θυσίαν οὐ προσεδέξατο ὁ Θεὸς τοῦδε τοῦ κόσμου. Τὴν δὲ ἠμαγμένην προσήκατο τοῦ Ἄβελ· αἵμασι γὰρ χαίρει ὁ τοῦδε τοῦ κόσμου Δεσπότης. Οὗτός ἐστι, φησὶν [13], ὁ ἐν ἐσχάταις ἡμέραις ἐν ἀνθρώπου μορφῇ φανεὶς ἐν τοῖς χρόνοις Ἡρώδου, γενόμενος κατ' εἰκόνα Ἰωσὴφ [14] τοῦ πεπραμένου [15] ἐκ χειρὸς ἀδελφῶν, οὗ μόνου [16] τὸ ἔνδυμα ἦν ποικίλον. Οὗτός ἐστι, φησὶν, ὁ κατ' εἰκόνα Ἡσαῦ, οὗ καὶ μὴ παρόντος ἡ στολὴ εὐλόγηται, ὃς οὐκ ἐδέξατο [17], φησὶ, τὴν ἀμβλυωπὸν [18] εὐλογίαν, ἀλλ' ἐπλούτησεν ἔξωθεν, οὐδὲν ἀπὸ τοῦ ἀμβλυωποῦντος λαβών, οὗ εἶδε τὸ πρόσωπον [19] Ἰακὼβ ὡς ἂν ἴδοι ἄνθρωπος πρόσωπον Θεοῦ. Περὶ τούτου, φησὶ, γέγραπται, ὡς *Νεβρὼδ γίγας κυνηγὸς ἔναντι Κυρίου* [20]. Εἰσὶ δὲ, C φησὶ, τούτου ἀντίμιμοι πολλοὶ, τοσοῦτοι ὅσοι ὤφθησαν ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ δάκνοντες, ἀφ' ὧν ἐρρύσατο τοὺς δακνομένους ὁ τέλειος ἐκεῖνος, ὃν ἔστησε Μωϋσῆς. Τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον· *Καὶ* [21] *ὃν τρόπον* [22] *ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου.* Τούτου κατ' εἰκόνα γέγονεν ὁ ὄφις ἐν τῇ ἐρήμῳ χαλκοῦς, ὃν ἔστησε Μωϋσῆς. Τούτου, φησὶ, μόνου τὸ ὁμοίωμα [p. 134. 135] ἐν τῷ οὐρανῷ διὰ παντός ἐστιν φωτὶ ὁρώμενον. Οὗτος, φησὶν, ἐστὶν ἡ μεγάλη ἀρχὴ, περὶ ἧς γέγραπται. Περὶ τούτου, φησὶν, εἴρηται· *Ἐν ἀρχῇ* [23] *ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·* ὃ D *γέγονεν ἐν αὐτῷ, ζωὴ ἐστιν.* Ἐν αὐτῷ δὲ, φησὶν, ἡ Εὔα γέγονεν, ἡ Εὔα ζωή. Αὕτη δὲ, φησὶν, ἐστὶν ἡ Εὔα, μήτηρ πάντων τῶν ζώντων, κοινὴ φύσις, τουτέστι θεῶν ἀγγέλων, ἀθανάτων θνητῶν, ἀλόγων λογικῶν· ὁ γὰρ *πάντων*, φησὶν, εἰπὼν εἴρηκε πάντων [24]· καὶ εἴ τινος, φησὶν, οἱ ὀφθαλμοὶ μακάριοι, οὗτος ὄψεται ἀναβλέψας εἰς τὸν οὐρανὸν τοῦ ὄφεως τὴν καλὴν εἰκόνα ἐν τῇ μεγάλῃ ἀρχῇ τοῦ οὐρανοῦ στρεφομένην καὶ γινομένην ἀρχὴν πάσης κινήσεως

VARIÆ LECTIONES.

[7] ὄφις ὄφεις C. [8] Cf. II Mos. IV, 2-4, 17, c. VII, 9-13. [9] ἐν om. C. [10] Cf. I Mos. III, 1-7. [11] Cf. I Mos. IV, 15. [12] Cf. I Mos. IV, 3-5. [13] φασὶν C, M. [14] Cf. I Mos. 38, 3 28. [15] πεπραγμένου C. [16] μόνον C, M. [17] Cf. I Mos. XXVII, 15 sqq. [18] ἀμβλυωπόν. Cf. I Mos. XXVII, 1. [19] Cf. I Mos. XXXIII, 10 : Εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ. [20] I Mos. X, 9, ubi ἐναντίον pro ἔναντι. [21] Καὶ καθὼς Μωϋσῆς ὕψωσεν τὸν ὄφιν — ἀνθρώπου. καὶ καθ' M. [22] Ev. Joan. III, 14. [23] Joan. I, 1-4. [24] εἴρηκε πάντων. εἴρηκε τούτων susp. M.

Digitized by Google

τοῖς γινομένοις, καὶ γνώσεται [28] ὅτι χωρὶς [οὐδὲν] [26] οὔτε τῶν οὐρανίων οὔτε τῶν ἐπὶ οὔτε τῶν καταχθονίων συνέστηκεν· οὐ νὺξ, ἡμέρα, οὐ καρποὶ, οὐ γένεσις, οὐ πλοῦτος, οὐχ φρία, οὐδ' ὅλως τι τῶν ὄντων ἐστὶ δίχα σημαίνοντος ἐκείνου. Ἐπὶ τούτου, φησὶν, ἐστὶ τὸ μέγα ι ὁρώμενον ἐν τῷ οὐρανῷ τοῖς δυναμένοις ἰδεῖν. Κατὰ γὰρ, φησὶ, ταύτην τὴν ἄκραν αὐτοῦ τὴν ἡν, ὅπερ πάντων ἀπιστότερον τοῖς οὐκ εἰδόσι, στι περὶ οὗ εἶπεν ἡ ἀγνωσία· *Ἐν οὐρανῷ*

εῖται [29] *μέγα θαῦμα Δράκων δεινοῖο πελώρου.*

Volvitur magnum miraculum draco vasti portenti.

ἐρωθεν δὲ αὐτοῦ [30] παρατέτακται Στέφανος καὶ , καὶ κατ' αὐτὴν ἄνωθεν τὴν κεφαλὴν ἄκραν νὸς ἄνθρωπος, ὁ Ἐν γόνασίν ἐστιν ὁρώμενος,

Ξιτεροῦ ποδὸς ἄκρον ἔχων [30] *σκολιοῖο Δρά-*
[κοντος.

Ab utraque autem parte apposita est corona et lyra et ad ipsum superne summum caput miserabilis homo, qui est in genubus, est conspicuus,

Dextri pedis extremum habens juxta vastum dra-
[conem.

ὰ δὲ τὸν νῶτον τοῦ Ἐν γόνασίν ἐστιν ἀτελὴς ἀμφοτέραις ταῖς χερσὶ κατεσφιγμένος ὑπὸ τοῦ οὐχου, καὶ κωλυόμενος ἐφάψασθαι τοῦ στεφάνου κειμένου τῷ τελείῳ ὄφει.

Ad dorsum autem ejus, qui in genubus est, imperfectus est serpens, ambabus manibus constrictus ab ophiucho et prohibitus attingere coronam adjacentem perfecto serpenti.

17. Αὕτη ἡ παμποίκιλος σοφία τῆς [31] Περατικῆς ἱρέσεως, ἣν ἐξειπεῖν πᾶσαν δυσχερὲς, οὕτως οὖσαν λιὰν διὰ τὸ ἐκ τῆς ἀστρολογικῆς δοκεῖν συνάναι. Καθὸ οὖν δυνατὸν ἦν, δι' ὀλίγων πᾶσαν αὐτῆς δύναμιν ἐκτεθείμεθα. Ἵνα δὲ δι' [p. 135—137] τομῆς τὴν πᾶσαν αὐτῶν γνώμην ἐκθώμεθα, δοκεῖ οσθεῖναι ταῦτα. Ἔστι κατ' αὐτοὺς [32] τὸ πᾶν πα-ρ, υἱὸς, ὕλη· τούτων τῶν τριῶν ἕκαστον ἀπείρους ει δυνάμεις ἐν ἑαυτῷ. Καθέζεται οὖν μέσος τῆς ης καὶ τοῦ πατρὸς ὁ υἱὸς, ὁ λόγος, ὁ ὄφις ἀεὶ νούμενος πρὸς ἀκίνητον τὸν πατέρα καὶ κινουμέ-ην τὴν ὕλην, καί ποτε μὲν στρέφεται πρὸς τὸν ατέρα, καὶ ἀναλαμβάνει τὰς δυνάμεις εἰς τὸ πρόσ-πον ἑαυτοῦ, ἀναλαβὼν δὲ τὰς δυνάμεις στρέφεται ρὸς τὴν ὕλην, καὶ ἡ ὕλη ἄποιος οὖσα καὶ ἀσχημά-ιστος ἐκτυποῦται τὰς ἰδέας ἀπὸ τοῦ υἱοῦ, ἃς ὁ υἱὸς πὸ τοῦ πατρὸς ἐτυπώσατο. Ἐκτυποῦται δὲ ὁ μὲν ἱὸς ἀπὸ τοῦ πατρὸς ἀῤῥήτως καὶ ἀλάλως καὶ ἀμε-ταστάτως, οὕτως ὡς φησι Μωϋσῆς ἀπὸ τῶν ῥάβδων τῶν ἀπὸ τῶν ποτιστηρίων ῥερευκέναι τὰ χρώματα τῶν ἐγκεκισσημένων. Ὁμοίως δ' αὖ καὶ ἀπὸ τοῦ υἱοῦ ἐπὶ τὴν ὕλην ῥερευκέναι τὰς δυνάμεις κατὰ τὸ ἐγκίσσημα τῆς δυνάμεως τῆς ἀπὸ τῶν ῥάβδων ἐπὶ τὰ ἐγκεκισσημένα· ἡ δὲ διαφορὰ τῶν χρωμάτων καὶ ἡ ἀνομοιότης ῥεύσασα ἀπὸ τῶν ῥάβδων διὰ τῶν ὑδάτων ἐπὶ τὰ πρόβατα διαφορὰ, φησὶ, γενέσεώς ἐστι φθαρτῆς καὶ ἀφθάρτου· μᾶλλον δὲ ὥσπερ ζω-γραφῶν ἀπὸ τῶν ζώων μηδὲν ἀφαιρούμενος τῇ γρα-φίδι πάσας ἐπὶ τὸν πίνακα μεταφέρει τὰς ἰδέας ἐγ-γράφων, οὕτως ὁ υἱὸς τῇ δυνάμει τῇ ἑαυτοῦ ἀπὸ τοῦ πατρὸς ἐπὶ τὴν ὕλην τοὺς πατρικοὺς μεταφέρει χα-ρακτῆρας. Ἔστιν οὖν πάντα τὰ πατρικὰ ἐνθάδε καὶ οὐδέν. Εἰ γάρ τις, φησὶν, ἐξισχύσει τῶν ἐνθάδε κα-τανοηθῆναι [33] ὅτι ἔστι [34] πατρικὸς χαρακὴρ ἄνωθεν

Ad dorsum autem ejus, qui in genubus est, imperfectus est serpens, ambabus manibus constrictus ab ophiucho et prohibitus attingere coronam adjacentem perfecto serpenti.

17. Hæc pervaria sapientia hæresis Peraticæ, quam edicere universam arduum est, tam pravam illam, quia ex astrologorum arte videtur deducta esse. Quantum igitur fieri poterat, paucis omnem vim ejus exposuimus. Ut autem per compendium **196-197** omnem eorum doctrinam explicemus, placet addere hæc. Est secundum illos universum pater, filius, materia. Horum trium unumquodque infinitas habet potestates in sese. Consedit igitur medius inter materiam et patrem filius, logus, serpens, semper sese movens ad immotum patrem et sese moventem materiam, et aliquando vertitur ad patrem et recipit potestates in personam suam; postquam autem recepit potestates, vertitur ad materiam, et materia, carens qualitate et figura, in se effingit ideas a filio, quas filius a patre in se effluxit. Effingitur autem filius a patre ineffabiliter et invocaliter et intransitive sic uti dicit Moses a virgis ex potisteriis conspicuis fluxisse colores conceptorum fetuum. Similiter autem rursus etiam a filio in materiam fluxisse potestates ad instar infetationis potestatis quæ redundabat a virgis ad conceptus fetus. Differentia autem colorum et dissimilitudo, quæ fluxit a virgis per aquas ad oves, differentia, inquit, generationis est mortalis et immortalis. Potius autem sicut pingens ab animalibus nihil auferens stylo omnes in tabulam transfert species inscribendo, ita filius potestate sua ipsius a patre ad materiam paternas transfert notas. Sunt igitur omnia paterna hic, nec quidquam. Nam si quis, inquit, valebit eorum, qui hic sunt, perspexisse paternam se esse notam desuper translatam huc, incarnatam, quasi gravidatione redundante a virga, album quid factus est, ejusdem naturæ cum

VARIÆ LECTIONES.

[28] καὶ γνώσεται, γνώσετε C, γνώσεται M. [26] οὐδὲν om. C. [27] Cf. Arat. v. 62 et supra p. 116, 95: *Μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλησιν.* [29] Cf. Arat. v. 46: Εἱλεῖται μέγα θαῦμα, Δράκων, περί τ' ἀμφί τ' ἰαγὼς Μυρίος, et supra p. 116, 84: *Μέγα θαῦμα Δράκοντος πελώρου* [30] Cf. supra p. 118, 12. [30] ποδὸς ἄκρον ἔχει Aratus v. 70, ποδὸς ἴχνος ἔχων supra p. 116, 11. [31] τῆς om. C. [32] Cf. 1 Mos. xxx, 37 sqq. [33] κατα-νοηθῆναι, καὶ ἐννοηθῆναι C, ὡς ἐννοηθῆναι suspr. M. [34] ἐστὶ. Ἔσται C, M.

Digitized by Google

patre, qui est in cœlis, penitus, et illuc revertitur; sin autem carebit hac doctrina nec necessitatem genituræ intellexerit, ut abortivus, sub noctem natus, sub noctem peribit. Quando igitur, inquit, dicit Salvator : *Pater vester, qui est in cœlis*, illum dicit, a quo mutuatus filius notas transtulit huc; quando autem dicit : *Vester vater ab initio homicida est*, principem et opificem materiæ dicit, qui recepit traditas a filio notas et hic generavit, qui est **198-199** ab initio homicida, nam quod opus ejus est, interitum et mortem gignit. Nemo igitur, inquit, potest servari absque filio nec reverti, qui est serpens. Ut enim detulit desuper paternas notas, sic rursus hinc refert ex somno excitatas et factas paternas notas substantiales ex non substantiali, hinc illuc transferens. Hoc est, inquit, illud quod dictum est : *Ego sum porta*. Transfert autem, inquit, ... ut naphtha ignem undique in se attrahens, vel potius sicuti Herculeus lapis ferrum, aliud autem nihil, vel sicut marini accipitris spina aurum, aliud autem nihil, vel sicuti ducitur ab electro palea; sic, inquit, a serpente retrahitur a mundo effigiatum perfectum genus ejusdem naturæ, aliud autem nihil, pronti ab eo demissum est. Ad hanc demonstrationem adhibent cerebri resectionem, ipsum quidem cerebrum assimilantes patri propter immobilitatem, cerebellum autem filio, propterea quod et movetur et serpentis simile est, quod arcano et obscuro modo attrahere ad se per glandulam dictitant ex camario emanantem spiritualem et genitalem vim, qua recepta cerebellum sicut filius tacite tradit materiæ ideas, hoc est in medullam dorsalem transmanant semina et genera generatorum carnaliter. Hoc exemplo usi scite videntur subintroducere arcana sua tacite tradita mysteria, quæ eloqui nobis nefas, tamen per ea quæ dicta sunt pervidere facile est.

A μετενηνεγμένος ἐνθάδε σωματοποιηθείς, ὥσπερ ἐγκισσήματι τῷ [88] ἀπὸ τῆς ῥάβδου, λευκὸν γέγονεν, ὁμοούσιον τῷ πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς ὅλως [89]. καὶ ἐκεῖ ἀνέρχεται [87]· ἐὰν δὲ μὴ τύχῃ τῆς διδασκαλίας ταύτης, μηδὲ τὴν ἀνάγκην τῆς γενέσεως ἐπιγνῷ, ὥσπερ ἔκτρωμα ὑπὸ νύκτα γεννώμενον ὑπὸ νύκτα ἀπολεῖται. Ὅταν οὖν, φησὶ, λέγῃ [90] ὁ Σωτήρ· *Ὁ Πατὴρ ὑμῶν* [91] *ὁ ἐν τοῖς οὐρανοῖς*, ἐκεῖνον λέγει, ἀφ' οὗ ὁ υἱὸς μεταλαβὼν τοὺς χαρακτῆρας μετενήνοχεν ἐνθάδε· ὅταν δὲ λέγῃ· *Ὁ ὑμέτερος πατὴρ* [92] *ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶ*, τὸν ἄρχοντα καὶ δημιουργὸν τῆς ὕλης λέγει. ὃς [93] ἀναλαβὼν τοὺς διαδοθέντας ἀπὸ τοῦ υἱοῦ χαρακτῆρας | ἐγέννησεν ἐνθάδε. ὃς ἐστιν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος· τὸ γὰρ ἔργον αὐτοῦ φθορὰν καὶ θάνατον ἐργάζεται. [p. 137.

B 138] Οὐδεὶς οὖν, φησὶ, δύναται σωθῆναι δίχα [94] τοῦ υἱοῦ οὐδὲ ἀνελθεῖν, ὅς ἐστιν ὁ ὄφις. Ὡς γὰρ κατήνεγκεν ἄνωθεν τοὺς πατρικοὺς χαρακτῆρας, οὕτως πάλιν ἐντεῦθεν ἀναφέρει τοὺς ἐξυπνισμένους [95] καὶ γεγονότας πατρικοὺς χαρακτῆρας ὑποστάτους ἐκ τοῦ ἀνυποστάτου ἐντεῦθεν ἐκεῖ μεταφέρων. Τοῦτ' ἔστι, φησὶ, τὸ εἰρημένον· *Ἐγώ εἰμι ἡ θύρα* [96]. Μεταφέρει [97] δὲ, φησὶ, ... καμμοῦσιν ὀφθαλμοῦ βλεφάρου, ὥσπερ ὁ νάφθας [98] τὸ πῦρ πανταχόθεν εἰς ἑαυτὸν ἐπισπώμενος, μᾶλλον δὲ ὥσπερ ἡ Ἡρακλεία λίθος τὸν σίδηρον, ἄλλο [δὲ] [99] οὐδὲν, ἢ ὥσπερ ἡ τοῦ θαλασσίου ἱέρακος κερκὶς τὸ χρυσίον, ἕτερον δὲ οὐδέν· ἢ ὥσπερ ἄγεται ὑπὸ [100] τοῦ ἠλέκτρου τὸ ἄχυρον, οὕτω, φησὶν, ὑπὸ τοῦ ὄφεως ἄγεται πάλιν ἀπὸ τοῦ

C κόσμου τὸ ἐξεικονισμένον τέλειον γένος ὁμοούσιον, ἄλλο [101] δὲ οὐδὲν, καθὼς ὑπ' αὐτοῦ κατεπέμφθη. Πρὸς ταύτην [102] τὴν ἀπόδειξιν φέρουσι τὴν τοῦ ἐγκεφάλου ἀνατομὴν, αὐτὸν μὲν τὸν ἐγκέφαλον ἀπεικονίζοντες τῷ πατρὶ διὰ τὸ ἀκίνητον, τὴν δὲ παρεγκεφαλίδα τῷ υἱῷ διά τε τὸ κινεῖσθαι καὶ δρακοντοειδῆ ὑπάρχειν, ἣν ἀῤῥήτως καὶ ἀσημάντως ἐπισπᾶσθαι διὰ τοῦ κωναρίου φάσκουσι τὴν ἐκ τοῦ καμαρίου [103] ἀπορῥέουσαν πνευματικὴν καὶ ζωογόνον οὐσίαν. ἣν ὑποδεξαμένη ἡ παρεγκεφαλὶς ὥσπερ ὁ υἱὸς, ἀλάλως [104] μεταδίδωσι τῇ ὕλῃ τὰς ἰδέας, τουτέστιν ἐπὶ τὸν νωτιαῖον μυελὸν διαῤῥέει τὰ σπέρματα καὶ τὰ γένη τῶν γεννωμένων [105] κατὰ σάρκα. Τούτῳ τῷ παραδείγματι χρώμενοι εὐφυῶς δοκοῦσι παρεισάγειν τὰ ἄῤῥητα αὐτῶν ἀλάλως [106] παραδιδόμενα μυστήρια, ἃ ἐξεῖπεῖν ἡμῖν οὐ θέμις, ὅμως [107] δὲ νοῆσαι διὰ τῶν εἰρημένων εὔκολον.

18. Verum cum Peraticam hæresim mihi videar aperte exposuisse et multis manifestam reddidisse latentem antea et omnia commiscentem cum omnibus celantemque virus suum, placet nihil jam ultra hæc arguere, cum sufficiant ad arguendos eos ipsorum placita.

ιη'. Ἀλλ' ἐπεὶ καὶ τὴν Περατικὴν αἵρεσιν νομίζω

D φανερῶς ἐκτεθεῖσθαι καὶ διὰ πολλῶν ἐκδηλον πεποιηκέναι διαλαθοῦσαν [108] καὶ πάντα πᾶσι [109] συντιθεμένην, ἀποκρύπτουσάν τε τὸν ἴδιον ἰὸν, δοκεῖ μηδὲν περαιτέρω τούτων κατηγορεῖν, ἱκανῶν ὄντων πρὸς κατηγορίαν αὐτῶν τῶν ὑπ' αὐτῶν δογματιζομένων.

VARIÆ LECTIONES.

ιδ'. Μωσέως οὖν εἰρηκότος· *Ἓξ ἡμέραις*[53] *ἐν αἷς* B *ὁ Θεὸς | ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ*, τὸν εἰρημένον τρόπον μετοικονομήσας ὁ Σίμων ἑαυτὸν θεοποιεῖ. Ὅταν οὖν λέγωσιν, ὅτι εἰσὶ τρεῖς ἡμέραι πρὸ ἡλίου καὶ σελήνης γεγενημέναι, αἰνίσσονται νοῦν καὶ ἐπίνοιαν, τουτέστιν οὐρανὸν καὶ γῆν, καὶ τὴν ἑβδόμην δύναμιν τὴν ἀπέραντον. Αὗται γὰρ αἱ τρεῖς δυνάμεις εἰσὶ πρὸ πασῶν τῶν ἄλλων γενόμεναι. Ὅταν δὲ λέγωσι· *Πρὸ πάντων*[54] *τῶν αἰώνων γεννᾷ με*, περὶ τῆς ἑβδόμης, φησὶ, δυνάμεως τὰ τοιαῦτα λέγεται εἶναι. Ἑβδόμη δὲ αὕτη δύναμις, ἥτις ἦν δύναμις ὑπάρχουσα ἐν τῇ ἀπεράντῳ δυνάμει, ἥτις γέγονε πρὸ πάντων τῶν αἰώνων, αὕτη ἐστὶ, φησὶν, ἡ ἑβδόμη δύναμις, περὶ ἧς λέγει Μωσῆς· *Καὶ Πνεῦμα Θεοῦ*[55] *ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος*· τουτέστι, C φησὶ, τὸ Πνεῦμα τὸ πάντα ἔχον[56] ἐν ἑαυτῷ, εἰκὼν τῆς ἀπεράντου δυνάμεως, περὶ ἧς ὁ Σίμων λέγει· *Εἰκὼν ἐξ ἀφθάρτου μορφῆς, κοσμοῦσα μόνη πάντα.* Αὕτη γὰρ ἡ δύναμις, ἡ ἐπιφερομένη ἐπάνω τοῦ ὕδατος ἐξ ἀφθάρτου, φησὶ, γεγενημένη μορφῆς κοσμεῖ μόνη πάντα. Τοιαύτης οὖν τινος καὶ παραπλησίου τῆς κατασκευῆς τοῦ κόσμου γενομένης παρ' αὐτοῖς, ἔπλασε[57], φησὶν, ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς λαβών· ἔπλασε δὲ οὐχ ἁπλοῦν, ἀλλὰ διπλοῦν κατ' εἰκόνα καὶ [p. 167—169] καθ' ὁμοίωσιν. Εἰκὼν δέ ἐστι τὸ πνεῦμα τὸ ἐπιφερόμενον[58] ἐπάνω τοῦ ὕδατος, ὃ ἐὰν μὴ ἐξεικονισθῇ, μετὰ τοῦ κόσμου ἀπολεῖται, δυνάμει μεῖναν μόνον καὶ μὴ ἐνεργείᾳ γενόμενον. Τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον· *Ἵνα* D *μὴ*[59] *σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Ἐὰν δὲ ἐξεικονισθῇ καὶ γένηται ἀπὸ στιγμῆς ἀμερίστου, ὡς γέγραπται ἐν τῇ | Ἀποφάσει, τὸ μικρὸν μέγα γενήσεται. Τὸ δὲ μέγα ἔσται εἰς τὸν ἄπειρον αἰῶνα καὶ ἀπαράλλακτον[60] τὸ μηκέτι γινόμενον. Πῶς οὖν καὶ τίνα τρόπον, φησὶ, πλάσσει[61] τὸν ἄνθρωπον ὁ Θεός; Ἐν παραδείσῳ, οὕτως γὰρ αὐτῷ δοκεῖ. Ἔστω, φησὶ, παράδεισος ἡ μήτρα, καὶ ὅτι τοῦτό ἐστιν ἀλη-

VARIÆ LECTIONES.

[49] ὑποδέχεται C. [50] ἐπιννοίας C. [51] Isa. I, 2. [51] ὁ ante ἑστὼς om. C. M. [52] Cf. I Mos. I, 31. [53] I Mos. II, 2 : Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε, coll. II Mos. XX, 11 : Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. [54] Fort. e Proverbb. Salom. VIII, 23-25. [55] I Mos. I, 2. [56] τὸ πάντα ἔχον. τῷ πάντα ἔχειν C. [57] Cf. II Mos. II, 7; coll. I Mos. I, 26,27. [58] τοῦ ἐπιφερομένου C. [59] I Cor. II, 32. [60] ἀπαράλακτον C. [61] πλάσεις C.

Digitized by Google

θὲς ἡ Γραφὴ διδάξει ὅτε λέγει· *Ἐγώ εἰμι*[65] *ὁ πλάσσων*[66] *σε ἐν μήτρᾳ μητρός σου.* Καὶ τοῦτο γὰρ οὕτω θέλει γεγράφθαι. Τὸν παράδεισον, φησὶν, ἀλληγορῶν ὁ Μωσῆς τὴν μήτραν εἴρηκεν, εἴπερ δεῖ τῷ λόγῳ πιστεύειν. Εἰ δὲ πλάσσει ὁ Θεὸς ἐν μήτρᾳ μητρὸς τὸν ἄνθρωπον, τουτέστιν ἐν παραδείσῳ, ὡς ἔφην, ἔστω παράδεισος ἡ μήτρα, Ἐδὲμ δὲ τὸ χωρίον, *ποταμὸς ἐκπορευόμενος*[67] *ἐξ Ἐδὲμ ποτίζειν*[68] *τὸν παράδεισον* ὁ ὀμφαλός. Οὗτος, φησὶν, ἀφορίζεται ὁ ὀμφαλὸς εἰς τέσσαρας ἀρχὰς, ἑκατέρωθεν γὰρ τοῦ ὀμφαλοῦ δύο εἰσὶν ἀρτηρίαι παρατεταμέναι[69], ὀχετοὶ πνεύματος, καὶ δύο φλέβες, ὀχετοὶ αἵματος. Ἐπειδὴν[70] δὲ, φησὶν, ἀπὸ τοῦ Ἐδὲμ χωρίου ἐκπορευόμενος ὁ ὀμφαλὸς ἐμφυῇ τῷ γενομένῳ κατὰ τὸ ἐπιγάστριον, ὃν κοινῶς πάντες προσαγορεύουσιν ὀμφαλὸν[71].... αἱ δὲ δύο φλέβες, δι' ὧν ῥεῖ καὶ φέρεται ἀπὸ τοῦ Ἐδὲμ τοῦ χωρίου τὸ αἷμα κατὰ τὰς καλουμένας πύλας τοῦ ἥπατος, αἵτινες τὸ γεννώμενον τρέφουσιν· αἱ δὲ ἀρτηρίαι, ἃς ἔφημεν ὀχετοὺς εἶναι πνεύματος, ἑκατέρωθεν περιλαβοῦσαι[72] τὴν κύστιν κατὰ τὸ πλατὺ ὀστοῦν, πρὸς τὴν μεγάλην συνάπτουσιν ἀρτηρίαν, τὴν κατὰ ῥάχιν καλουμένην ἀορτὴν, καὶ οὕτω; διὰ τῶν παραθύρων ἐπὶ τὴν καρδίαν ὀδεῦσαν τὸ πνεῦμα κίνησιν ἐργάζεται τῶν ἐμβρύων. Πλαττόμενον γὰρ τὸ βρέφος ἐν τῷ παραδείσῳ οὔτε τῷ στόματι τροφὴν | λαμβάνει, οὔτε ταῖς ῥισὶν ἀναπνέει· ἐν ὑγροῖς γὰρ ὑπάρχοντι αὐτῷ παρὰ πόδας ἦν ὁ θάνατος· εἰ ἀνέπνευσεν· ἐπεσπάσατο γὰρ ἂν ἀπὸ τῶν ὑγρῶν καὶ ἐφθάρη. Ἀλλὰ γὰρ ὅλον περιέσφιγκται τῷ καλουμένῳ χιτῶνι ἀμνίῳ, τρέφεται δὲ δι' ὀμφαλοῦ καὶ διὰ τῆς κατὰ ῥάχιν, ὡς ἔφην, τὴν τοῦ πνεύματος οὐσίαν λαμβάνει.

A Moses uterum dixit, siquidem licet logo credere. Si vero format Deus in utero matris hominem, hoc est in paradiso, ut dicebam, esto paradisus uterus, Edem autem regio illa, fluvius egrediens ex Edem ad irrigandum paradisum umbilicus. Hic, inquit, dividitur umbilicus in quatuor capita. Ab utraque enim parte umbilici quæ sunt arteriæ juxta tensæ, canales spiritus, et duæ venæ, canales sanguinis. Ubi autem, inquit, ex Edem regione egrediens umbilicus increscet nascenti circa epigastrium, quem communi usu universi appellant umbilicum . . . . duæ autem illæ venæ, per quas fluit et fertur ab Edem regione sanguis per portas, quæ dicuntur hepatis, quæ nascens alunt; arteriæ autem illæ, quas diximus canales esse sanguinis, ab utraque B parte amplexæ vesicam circa pelvim magnam arteriam contingunt, hoc est quæ per dorsum vocatur aortam, et ita per ostia in cor permeans spiritus motum efficit uterinorum. Dum enim formatur infans in paradiso, neque ore alimentum accipit, neque naribus respirat; in humidis enim versanti erat ei ante pedes mors si respiraret, duxisset enim ex humidis et peremptus esset. Verumenimvero circumvolutus est totus tunica, quæ dicitur amnium, alitur autem per umbilicum, et per dorsalem, ut dicebam, arteriam spiritus essentiam accipit.

[p. 169. 170] ιε'. Ὁ οὖν ποταμὸς, φησὶν, ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ εἰς τέσσαρας ἀφορίζεται ἀρχὰς, ὀχετοὺς τέσσαρας, τουτέστιν εἰς τέσσαρας αἰσθήσεις τοῦ γεννωμένου, ὅρασιν, ἀκοὴν[73], ὄσφρησιν, γεῦσιν καὶ ἁφήν. Ταύτας γὰρ ἔχει μόνας τὰς αἰσθήσεις ἐν τῷ παραδείσῳ πλασσόμενον τὸ παιδίον. Οὗτος, φησὶν, ἐστὶν ὁ νόμος, ὃν ἔθηκε Μωσῆς, καὶ πρὸς τοῦτον αὐτὸν τὸν νόμον γέγραπται τῶν βιβλίων ἕκαστον, ὡς αἱ [74] ἐπιγραφαὶ δηλοῦσι. Τὸ πρῶτον βιβλίον Γένεσις· ἤρκει, φησὶ, πρὸς γνῶσιν τῶν ὅλων ἡ ἐπιγραφὴ τοῦ βιβλίου. Αὕτη γὰρ, φησὶν, ἐστὶν ἡ Γένεσις ὁράσις, εἰς ἣν ἀφορίζεται ποταμοῦ σχίσις ἡ μία. Ἐθεάθη γὰρ ὁ κόσμος ἐν ὁράσει. Ἡ ἐπιγραφὴ[75] βιβλίου δευτέρου Ἔξοδος. Ἔδει γὰρ τὸ γεννηθὲν, τὴν Ἐρυθρὰν διοδεῦσαν θάλασσαν[76], ἐλθεῖν ἐπὶ τὴν ἔρημον (Ἐρυθρὰν δὲ λέγει, φασὶ, τὸ αἷμα), καὶ γεύσασθαι πικρὸν ὕδωρ. Πικρὸν γὰρ, φησὶν, ἐστὶ τὸ ὕδωρ τὸ μετὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὅπερ ἐστὶν ὁδὸς τῆς κατὰ τὸν βίον γνώσεως τῶν ἐπιπόνων ὁδευομένη καὶ πικρῶν. Στραφὲν δὲ ὑπὸ Μωσέως,

C **246-247** 15. Fluvius igitur, inquit, egrediens ex Edem dividitur in quatuor capita, canales quatuor, hoc est in quatuor sensus nati, visum, auditum, olfactum, gustum et tactum. Hos enim solos habet sensus in paradiso figuratus infans. Hæc est, inquit, lex quam posuit Moses et ad hanc ipsam legem scripti sunt singuli libri, ut inscriptiones declarant. Primus liber Genesis. Sufficiebat, inquit, ad cognitionem universæ rei inscriptio libri. Hæc enim, inquit, est Genesis visus, in quem dividitur fluvii sectio una. Conspectus enim est mundus per visum. Inscriptio rursus alterius libri Exodus. Oportebat enim id quod natum erat permeato mari Rubro pervenire in desertum (mare Rubrum autem, inquiunt, dicit sanguinem) et gustare amaram aquam. Amara D enim, inquit, est aqua, quæ est post mare Rubrum, quæ quidem est quod conficitur iter per vitam cognitionis aerumnosorum et amarorum. Conversum autem a Mose, hoc est a logo, amarum illud evadet dulce. Et hæc ita se habere vulgo licet ab universis

VARIÆ LECTIONES.

[65] Fort. cfr. Jerem. I, 5 : Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ. [66] ὁ πλάσων C. [67] Cf. I Mos. II, 10 : Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. [68] ποτίζει C. [69] παρατεταγμέναι C, M, [70] Ἔπειτα — ἐμφύεται signo lacunæ omisso susp. Christ. Petersen, coll. Galeno *in Hippocr. De Alimento* p. 290 *ed. Chart.* VI, p. 387 *Kühn.* XV. [71] Signavimus lacunam hoc potius loco quam post ἐπιγάστριον, ubi M. [72] περιλαβοῦσαι. μὲν λαβοῦσαι C, συλλαβοῦσαι M, μεταλαβοῦσαι R. Scottus. [73] Delendum ἀκοὴν, ut ex sequentibus liquido apparet. M ; quod secus est. [74] αἱ ante ἐπιγραφαὶ om. C, M. [75] Ἡ ἐπιγραφή. Αὖ γραφὴ C, Αὖ ἐπιγραφὴ susp. M. [76] Cf. cum his II Mos. XV, 22-26.

Digitized by Google

exaudire, qui poetas secuti dicunt :

Radice quidem atrum erat, tacti autem simile flore;
Holy autem ea vocant dii, arduum autem est ad effo-
[diendum.
Hominibus certe mortalibus; dii autem profecto om-
[nia possunt.

16. Sufficit, inquit, quod dictum est a gentibus ad cognitionem universæ rei iis, qui habent aures auditus. Nam hunc, inquit, fructum qui gustavit, a Circe non in bestiam mutatus est solus, verum etiam eos, qui jam mutati erant, viribus talis fructus usus in primam illam peculiarem eorum reformavit et reflinxit et revocavit speciem. Fidelis autem vir isque dilectus a veneficia illa per lacteum et divinum illum fructum, inquit, invenitur. Leviticus similiter tertius liber, qui quidem est olfactus vel respiratio. Sacrificiorum enim et oblationum est universus iste liber. Ubicunque autem est sacrificium, odor quidam suavis odoramenti a sacrificio per suffimenta exsistit, circa quod odoramentum olfactum esse experimentum. Numeri, quartus **248-249** librorum, gustum dicit, ubi sermo operatur. Propterea enim quod loquitur omnia, appellatione numeri vocatur. Deuteronomium autem, inquit, est ad tactum formati infantis inscriptum. Sicuti enim tactus ea, quæ a reliquis sensibus conspecta sunt, tangendo recapitulat et confirmat, durum aut calidum aut lubricum probans, ita quintus liber legis recapitulatio est quatuor superiorum librorum.

Omnia igitur, inquit, non generata exstant in nobis per potestatem, non efficientia, ut ars grammatica aut geometrica. Ubi igitur nacta erunt institutionem idoneam et informationem, et convertetur amarum in dulce, hoc est lanceæ in falces et gladii in vomeres : Non erunt paleæ et ligna nata igni, sed fructus perfectus, effigiatus, ut dicebam, similis et compar non generatæ et infinitæ potestati. Ubi autem manebit arbor sola fructum non ferens, non effigiata deletur. Prope enim, inquit, securis est ad radices arboris. Omnis, inquit, arbor non ferens bonum fructum exciditur et in ignem conjicitur.

17. Est igitur secundum Simonem beatum illud et indelebile in quovis absconditum potestate, non efficientia, id quod est is qui stat, stetit, stabit, qui stat supra in non generata potestate, qui stetit infra in flumine aquarum, in imagine generatus, qui stabit supra juxta beatam infinitam potestatem, si effigia-

A τουτέστι τοῦ λόγου, τὸ πικρὸν [76] ἐκεῖνο γίνεται γλυκύ. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κοινῇ πάντων ἐστὶν ἀκοῦσαι κατὰ τοὺς ποιητὰς λεγόντων·

Ῥίζῃ μὲν [77] *μέλαν* [ἔσκε] [78], *γάλακτι δὲ εἶκελον ἄνθος·*
Μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται [79].

ιγ'. Ἀρκεῖ, φησὶ, τὸ [80] λεχθὲν ὑπὸ τῶν ἐθνῶν πρὸς ἐπίγνωσιν τῶν ὅλων τοῖς ἔχουσιν ἀκοὰς [τῆς ἀ]κοῆς [81]· τούτου γάρ, φησὶν, ὁ γευσάμενος τοῦ καρποῦ ὑπὸ τῆς Κίρκης οὐκ ἀπεθηριώθη μόνος, ἀλλὰ καὶ τοὺς ἤδη τεθηριωμένους τῇ δυνάμει χρώμενος τοῦ τοιούτου καρποῦ εἰς τὸν πρῶτον ἐκεῖνον τὸν ἴδιον αὐτῶν ἀνέπλασε [82] καὶ ἀνετύπωσε καὶ ἀνεκαλέσατο χαρακτῆρα. Πιστὸς δὲ ἀνὴρ καὶ ἀγαπώμενος ὑπὸ τῆς φαρμακίδος ἐκείνης διὰ τὸν γαλακτώδη καὶ θεῖον ἐκεῖνον καρπὸν, φησὶν, εὑρίσκεται. Λευιτικὸν ὁμοίως τὸ τρίτον βιβλίον, ὅπερ ἐστὶν ἡ ὀσφρησις ἢ [83] ἀναπνοή. Θυσιῶν γάρ ἐστι καὶ προσφορῶν ὅλον ἐκεῖνο τὸ βιβλίον. Ὅπου δέ ἐστι θυσία, ὀσμή τις εὐωδίας ἀπὸ τῆς θυσίας διὰ τῶν θυμιαμάτων γίνεται· περὶ ἣν εὐωδίαν ὀσφρησιν [p. 170. 171] εἶναι δ[οκιμαστή]ριον. Ἀριθμοὶ τὸ τέταρτον τῶν βιβλίων γεῦσιν λέγει, ὅπου λόγος ἐνεργεῖ. Διὰ γὰρ τοῦ λαλεῖν πάντα ἀριθμοῦ τάξει καλεῖται. Δευτερονόμιον δὲ, φησὶν, ἐστὶ πρὸς τὴν ἁφὴν τοῦ πεπλασμένου παιδίου ἐπιγεγραμμένον. Ὥσπερ γὰρ ἡ ἁφὴ τὰ ὑπὸ τῶν ἄλλων αἰσθήσεων ὁραθέντα θιγοῦσα ἀνακεφαλαιοῦται καὶ βεβαιοῖ, σκληρὸν ἢ θερμὸν ἢ γλίσχρον δοκιμάσασα, οὕτως τὸ πέμπτον βιβλίον τοῦ νόμου ἀνακεφαλαίωσίς ἐστι τῶν πρὸ αὐτοῦ γραφέντων τεσσάρων.

Πάντα οὖν, φησὶ, τὰ ἀγέννητά ἐστιν ἐν ἡμῖν δυνάμει, οὐκ ἐνεργείᾳ, ὡς ἡ γραμματικὴ ἢ γεωμετρική [84]· Ἐὰν οὖν τύχῃ τοῦ λόγου τοῦ προσήκοντος καὶ διδασκαλίας, καὶ στραφήσεται τὸ πικρὸν εἰς γλυκὺ, | τουτέστιν αἱ ζιβύναι [85] εἰς δρέπανα καὶ αἱ μάχαιραι εἰς ἄροτρα, οὐκ ἔσται ἄχυρα καὶ ξύλα τὰ γεννώμενα πυρὶ, ἀλλὰ καρπὸς τέλειος ἐξεικονισμένος, ὡς ἔφην, ἴσος καὶ ὅμοιος τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει. Ἐὰν δὲ μείνῃ δένδρον μόνον, καρπὸν μὴ ποιοῦν, μὴ [86] ἐξεικονισμένον ἀφανίζεται. Ἐγγὺς γάρ που [87], φησὶν, ἡ ἀξίνη παρὰ τὰς ῥίζας τοῦ δένδρου· πᾶν δένδρον, φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

ιζ'. Ἔστιν οὖν κατὰ τὸν Σίμωνα τὸ μακάριον καὶ ἄφθαρτον ἐκεῖνο ἐν παντὶ κεκρυμμένον δυνάμει, οὐκ ἐνεργείᾳ, ὅπερ ἐστὶν ὁ ἑστὼς, στὰς, στησόμενος· ἑστὼς ἄνω ἐν τῇ ἀγεννήτῳ δυνάμει· στὰς κάτω ἐν τῇ ῥοῇ τῶν ὑδάτων ἐν εἰκόνι γεννηθείς, στησόμενος ἄνω, παρὰ τὴν μακαρίαν ἀπέραντον δύναμιν ἐὰν

VARIÆ LECTIONES.

[76] πικρὸν C. [77] Od. x, 304 sqq. [78] ἔσκε om. C. [79] δύνανται τε C. [80] τὸ om. C. [81] ἀκοὰς . . . . . κοῆς C, ἀκοὰς ὑπακοῆς conj. M. Cf. II Mos. xv, 26 : Ἐὰν ἀκοῇ ἀκούσῃς, κ. τ. λ. et supra lin. 27. ubi post ὄρασιν legitur ἀκοήν. [82] ἐνέπλασε C. [83] ἢ om. C. [84] ἢ γεωμετρική. ἡ γεωμετρική C, M. [85] Cf. Isa. II, 4 : Καὶ συγκόψουσιν τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, κ. τ. λ. [86] μὴ ante ἐξεικονισμένον om. C, M. [87] Matth. v, 10 : Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν]radices a b c d Lucif. 120] τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Cf. Luc. III, 9.

Digitized by Google

ἐξεικονισθῇ. Τρεῖς γὰρ, φησὶν, εἰσὶν ἑστῶτες, καὶ ἄνευ τοῦ τρεῖς εἶναι ἑστῶτας αἰῶνας οὐ κοσμεῖται ὁ γέννητος[86] ὁ κατ' αὐτοὺς ἐπὶ τοῦ ὕδατος φερόμενος, ὁ καθ' ὁμοίωσιν ἀναπεπλασμένος τέλειος ἐπ[ουράνιος], κατ' οὐδεμίαν[87] ἐπίνοιαν ἐνδεέστερος τῆς ἀγεννήτου δυνάμεως γενόμενος, τουτέστιν ὁ λέγουσιν· Ἐγὼ καὶ σὺ ἕν, πρὸ ἐμοῦ σὺ, τὸ[88] μετὰ σὲ ἐγώ. Αὕτη, φησὶν, ἐστὶ δύναμις μία, διῃρημένη ἄνω, κάτω, αὐτὴν γεννῶσα, αὐτὴν αὔξουσα, αὐτὴν ζητοῦσα, αὐτὴν εὑρίσκουσα, αὐτῆς μήτηρ οὖσα, αὐτῆς πατὴρ, αὐτῆς ἀδελφὴ, αὐτῆς σύζυγος, αὐτῆς θυγάτηρ, αὐτῆς υἱὸς, μήτηρ, πατὴρ, ἓν, οὖσα[89] ῥίζα τῶν ὅλων.

Καὶ ὅτι, φησὶν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι τῶν [p. 171—173.] γεννωμένων, τοιοῦτον κατανόει[90] τινὰ τρόπον Πάντων, ὅσων γένεσίς ἐστιν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς ἐπιθυμίας τῆς γενέσεως[91] γίνεται. Τοιγαροῦν πυροῦσθαι τὸ | ἐπιθυμεῖν τῆς μεταβλητῆς γενέσεως ὀνομάζεται. Ἓν δὲ ὂν[92] τὸ πῦρ τροπὰς στρέφεται δύο[93]. Στρέφεται γὰρ, φησὶν, ἐν τῷ ἀνδρὶ τὸ αἷμα, καὶ θερμὸν καὶ ξανθὸν ὡς πῦρ τυπούμενον, εἰς σπέρμα, ἐν δὲ τῇ γυναικὶ τὸ αὐτὸ τοῦτο αἷμα εἰς γάλα. Καὶ γίνεται ἡ τοῦ ἄῤῥενος τροπὴ γένεσις[94], ἡ δὲ τῆς θηλείας τροπὴ τροφὴ[95] τῷ γεννωμένῳ. Αὕτη, φησὶν, ἐστὶν *ἡ φλογίνη ῥομφαία*[96] *ἡ στρεφομένη φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς*. Στρέφεται γὰρ τὸ αἷμα εἰς σπέρμα καὶ γάλα, καὶ γίνεται ἡ δύναμις αὕτη μήτηρ καὶ πατὴρ, πατὴρ τῶν[97] γινομένων, καὶ αὔξησις τῶν τρεφομένων, ἀπροσδεὴς, αὐτάρκης. Φυλάσσεται δὲ, φησὶ, τὸ ξύλον τῆς ζωῆς διὰ τῆς στρεφομένης φλογίνης ῥομφαίας, ὡς εἰρήκαμεν, ἡ δύναμις ἡ ἑβδόμη ἡ ἐξ αὐτῆς, ἡ πάντας ἔχουσα, ἡ ἐν ταῖς ἓξ κατακειμένη δυνάμεσιν. Ἐὰν γὰρ μὴ στρέφηται ἡ φλογίνη ῥομφαία, φθαρήσεται καὶ ἀπολεῖται τὸ καλὸν ἐκεῖνο ξύλον· ἐὰν δὲ στρέφηται[98] εἰς σπέρμα καὶ γάλα, ὁ δυνάμει ἐν τούτοις κατακείμενος λόγου[99] τοῦ προσήκοντος καὶ τόπου Κυρίου, ἐν ᾧ γεννᾶται λόγος, τυχὼν[1], ἁρξάμενος ὡς[2] ἀπὸ σπινθῆρος ἐλαχίστου, παντελῶς μεγαλυνθήσεται καὶ αὐξήσει καὶ ἔσται δύναμις ἀπέραντος, ἀπαράλλακτος, [ἴση καὶ ὁμοία] *αἰῶνι ἀπαραλλάκτῳ*[3] μηκέτι γινομένῳ εἰς τὸν ἀπέραντον αἰῶνα.

ιη'. Γέγονεν οὖν ὁμολογουμένως κατὰ τοῦτον τὸν λόγον τοῖς ἀνοήτοις Σίμων θεὸς, ὥσπερ ὁ Λίβυς ἐκεῖνος ὁ καὶ Ἄψεθος, γεννητὸς μὲν καὶ παθητὸς, ὅταν[4] ᾖ ἐν δυνάμει, ἀπαθὴς δὲ ἐκ γεννητοῦ, ὅταν ἐξεικονισθῇ καὶ γενό | μενος τέλειος ἐξέλθῃ τῶν δυνάμεων τῶν πρώτων δύο, τουτέστιν οὐρανοῦ καὶ γῆς. Λέγει γὰρ Σίμων διαῤῥήδην περὶ τούτου ἐν τῇ Ἀποφάσει οὕτως· *Ὑμῖν οὖν λέγω ἃ λέγω καὶ γράφω ἃ*

bitur. Tres enim sunt, inquit, qui stant, nec, quin sint tres æones qui stant, adornatur generatus is, qui secundum illos super aquam fertur, tanquam ad similitudinem reflctus perfectus cœlestis, qui nulla ratione inferior quam non generata potestas factus est. Hoc est quod aiunt: Ego et tu unum, ante me tu, id quod post te ego. Hæc, inquit, est potestas una, divisa, superne, inferne, semet gignens, semet alens, semet quærens, semet reperiens, sui ipsius mater, sui ipsius pater, sui ipsius soror, sui ipsius conjux, sui ipsius filia, sui ipsius filius, mater, pater, unum, cum sit radix omnium.

Et ex igne oriri principium generationis eorum quæ generantur **250-251** in hunc fere definit modum: Omnium, quorumcunque generatio exstat, ab igne principium cupidinis generationis exsistit. Quippe igne corripi appellatur id quod est concupiscere commutabilem genituram. Unum autem cum sit ignis, conversiones vertitur duas. Convertitur enim, inquit, in viro sanguis, et calidus et fulvus, ut ignis effigiatus, in semen, in muliere contra idem hic sanguis in lac. Et fit masculi conversio generatio, feminæ autem conversio nutritio ei quod generatur. Hic, inquit, est *flammeus ensis, qui vibratur ad custodiendam viam ligni vitæ*. Convertitur enim sanguis in semen et lac et fit hæc potestas mater et pater, pater eorum quæ nascuntur, et alitura eorum quæ nutriuntur, nullius indiga, sui compos. Custoditur autem, inquit, lignum vitæ per vibratum flammeum ensem, sicut diximus, potestas septima, quæ est ex semet prognata, quæ omnes continet, quæ in sex reposita est potestatibus. Nam cum non vibrabitur flammeus ensis, pessumdabitur et interibit pulchrum illud lignum; cum autem convertetur in semen et lac, qui potestate in his repositus est, informationem idoneam et locum justum, in quo generatur verbum, nactus, ortus tanquam a scintilla tenuissima prorsus grandescet et augescet et erit potestas infinita immutabilis, [similis et compar] ævo immutabili, quod amplius non fit in infinitum ævum.

18. Exstitit igitur haud dubie secundum hanc rationem stultis Simon deus sicut Libys ille, dico Apsethum, generatus quidem et patibilis, quando est in potestate, impatibilis autem ex generato, quando effigiatus est et factus perfectus egressus est potestates primas duas, hoc est cœlum et terram. Ait enim Simon ipsis verbis de hac re in Revelatione in hunc modum: *Vobis igitur dico, quæ dico et scribo,*

VARIÆ LECTIONES.

[86] ὁ γέννητος. ὁ ἀγέννητος C, M. Cf. supra p. 242, 73-83. [87] κατ' οὐδεμίαν. κατὰ δὲ μίαν C, M. [88] τὸ. τῷ C. [89] ἕν, οὖσα. ἐνοῦσα C. [90] κατανοεῖ C. [91] γεννέσεως corr. C. [92] Ἓν δὲ ὄν. Ἐνδέον C, M. [93] τροπὰς στρέφεται δύο. τροφὰς τρέφεται. Διὸ C, M. [94] γέννεσις corr. C. [95] τροφὴ. τρυφὴ C. [96] I Mos. III, 24: Καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. [97] πατὴρ τῶν. παρὰ τῶν C, M. [98] στρέφεται C. [99] λόγου. λόγος C, M. Cf. supra p. 248, 5, 6. [1] τυχὼν. ψυχῶν C, M. [2] ὡς ὧν C, M. [3] ἀπαράλλακτος, ἴση καὶ ὁμοία αἰῶνι ἀπαραλλάκτῳ. ἀπαράλακτος αἰῶνι ἀπαραλάκτῳ C, ἀπαράλλακτος αἰῶνι ἀπαραλλάκτῳ M. Cf. supra p. 248, 9, 10, et p. 244, 93, 94. [4] ὅτε ἂν C.

Digitized by Google

quæ scribo. Scriptura hæcce: duo sunt turiones inter universos æones, qui neque principium neque finem habent, ex una radice, quæ quidem potestas est silentium invisibile, incomprehensibile, quorum **252-253** *alter apparet superne, quæ quidem est magna potestas, mens universorum, administrans omnia, genere mascula; alter autem inferne, intelligentia magna, genere feminea, gignens omnia. Unde respondentes sibi invicem conjugium habent et mediam distantiam manifestant, aerem incomprehensibilem, neque principium neque finem habentem. In hoc autem Pater, qui sustinet omnia et alit quæ principium et finem habent. Hic est qui stat, stetit, stabit, potestas mas simul et femina secundum eam quæ antea exstitit potestatem infinitam, quæ quidem neque principium habet neque finem, eamque in unitate constantem. Ab hac enim congressa quæ est in unitate intelligentia facta est duo. Et ille erat unus, habens enim illam in se erat solus, quanquam non primus, tametsi ante exsistens, manifestatus autem ipsi ex se ipso exstitit alter. Sed ne pater quidem appellatus est antequam ipsa illum appellaret patrem. Ut igitur ipse semetipsum per se producens manifestavit sibi propriam intelligentiam, sic et manifestata intelligentia non fecit, sed conspicata illum abscondidit patrem in sese, hoc est potestatem, et ita est masculofeminea potestas etiam intelligentia, unde sibi invicem respondent (nihil enim differt potestas ab intelligentia) quoniam unum sunt. Etenim ex iis, quæ supra sunt, reperitur potestas, ex iis autem, quæ infra, intelligentia. Ita igitur fit, ut manifestatum ab illis, cum unum sit, reperiatur duplex, masculofemineus habens femineam in sese. In hunc modum est mens in intelligentia, quæ sejuncta a se invicem, cum sint unum, reperiuntur duo.*

19. Hæc igitur commentus Simon non solum dicta Mosis per malas artes detorsit in ea quæ libuit, sed etiam poetarum. Etenim et equum ligneum aliorsum deflectit et Helenam cum lampade et alia permulta, quæ ille traducens in ea quæ pertinent ad se et ad intelligentiam fabulatur. Esse autem hanc dicebat ovem quæ aberravit, quæ quidem semper commorans in mulieribus turbabat potestates quæ sunt in mundo **254-255** propter insuperabilem pulchritudinem suam. Unde etiam Trojanum bellum per illam conflatum est. In Helena enim, quæ illo ævo generata erat, inhabitavit hæc intelligentia, et ita, cum omnes potestates illam sibi arrogarent, discordia et bellum exortum est in quibuscunque apparuit populis. In hunc certe modum Stesichorum, qui per carmina

A γράφω. Τὸ γράμμα τοῦτο· δύο εἰσὶ παραφυάδες τῶν ὅλων αἰώνων, μήτε ἀρχὴν μήτε πέρας ἔχουσαι, ἀπὸ μιᾶς ῥίζης, ἥτις ἐστὶ δύναμις σιγὴ ἀόρατος, ἀκατάληπτος, ὧν ἡ μία [5] φαίνεται ἄνωθεν, ἥτις ἐστὶ μεγάλη δύναμις, νοῦς τῶν ὅλων, διέπων τὰ πάντα, ἄρσην, ἡ δὲ [p. 173. 174.] ἑτέρα κάτωθεν, ἐπίνοια μεγάλη, θήλεια, γεννῶσα τὰ πάντα. Ἕνθεν ἀλλήλοις ἀντιστοιχοῦντες συζυγίαν ἔχουσι, καὶ τὸ μέσον διάστημα ἐμφαίνουσιν ἀέρα ἀκατάληπτον, μήτε ἀρχὴν μήτε πέρας ἔχοντα. Ἐν δὲ τούτῳ Πατὴρ ὁ [6] βαστάζων πάντα καὶ τρέφων τὰ [7] ἀρχὴν καὶ πέρας ἔχοντα. Οὗτός ἐστιν ὁ ἑστὼς, στὰς, στησόμενος, ὢν ἀρσενόθηλυς δύναμις κατὰ τὴν προϋπάρχουσαν δύναμιν ἀπέραντον, ἥτις οὔτ' ἀρχὴν
B οὔτε πέρας ἔχει, ἐν μονότητι οὖσαν· ἀπὸ γὰρ ταύτης προελθοῦσα ἡ ἐν μονότητι ἐπίνοια ἐγένετο δύο. Κἀκεῖνος ἦν εἷς· ἔχων γὰρ ἐν ἑαυτῷ αὐτὴν ἦν μόνος, οὐ μέντοι πρῶτος, καίπερ προϋπάρχων, φανεὶς δὲ αὐτῷ [8] ἀπὸ ἑαυτοῦ, ἐγένετο δεύτερος. Ἀλλὰ οὐδὲ πατὴρ ἐκλήθη πρὶν αὐτὴν [9] αὐτὸν ὀνομάσαι [10] πατέρα. Ὡς οὖν αὐτὸς ἑαυτὸν ὑπὸ ἑαυτοῦ προαγαγὼν ἐφανέρωσεν ἑαυτῷ τὴν ἰδίαν ἐπίνοιαν, οὕτως καὶ ἡ φανεῖσα ἐπίνοια [11] οὐκ ἐποίησεν, ἀλλὰ ἰδοῦσα αὐτὸν ἐνέκρυψε τὸν πατέρα ἐν ἑαυτῇ, τουτέστι τὴν δύναμιν, καὶ ἔστιν ἀρσενόθηλυς δύναμις καὶ ἐπίνοια, ὅθεν ἀλλήλοις ἀντιστοιχοῦσιν (οὐδὲν γὰρ διαφέρει δύναμις ἐπινοίας) ἐν ὄντες. Ἐκ μὲν τῶν ἄνω εὑ-
C ρίσκεται | δύναμις, ἐκ δὲ τῶν κάτω ἐπίνοια. Ἔστιν οὖν οὕτως καὶ τὸ φανὲν ἀπ' αὐτῶν [12], ἓν ὄν, δύο εὑρίσκεσθαι, ἀρσενόθηλυς ἔχων τὴν θήλειαν ἐν ἑαυτῷ. Οὕτως [13] ἐστὶ νοῦς ἐν ἐπινοίᾳ, ἃ χωριστὰ [14] ἀπ' ἀλλήλων, ἓν ὄντες, δύο εὑρίσκονται.

ιθ'. Ταῦτα μὲν οὖν ὁ Σίμων ἐφευρὼν οὐ μόνον τὰ Μωσέως κακοτεχνήσας εἰς ὃ ἐβούλετο μεθηρμήνευσεν, ἀλλὰ καὶ τὰ τῶν [15] ποιητῶν. Καὶ γὰρ τὸν δούρειον ἵππον ἀλληγορεῖ καὶ τὴν Ἑλένην ἅμα τῇ λαμπάδι [16] καὶ ἄλλα πλεῖστα ὅσα μετάγ[ων εἰς] τὰ αὐτοῦ [17] καὶ τῆς ἐπινοίας πλαστολογεῖ [18]. Εἶν[αι δ' ἔλ]εγε [19] ταύτην τὸ πρόβατον τὸ πεπλανημένον, ἥτις ἀεὶ καταγινομένη ἐν γυναιξὶν ἐτάρασσε τὰς ἐν κόσμῳ
D δυνάμεις διὰ τὸ ἀνυπέρβλητον [p. 174, 175] αὐτῆς κάλλος, ὅθεν καὶ ὁ Τρωϊκὸς πόλεμος δι' αὐτὴν γεγένηται. Ἐν γὰρ τῇ κατ' ἐκεῖνο [20] καιροῦ γενομένῃ [21] Ἑλένῃ ἐνῴκησεν αὕτη [22] ἡ ἐπίνοια, καὶ οὕτως πασῶν ἐπιδικαζομένων αὐτῆς τῶν ἐξουσιῶν, στάσις καὶ πόλεμος ἐπανέστη, ἐν οἷς ἐφάνη ἔθνεσιν. Οὕτως γοῦν τὸν Στησίχορον διὰ τῶν ἐπῶν λοιδορήσαντα

VARIÆ LECTIONES.

[5] ὧν, ἡ μία C. [6] πατὴρ ὁ. πατέρα C. [7] τρέφων τά. τρέφοντα C. [8] αὐτῷ. αὐτὸς M. [9] αὐτὴν αὐτὴ C, M. [10] ὀνομάσαι. ὀνομάσει C, ὀνομάσετε M. [11] ἐπίνοια. ἐπίνοιαν C. [12] ἀπ' αὐτῶν. ἂν αὐτῶν C. [13] Οὕτος C. M. [14] ἃ χωριστά. ἀχώριστα C, ἀχώριστα δ' s. γὰρ M. [15] τὰ τῶν. τὰς τῶν C. [16] Cf. Epiphan. hær. 21, 3. [17] μεταγ . . . . . τὲ αὐτοῦ C, μεταγγίζων εἰς τὰ αὐτοῦ M. [18] πλαστολογεῖ Rueperus, πλείστους λέγει C, ἁπάγων s. ἀποσπάσας λέγει susp. M. [19] Εἶναι δ' ἔλεγε. εἰν . . . . ετε C. Cf. cum his et sequentibus Just. Mart. *Ap.* I, 26. p. 69. E. Iren. c. hær. 1, 23, 2 sqq. *Massuet.* Theodoret. *Hæret. fab.* 1, 1. Epiphan. hær. 11, 2, 5. [20] κατ' ἐκείνου C. [21] γενομένου C. [22] ἐνῴκησεν αὕτη R. Schottus, ἐνῴκητεν ἐν αὐτῇ C, M.

Digitized by Google

αὐτὴν τὰς ὄψεις τυφλωθῆναι· αὖθις δὲ, μεταμελη- A
θέντος αὐτοῦ καὶ γράψαντος τὰς παλινῳδίας, ἐν αἷς
ὕμνησεν αὐτὴν, ἀναβλέψαι· μετενσωματουμένην δὲ [25]
ὑπὸ τῶν ἀγγέλων καὶ τῶν κάτω ἐξουσιῶν, οἱ καὶ
τὸν κόσμον, φησὶν, ἐποίησαν, ὕστερον ἐπὶ τέγους [26]
ἐν Τύρῳ τῆς Φοινίκης πόλει στῆναι, ἣν κατελθὼν
εὗρεν. Ἐπὶ γὰρ τὴν ταύτης πρώτην ζήτησιν ἔφη
παραγεγονέναι. ὅπως ῥύσηται αὐτὴν τῶν δεσμῶν, ἣν
λυτρωσάμενος ἅμα ἑαυτῷ περιῆγε, φάσκων | τοῦτο
εἶναι τὸ ἀπολωλὸς πρόβατον, ἑαυτὸν δὲ λέγων τὴν
ὑπὲρ πάντα δύναμιν εἶναι. Ὁ δὲ ψυδρὸς [25] ἐρασθεὶς
τοῦ γυναίου τούτου, Ἑλένης καλουμένης, ὠνησάμενος
εἶχε, καὶ τοὺς μαθητὰς αἰδούμενος τοῦτον τὸν μῦθον
ἔπλασεν. Οἱ δὲ αὖθις μιμηταὶ τοῦ πλάνου καὶ Σίμω-
νος Μάγου γινόμενοι τὰ ὅμοια δρῶσιν, ἀλογίστως
φάσκοντες δεῖν μίγνυσθαι, λέγοντες· Πᾶσα γῆ γῆ, B
καὶ οὐ διαφέρει ποῦ τις [26] σπείρει, πλὴν ἵνα σπείρῃ,
ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ [κοινῇ] [27]
μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην,
καὶ τὸ, Ἅγιος ἁγίων . . λλη . . ος [28] ἁγιασθήσεται· οὐ
γὰρ μὴ κρατεῖσθαι αὐτοὺς ἐπί τινι νομιζομένῳ
κακῷ, λελύτρωνται γάρ. Τὴν δὲ Ἑλένην [29] λυτρω-
σάμενος οὕτως τοῖς ἀνθρώποις σωτηρίαν παρέσχε διὰ
τῆς ἰδίας ἐπιγνώσεως. Κακῶς γὰρ διοικούντων τῶν
ἀγγέλων τὸν κόσμον διὰ τὸ φιλαρχεῖν αὐτοὺς, εἰς
ἐπανόρθωσιν ἐληλυθέναι αὐτὸν ἔφη μεταμορφούμε-
νον καὶ ἐξομοιούμενον ταῖς ἀρχαῖς καὶ ταῖς ἐξου-
σίαις καὶ τοῖς ἀγγέλοις, ὡς καὶ ἄνθρωπον φαίνε-
σθαι αὐτὸν μὴ ὄντα ἄνθρωπον, καὶ παθεῖν δὲ ἐν
τῇ Ἰουδαίᾳ δεδοκηκέναι [30] μὴ πεπονθότα, ἀλλὰ
φανέντα Ἰουδαίοις [p. 175, 176] μὲν ὡς *Υἱόν* [31], ἐν C
δὲ τῇ Σαμαρείᾳ ὡς *Πατέρα*, ἐν δὲ τοῖς λοιποῖς
ἔθνεσιν ὡς *Πνεῦμα ἅγιον*, ὑπομένειν δὲ αὐτὸν κα-
λεῖσθαι οἷῳ ἂν ὀνόματι καλεῖν βούλωνται [32] οἱ
ἄνθρωποι. Τοὺς δὲ προφήτας ἀπὸ τῶν κοσμοποιῶν
ἀγγέλων ἐμπνευσθέντας εἰρηκέναι τὰς προφητείας [33].
διὸ μὴ φροντίζειν αὐτῶν τοὺς εἰς τὸν Σίμωνα καὶ
τὴν Ἑλένην πεπιστευκότας ἕως νῦν, πράσσειν τε
ὅσα [34] βούλονται ὡς ἐλευθέρους, κατὰ γὰρ τὴν αὐτοῦ
χάριν σώζεσθαι αὐτοὺς φάσκουσι [35]. Μηδὲν [36] γὰρ
εἶναι αἴτιον δίκης εἰ | πράξει [37] τις κακῶς [38], οὐ γὰρ

dilaçeravisset eam, oculis captum esse, rursus autem pœnitentia commotum scriptis palinodiis, in quibus celebravit illam, visum recepisse. Incorporatam autem ab angelis et infernis potestatibus, qui et mundum, inquit, fabricati sunt, postea in fornice Tyri, urbe Phœniciæ, prostitisse, quam ubi descendit reperit. Ad hujus enim inprimis investigationem dixit advenisse, ut liberaret illam de vinculis, quam in libertatem assertam secum circumagebat dicens hanc esse deperditam ovem, semet autem potestatem esse quæ supra omnia sit. Mendax autem ille, amore captus mulierculæ istius, Helenæ nomine, emptam habebat et commotus pudore discipulorum hanc fabulam confinxit. Illi autem rursus imitatores præstigiatoris et Simonis scilicet Magi facti æqualia agunt, nullo discrimine aientes oportere misceri, his usi verbis: Omnis terra terra, nec differt ubi quis serat, modo serat, verum etiam sese beatos prædicant propter communem mistionem hanc dicentes esse perfectam agapen; et illud: Sanctus sanctorum . . . . . sanctificabitur. Non enim teneri sese malo aliquo, quod vulgo habeatur pro malo, exsoluti enim sunt. Helenam autem ubi exsolvit ita hominibus salutem præbuit per suam scientiam. Male enim administrantibus angelis mundum propter cupidinem imperandi ad reparationem semet advenisse dixit transfiguratum et assimilatum imperiis et potestatibus et angelis, ut et homo appareret, cum non esset homo et pati in Judæa visus sit non passus, sed **256-257** patefactus Judæis tanquam *Filius*, in Samaria autem tanquam *Pater*, in reliquis autem gentibus tanquam *Spiritus sanctus*. Sustinere autem sese appellari quocunque nomine appellare velint homines. Prophetas autem ab angelis mundi fabricatoribus inspiratos effatos esse vaticinationes. Quapropter non curare eos, qui in Simonem et Helenam credant, ad hunc diem facereque quæcunque libeat ut liberos; ex illius enim gratia servari sese aiunt. Non enim esse cur quis puniatur, si quis male faciat; non enim est natura malum, sed positione. Posuerunt enim, inquit, angeli

VARIÆ LECTIONES.

[25] δὲ Roeperus, om. C, M. [26] τέγους. τε τοὺς C, M. Cf. Just. Mart. et Theodoret. l. l. [25] ψυδρὸς Roeperus, ψυχρὸς C, M, μιαρὸς Bunsenius (*Hippolytus and his age* I. p. 351): ψευδόχριστος? R. Schottus. [26] ποῦ τι C. [27] κοινῇ. ξένῃ M, qui vocem in C prorsus evanuisse dicit. [28] . . λλη. ος. Ἅγιος ἅγιος (s. Ἅγιον ἁγίων) καὶ Ἀλλήλους ἁγιάζετε Bunsenius l. l. p. 352: ἀγαπητὸς? [29] Cf. Iren. *c.* hær. 1, 23, 3 *Massuet.* Quapropter et ipsum venisse, uti eam assumeret primam et liberaret eam a vinculis, hominibus autem salutem præstaret per suam agnitionem. Cum enim male moderarentur angeli mundum, quoniam unusquisque eorum concupisceret principatum, ad emendationem venisse rerum, et descendisse eum transfiguratum et assimilatum virtutibus et potestatibus et angelis: ut et in hominibus homo appareret ipse, cum non esset homo, et passum autem in Judæa putatum, cum non esset passus. Cf. etiam Theodoret. l. l. 1, 1 [30] καὶ δεδοκηκέναι C, M. [31] Iren. l. l, § 1 . . . et docuit semetipsum esse, qui inter Judæos quidem quasi Filius apparuerit, in Samaria autem quasi Pater descenderit, in reliquis vero gentibus quasi Spiritus sanctus adventaverit. Esse autem se sublimissimam virtutem, hoc est eum qui sit super omnia Pater, et sustinere vocari se, quodcunque eum vocant homines. Cf. etiam Theodoret. l. l. 1, 1. [32] βούλονται C. [33] Cf. Iren. l. l. § 3: Prophetas autem a mundi fabricatoribus angelis inspiratos dixisse prophetias, quapropter nec ulterius curarent eos hi, qui in eum et Helenam ejus spem habeant, et ut liberos agere quæ velint, secundum enim ipsius gratiam salvari homines cæt. [34] τε ὅσα τὰ σὰ C, τὰ ἃ vel ὅσα M. [35] Iren. l. l. § 3. Nec enim esse naturaliter operationes justas, sed ex accidenti, quemadmodum posuerunt qui mundum fecerunt angeli, per hujusmodi præcepta in servitutem deducentes homines. Quapropter et solvi mundum, et liberari eos, qui sunt ejus, ab imperio eorum qui mundum fecerunt repromisit. [36] Μηδένα susp. Bunsenius l. l. p. 353. [37] πράξει C. [38] τις κακῶς. τι κακόν conj. Bunsenius l. l.

Digitized by Google

mundi fabricatores quidquid voluerunt, ejusmodi dictis opinati in servitutem redigere sibi auscultantes. Solutionem autem rursus docent mundi ad liberationem privorum hominum suorum.

20. Hujus igitur discipuli præstigiis utuntur et incantationibus, philtraque et illecebras et qui dicuntur somnia adducentes dæmones immittunt ad irritandos quos volunt. Verum etiam paredros, quos vocant, exercent, imaginemque Simonis habent in Jovis figuram et Helenæ effigie Minervæ, hasque adorant alterum vocantes dominum, dominam alteram. Si quis autem nomine vocabit apud illos conspicatus imagines illas vel Simonis vel Helenæ, repudiatur ut qui ignoret mysteria. Hic Simon multos in Samaria præstigiis in errorem agens ab apostolis convictus est et exsecrationibus devotus, sicuti in Actis scriptum est, postea spreta fide hæc aggressus est. Verum vel usque ad Romam progressus incidit in apostolos, cui multum Petrus adversatus est præstigiis seducenti multos. Hic **258-259** postremo delatus in : . . . . . sub platano considens docebat. Et vero ad extremum cum in eo esset ut plane convinceretur propter diuturniorem commorationem, dixit se, si vivus cooperiretur, surrecturum esse tertio die. Denique fossam postquam jussit effodi a discipulis suis jussit se cooperiri. Illi igitur quod jussum erat perfecerunt, ille autem abfuit ad hunc diem; non enim erat Christus. Hæcce autem et de Simone fabula, unde Valentinus profectus aliis nominibus nuncupat. *Mens* enim et *veritas* et *logus* et *vita* et *homo* et *ecclesia*, Valentini æones, aperte sunt Simonis sex radices: *mens*, *intelligentia*, *vox*, *nomen*, *ratiocinatio* et *cogitatio*. Sed quoniam videmur nobis satis exposuisse Simonis commenta fabularum, videamus quid et Valentinus dicat.

21. Est autem Valentini secta ita comparata, ut Pythagoricam referat et Platonicam doctrinam. Etenim Plato in *Timæo* penitus expressit Pythagoram; ideo Timæus et ipse est ei Pythagoreus hospes. Quapropter placet commemoratis paucis quibusdam Pythagoreæ et Platonicæ doctrinæ ad Valentini decreta exponenda transire. Etenim tametsi in eis quæ prius confecimus libris insunt et Pythagoræ et Platoni quæ placuerunt, tamen etiam nunc non præter rem commemorabo per epitomen et summatim placita eorum, quo facilius recognoscantur Valentini decreta per propiorem juxtapositionem et parilem comparationem, cum illi quidem olim ab

ἐστι [46] φύσει κακὸν [47], ἀλλὰ θέσει. Ἔθεντο γάρ, φησίν, οἱ ἄγγελοι οἱ τὸν κόσμον ποιήσαντες ὅσα ἐβούλοντο, διὰ τῶν τοιούτων λόγων δουλοῦν νομίζοντες τοὺς αὐτῶν ἀκούοντας. Λύσιν δὲ αὖθις [48] λέγουσι τοῦ κόσμου [49] ἐπὶ λυτρώσει τῶν ἰδίων ἀνθρώπων.

κ'. Οἱ οὖν τούτου μαθηταὶ μαγείας ἐπιτελοῦσι [50] καὶ ἐπαοιδάς [51], φίλτρα τε καὶ ἀγώγιμα καὶ τοὺς λεγομένους ὀνειροπόμπους δαίμονας ἐπιπέμπουσι πρὸς τὸ ταράσσειν οὓς βούλονται· ἀλλὰ καὶ παρέδρους τοὺς λεγομένους ἀσκοῦσιν, εἰκόνα τε τοῦ Σίμωνος ἔχουσιν εἰς Διὸς μορφὴν καὶ τῆς Ἑλένης ἐν μορφῇ Ἀθηνᾶς, καὶ ταύτας προσκυνοῦσι, τὸν μὲν καλοῦντες κύριον, τὴν δὲ κυρίαν. Εἰ δέ τις ὀνόματι καλέσει παρ' αὐτοῖς ἰδὼν τὰς εἰκόνας ἢ Σίμωνος ἢ Ἑλένης, ἀπόβλητος γίνεται, ὡς ἀγνοῶν τὰ μυστήρια. Οὗτος ὁ Σίμων πολλοὺς πλανῶν ἐν τῇ Σαμαρείᾳ μαγείαις ὑπὸ τῶν ἀποστόλων ἠλέγχθη, καὶ ἐπάρατος γενόμενος, καθὼς ἐν ταῖς Πράξεσι γέγραπται, ὕστερον ἀπευδοκήσας ταῦτα ἐπεχείρησεν· ἕως [52] καὶ τῆς Ῥώμης ἐπιδημήσας ἀντέπεσε [p. 176, 178] τοῖς ἀποστόλοις· πρὸς ὃν πολλὰ Πέτρος ἀντικατέστη μαγείαις πλανῶντα πολλούς. Οὗτος ἐπὶ τέλει ἐλθὼν ἐν τ . . . . τῃ, ὑπὸ πλάτανον καθεζόμενος ἐδίδασκε. Καὶ δὴ λοιπὸν ἐγγὺς τοῦ ἐλέγχεσθαι γινόμενος διὰ [53] τὸ ἐγχρονίζειν, ἔφη, ὅτι εἰ χωσθείη ζῶν, ἀναστήσεται τῇ τρίτῃ ἡμέρᾳ. Καὶ δὴ τάφρον κελεύσας ὀρυγῆναι ὑπὸ τῶν μαθητῶν ἐκέλευσε χωσθῆναι. Οἱ μὲν οὖν τὸ προσταχθὲν ἐποίησαν, ὁ δὲ ἀπέμεινεν ἕως νῦν· οὐ γὰρ ἦν ὁ Χριστός. Οὗτος δὴ καὶ ὁ κατὰ τὸν Σίμωνα μῦθος, ἀφ' οὗ Οὐαλεντῖνος τὰς ἀφορμὰς λαβὼν ἄλλοις ὀνόμασι καλεῖ. Ὁ γὰρ *νοῦς* καὶ ἡ *ἀλήθεια* καὶ *λόγος* καὶ ζωὴ καὶ *ἄνθρωπος* καὶ *ἐκκλησία*, οἱ Οὐαλεντίνου αἰῶνες, ὁμολογουμένως εἰσὶν αἱ [54] Σίμωνος ἓξ ῥίζαι, *νοῦς*, *ἐπίνοια*, *φωνή*, *ὄνομα*, *λογισμὸς* καὶ *ἐνθύμησις*. Ἀλλ' ἐπεὶ ἱκανῶς ἡμῖν δοκεῖ ἐκτεθεῖσθαι τὴν Σίμωνος μυθοποιΐαν, ἴδωμεν τί λέγει καὶ Οὐαλεντῖνος.

κα'. Ἔστι μὲν οὖν ἡ Οὐαλεντίνου αἵρεσις Πυθαγορικὴν ἔχουσα καὶ Πλατωνικὴν τὴν ὑπόθεσιν. Καὶ γὰρ Πλάτων ὅλως [55] ἐν τῷ *Τιμαίῳ* τὸν Πυθαγόραν ἀπεμάξατο [56]· τοιγαροῦν καὶ ὁ Τίμαιος αὐτός ἐστιν αὐτῷ Πυθαγόρειος ξένος. Διὸ δοκεῖ ὀλίγα τῆς Πυθαγορείου καὶ Πλατωνικῆς [57] ὑπομνησθέντας ὑποθέσεως ἄρξασθαι καὶ τὰ Οὐαλεντίνου λέγειν. Εἰ γὰρ [58] καὶ ἐν τοῖς πρότερον ὑφ' ἡμῶν πεπονημένοις ἔγκεινται καὶ τὰ Πυθαγόρᾳ καὶ Πλάτωνι δεδοκημένα, ἀλλά γε καὶ νῦν οὐκ ἀλόγως ὑπομνησθήσομαι δι' ἐπιτομῆς καὶ κορυφαιότατα τῶν αὐτοῖς ἀρεσκομένων, πρὸς τὸ εὐεπίγνωστα γενέσθαι τὰ Οὐαλεντίνῳ δόξαντα διὰ τῆς ἐγγίονος παραθέσεως καὶ ὁμοίας

VARIÆ LECTIONES.

[46] ἐστι. ἐστί τι Bunsenius l. l. [47] κακόν. κακὸς C, M. [48] Λύσιν δὲ αὖθις. Φύσιν δὲ αὖθις C, M, Λύσειν δὲ αὐτὸν Bunsenius l. l. p. 354. [49] τοῦ κόσμου. τὸν κόσμον C, M, Bunsenius l. l. [50] Iren. l. l. § 4. Igitur horum mystici sacerdotes libidinose quidem vivunt, magias autem perficiunt, quemadmodum potest unusquisque ipsorum. Exorcismis et incantationibus utuntur. Amatoria quoque et agogima et qui dicuntur paredri et oniropompi et quæcunque sunt alia perierga apud eos studiose exercentur. Imaginem quoque Simonis habent factam ad figuram Jovis, et Helenæ in figuram Martis, et has adorant, cæt. [51] μαγείαις — ἐπαοιδαῖς C, M. [52] ἕως; ἕως; δὲ? [53] διά. δὶς C. [54] οἱ C, M. [55] ὅλος pr. C. [56] ἀπομάξατο C. [57] Πλατωνικὴν pr. C, Πλάτωνι; corr. C. [58] Cf. supra l. I, c. 2, p. 8 14; c. 19, p. 30-38; l. IV, c. 51, p. 124 sqq.

Digitized by Google

συγκρίσεως τῶν μὲν πάλαι ἀπ' Αἰγυπτίων ταῦτα παραλαβόντων καὶ εἰς Ἕλληνας μεταδιδαξάντων, τοῦ δὲ παρὰ τούτων, ὅτι δὲ [88] παρ' αὐτῶν, διαψευσαμένου ἰδίαν τε δόξαν συστῆσαι πεπειραμένου, . . [89] σπαράξαντα μὲν τὰ ἐκείνων ὀνόμασι καὶ ἀριθμοῖς, ἰδίως δὲ καλέσαντα καὶ μέτροις διορίσαντα, ὅπως αἵρεσιν Ἑλληνικὴν ποικίλην μέν, ἀσύστατον δὲ καὶ οὐκ ἀνήκουσαν Χριστῷ συστήσῃ.

A Ægyptiis hæc mutuati sint et Græcos edocuerint, ille autem ab illis, nisi quod celarit sua ab illis esse accepta, quippe qui peculiarem sectam condere conatus fuerit . . . . namque ille commutavit illorum decreta nominibus et numeris, singulari autem modo appellavit et mensuris descripsit, ut hæresin Græcam variam quidem, sed inconcinnam et quæ non cadat in Christum conderet.

κβ'. Ἡ μὲν οὖν ἀρχὴ τῆς ὑποθέσεώς ἐστιν [90] ἐν τῷ | *Τιμαίῳ* τῷ Πλάτωνι [91] σοφία Αἰγυπτίων· ἐκεῖθεν γὰρ ὁ Σόλων [92] τὴν ὅλην ὑπόθεσιν περὶ τῆς κόσμου γεννήσεως καὶ φθορᾶς παλαιῷ τινι [p. 178, 179] λόγῳ καὶ προφητικῷ, ὥς φησιν ὁ Πλάτων, τοὺς Ἕλληνας ἐδίδαξε, παῖδας νέους ὄντας καὶ πρεσβύτερον ἐπισταμένους μάθημα οὐδὲν θεολογούμενον. Ἵν' οὖν παρακολουθήσωμεν τοῖς λόγοις, οἷς καταβέβληται Οὐαλεντῖνος, προεκθήσομαι νῦν, τίνα ἐστὶν ἃ Πυθαγόρας ὁ Σάμιος μετὰ τῆς ὑμνουμένης ἐκείνης παρὰ τοῖς Ἕλλησι [93] σιγῆς φιλοσοφεῖ, εἶθ' οὕτως ταῦτα, ἃ [94] Πυθαγόρου λαβὼν καὶ Πλάτωνος Οὐαλεντῖνος σεμνολογῶν ἀνατίθησι Χριστῷ [95] καὶ πρὸ τοῦ Χριστοῦ τῷ Πατρὶ τῶν ὅλων καὶ σιγῇ τῇ συνεζευγμένῃ τῷ Πατρί.

B 22. Igitur principium doctrinæ in *Timæo* est Platoni sapientia Ægyptiorum. Illinc enim Solo universam doctrinam de mundi ortu et occasu vetusta quadam fama et fatidica, ut ait **260-261** Plato, Græcos docuit, etiam tum infantes nec antiquius decretum quod ad doctrinam de Deo referretur cognitum habentes. Ut igitur persequamur decreta, quæ pro fundamento posuit Valentinus, prius edisseram nunc, quæ sint illa, quæ Pythagoras Samius juncto sibi celebrato illo Græcis hominibus silentio philosophatur, tum ita hæc, quæ a Platone sumpta et Pythagora Valentinus sublimem in speciem refert ad Christum et ante Christum ad Patrem universi et ad Silentium conjugatum cum Patre.

κγ'. Πυθαγόρας τοίνυν ἀρχὴν τῶν ὅλων ἀγέννητον ἀπεφήνατο τὴν μονάδα, γεννητὴν δὲ τὴν δυάδα καὶ πάντας τοὺς ἄλλους ἀριθμούς. Καὶ τῆς μὲν δυάδος πατέρα φησὶν εἶναι τὴν μονάδα, πάντων δὲ τῶν γεννωμένων μητέρα δυάδα, γεννητὴν γεννητῶν. Καὶ Ζαράτας [96] ὁ Πυθαγόρου διδάσκαλος ἐκάλει τὸ μὲν *ἓν πατέρα*, τὸ δὲ *δύο μητέρα*. Γεγέννηται γὰρ ἐκ μὲν μονάδος δυὰς κατὰ τὸν Πυθαγόραν, καὶ ἔστιν ἡ μὲν μονὰς ἄῤῥεν καὶ πρώτη, ἡ δὲ δυὰς θῆλυ. Παρὰ τῆς δυάδος δὲ πάλιν, ὡς ὁ Πυθαγόρας λέγει, ἡ τριὰς καὶ οἱ ἐφεξῆς ἀριθμοὶ μέχρι τῶν δέκα. Τοῦτον γὰρ οἶδε μόνον τέλειον ἀριθμὸν Πυθαγόρας τὸν δέκα· τὸν γὰρ ἕνδεκα καὶ δώδεκα προσθήκην καὶ ἐπαναποδισμὸν τῆς δεκάδος, οὐκ ἄλλου τινὸς ἀριθμοῦ γέννησιν τὸ προστιθέμενον. Πάντα δὲ [97] σώματα [98] στερεὰ ἐξ ἀσωμάτων γεννᾷ. Τῶν τε γὰρ σωμάτων καὶ ἀσωμάτων ὁμοῦ στοιχεῖον [99] εἶναί φησι καὶ ἀρχὴν τὸ | σημεῖον ὃ ἔστιν ἀμερές, γίνεται δὲ, φησὶν, ἐκ σημείου γραμμή, καὶ [ἐκ γραμμῆς ἐπιφάνεια] [100] ἐπιφάνεια δὲ ῥυεῖσα εἰς βάθος στερεὸν ὑφέστηκε, φησὶ, σῶμα. Ὅθεν καὶ ὅρκος τίς ἐστι τοῖς Πυθαγορικοῖς ἡ τῶν τεσσάρων στοιχείων συμφωνία. Ὀμνύουσι δ' οὕτως·

C 23. Pythagoras igitur tanquam principium universorum non generatum posuit monadem, genitam autem dyadem reliquosque numeros omnes. Et dyadis autem patrem ait esse monadem, omnium autem quæ generantur matrem dyadem, generatam generatorum. Et Zaratas, Pythagoræ magister, *unum* vocabat *patrem*, *duo* autem *matrem*. Generata enim est ex monade dyas secundum Pythagoram, et monas quidem est masculum et prima, dyas autem femininum. A dyade autem rursus, ut Pythagoras dicit, trias et deinceps numeri ad decimum. Hunc enim solum novit Pythagoras perfectum numerum decimum; undecimum enim et duodecimum appendicem et reiterationem decimi, non alius cujuspiam numeri generationem id quod apponatur. Omnia autem corpora solida ex incorporeis generat. Namque et corporum et incorporeorum simul elementum esse ait et principium punctum quod est indivisum, nascitur autem, inquit, ex puncto linea et ex linea superficies, superficies vero procedens in altitudinem solidum exstitit, inquit, corpus. Unde et

D jusjurandum quoddam est Pythagoreis quatuor elementorum concentus. Jurant autem in hunc modum :

Ναὶ [101] *μὰ τὸν ἀμετέρᾳ κεφαλᾷ* [102] *παραδόντα τε-*
| τρακτὺν,
Πηγὴν ἀενάου [103] *φύσεως [ῥιζώματ'* | [104] *ἔχουσαν.*

Per eum, qui tradidit nostro capiti quaternarium,
Fontem sempiternæ naturæ radices habentem.

Ἔστι δὲ ἡ τετρακτὺς τῶν φυσικῶν καὶ στερεῶν

Est autem quaternarius naturalium et solidorum

VARIÆ LECTIONES.

[88] ὅτι δέ. ὅτι C, M. [89] Ante σπαράξαντα (παραλλάξαντα?) videtur aliquid excidisse. [90] ἐστιν. ἐστιν ἡ M. [91] Πλάτωνος M. [92] Σολομὼν C. Cf. Plat. *Tim.* p. 21 sqq. [93] Ἕλλησι σιγῆς. Ἕλλησι γῆς C, M. [94] ἃ. ἀπὸ susp. M, παρὰ Roeperus, R. Schottus. [95] Χριστῷ. Χριστοῦ C. [96] Cf. Plutarch. *De animæ procreatione in Timæo Platon.* p. 1012 : Καὶ Ζαράτας, ὁ Πυθαγόρου διδάσκαλος, ταύτην μὲν (sc. δυάδα) ἐκάλει τοῦ ἀριθμοῦ μητέρα, τὸ δὲ ἓν πατέρα. [97] δέ. τὲ C. [98] Cf. supra p. 124, 42 sqq. et Philop. in I. *de An.* p. 2. [99] στοιχεῖον. σημεῖον C, M. [100] ἐκ γραμμῆς ἐπιφάνεια om. C, M. Cf. supra l. l. [101] De his duobus versibus cf. Fabricius in *Sext. Emp.*, p. 332, M. [102] ἀμάτερα κεφαλή (sic) C. [103] ἀενγάου C. [104] ῥιζ' ματ'. om C spatio relicto.

Digitized by Google

corporum principium, ut monas intelligibilium. Et quaternarium autem generare, **262-263** ait, perfectum numerum, ut in intelligibilibus monadem, denarium, docent hoc modo : Si quis incipiens numerare dicit : *unum*, et addit *duo*, tum pariter *tria*, erunt hæc *sex*, ad hæc autem etiam *quatuor*, erit pariter totum *decem*. *Unum* enim, *duo*, *tria*, *quatuor* sunt *decem*, qui est perfectus numerus. Sic, ait, per omnia imitatus est quaternarius intelligibilem monadem, perfectum numerum generare valentem.

24. Duo igitur secundum Pythagoram sunt mundi, alter intelligibilis, qui monadem habet principium, alter autem sensibilis, hujus autem est quaternarius habens iota, unam virgulam, numerum perfectum ; et est secundum Pythagoreos ι illud, quæ est una virgula, prima et præcipua et intelligibilium essentia . . . . . accidentia incorporea novem, quæ seorsum ab essentia esse nequeunt, *quale* et *quantum* et *ad quid* et *ubi* et *quando* et *situm esse* et *habere* et *agere* et *pati*. Sunt igitur novem accidentia, quæ essentiæ adnumerata continent perfectum numerum denarium. Quapropter diviso universo, ut diximus, in intelligibilem et sensibilem mundum habemus etiam nos ab intelligibili rationem, ut ratione intelligibilium et incorporeorum et divinorum aspectemus essentiam, sensus autem, inquit, habemus quinque : olfactum, visum, auditum, gustum et tactum, quibus in sensibilium pervenimus cognitionem ; et ita divisus est, inquit, sensibilis ab intelligibili mundo. Et habere nos cognitionis instrumentum ad utrumvis eorum hinc perspicimus. Nihil, ait, intelligibilium in cognitionem nostram cadere potest per sensum ; illud enim neque oculus aspexit, neque auris audivit, neque percepit, ait, reliquorum sensuum quilibet. Nec rursus ratione ad cognitionem cujuscunque sensibilium perveniri potest, sed oportet videre aliquid album esse et gustare esse dulce et sonorum esse aut insonorum auditu cognoscere, et utrum quid odorum sit suaveolens an insuave, olfactus est, non rationis. Idem cadit in tactum. Durum enim aut tenerum, vel **264-265** calidum aut frigidum fieri non potest ut auditu percipias, sed talium judicium est tactus. Hæc cum ita comparata sint, adornatio eorum, quæ facta sunt quæque fiunt, tanquam per numeros facta intelligitur. Nam sicut a monade orsi secundum appositionem monadum vel triadum et deinceps confectorum numerorum unum aliquod systema facimus maximum numeri, deinde rursus a numero ex compositione confecto subtractione aliqua et reiteratione solutionem compositorum arith-

σωμάτων ἀρχή, ὡς ἡ μονὰς τῶν νοητῶν. Ὅτι δὲ καὶ ἡ τετρακτὺς γεννᾷ, φησὶ, τὸν τέλειον ἀριθμὸν, ὡς ἐν τοῖς νοητοῖς [ἡ μονὰς], [69] τὸν δέκα, [p. 179. 180] διδάσκουσιν οὕτως· Εἰ ἀρξάμενος ἀριθμεῖν λέγει τις ὅτι· *ἕν*, καὶ ἐπιφέρει *δύο*, ἔπειτα ὁμοίως *τρία*, ἔσονται ταῦτα *ἕξ*· πρὸς δὲ τούτοις ἔτι *τέσσαρα*, ἔσται ὁμοίως τὸ πᾶν *δέκα*. Τὸ γὰρ *ἕν*, *δύο*, *τρία*, *τέσσαρα* γίνεται *δέκα* [70], ὁ τέλειος ἀριθμός. Οὕτως, φησὶ, κατὰ πάντα ἐμιμήσατο ἡ τετρακτὺς τὴν νοητὴν μονάδα, τέλειον ἀριθμὸν γεννῆσαι δυνηθεῖσαν.

κδ'. Δύο οὖν κατὰ τὸν Πυθαγόραν εἰσὶ κόσμοι, εἷς μὲν νοητὸς, ὃς ἔχει τὴν μονάδα ἀρχὴν, εἷς δὲ αἰσθητὸς, τούτου [71] δέ ἐστι τετρακτὺς ἔχουσα ἰῶτα, τὴν μίαν κεραίαν [72], ἀριθμὸν τέλειον· καὶ ἔστι κατὰ τοὺς Πυθαγορικοὺς τὸ ι', ἡ μία κεραία, πρώτη καὶ κυριωτάτη [73] καὶ τῶν [74] νοητῶν οὐσία νοητῶς καὶ αἰσθητῶς λαμβανομένη [75]· συμβεβηκότα γένη [76] ἀσώματα ἐννέα, ἃ χωρὶς εἶναι τῆς οὐσίας οὐ δύναται, *ποιὸν* καὶ *ποσὸν* καὶ *πρός τι* καὶ *ποῦ* καὶ *πότε* καὶ *κεῖσθαι* καὶ *ἔχειν* καὶ *ποιεῖν* καὶ *πάσχειν*. Ἔστιν οὖν ἐννέα τὰ συμβεβηκότα τῇ οὐσίᾳ, οἷς ἀριθμουμένη [77] συνέχει τὸν τέλειον ἀριθμὸν, τὸν ι'. Διόπερ διῃρημένου τοῦ παντὸς, ὡς εἴπομεν, εἰς νοητὸν καὶ αἰσθητὸν κόσμον, ἔχομεν καὶ ἡμεῖς ἀπὸ τοῦ νοητοῦ τὸν λόγον, ἵνα τῷ λόγῳ τὴν τῶν νοητῶν καὶ ἀσωμάτων καὶ θείων ἐποπτεύωμεν [78] οὐσίαν, αἰσθήσεις δὲ, φησὶν, ἔχομεν πέντε, ὄσφρησιν, ὅρασιν, ἀκοὴν, γεῦσιν καὶ ἁφὴν, ἐν οἷς τῶν αἰσθητῶν ἐρχόμεθα εἰς γνῶσιν· καὶ οὕτω, φησὶν, ἐστὶ διῃρημένος ὁ αἰσθητὸς [79] ἀπὸ τοῦ νοητοῦ κόσμου. Καὶ ὅτι ἔχομεν γνώσεως ὄργανον πρὸς ἑκάτερον αὐτῶν, ἐντεῦθεν κατανοῶμεν. Οὐδὲν, φησὶ, τῶν νοητῶν γνωστὸν ἡμῖν δύναται γενέσθαι δι' αἰσθήσεως· ἐκεῖνο γὰρ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτ' ἔγνω, φησὶ, τῶν ἄλλων αἰσθήσεων οἱαδητισοῦν. Οὐδ' αὖ πάλιν τῷ λόγῳ εἰς γνῶσιν τῶν αἰσθητῶν οὐχ οἷόν τε ἐλθεῖν τινος, ἀλλὰ δεῖ ὅτι λευκόν ἐστιν ἰδεῖν, καὶ γεύσασθαι ὅτι γλυκὺ, καὶ ὅτι ᾠδικὸν ἢ ἀπῳδικὸν [80] ἀκούσαντας εἰδέναι, καὶ εἴ τι τῶν ὀσμῶν ἐστιν εὐῶδες ἢ ἀηδὲς, ὀσφρήσεως ἔργον, οὐ λόγου. Ὡσαύτως δὲ ἔχει καὶ τὰ τῆς ἁφῆς· σκληρὸν γὰρ ἢ ἁπαλὸν, ἢ θερμὸν, ἢ ψυχρὸν οὐχ οἷόν τέ ἐστιν ἀκούσαντα εἰδέναι, ἀλλὰ γὰρ τῶν τοιούτων ἐστὶ [p. 180. 181] κρίσις ἡ ἁφή. Τούτων οὕτως ὑφεστηκότων, ἡ διακόσμησις τῶν γεγονότων καὶ γινομένων ἀριθμητικῶς γινομένη θεωρεῖται. Ὃν γὰρ τρόπον ἀπὸ μονάδος ἀρξάμενοι κατὰ προσθήκην μονάδων ἢ τριάδων καὶ τῶν ἑξῆς ἀθροιζομένων ἀριθμῶν ἕν τι σύστημα ποιοῦμεν μέγιστον ἀριθμοῦ, εἶτα πάλιν ἀπὸ τοῦ κατὰ τὴν σύνθεσιν ἀθροισθέντος ἀφαιρέσει [81] τινὶ καὶ ἀναποδισμῷ [82] λύσιν τῶν συνεστώτων ἀριθμη-

VARIÆ LECTIONES.

[69] ἡ μονὰς om. C. [70] δέκα. δὲ καὶ C. [71] τοῦτο C, M. [72] ἰῶτα, τὴν μίαν κεραίαν. Cf. Matth. v, 18 et Iren. *Adv. hær.* 1, 3, 2 *Massuet* : Καὶ τοὺς δέκα αἰῶνας ὡσαύτως διὰ τοῦ ἰῶτα γράμματος . . . . σημαίνουσι λέγεσθαι· καὶ διὰ τοῦτο εἰρηκέναι τὸν Σωτῆρα, Ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ, ἕως ἂν πάντα γένηται. [73] In hoc loco quædam excidisse sententiarum series ipsa facit. [74] καὶ τῶν. ἡ τῶν Roeperus. [75] λαμβανομένη. λαμβανομένη· ἥ M, λαμβανομένη· καὶ Roeperus. [76] γέννη C, δὲ γένη Chr. Petersen. [77] ἃ τῇ οὐσίᾳ συναριθμούμενα? οἷς συναριθμουμένη ἔχει Roeperus. [78] ἐποπτεύωμεν C. [79] ὁ αἰσθητός. αἰσθητὸς C. [80] ᾠδικὸν ἢ ἀπῳδικόν. δίκαιον ἢ ἄδικον C, M. [81] ἀφαιρέσει Roeperus, ἀναιρέσει C, M. [82] ἀναποδισμῷ Roeperus, ἀναλογισμῷ C, M.

Digitized by Google

ιῶς ἐργαζόμεθα· (κε'.) οὕτω [83] φησὶ καὶ τὸν κόσμον ἀριθμητικῷ τινι καὶ μουσικῷ δεσμῷ δεδεμένον ἐπιτάσει καὶ ἀνέσει καὶ προσθήκῃ καὶ ἀφαιρέσει ἀεὶ καὶ διὰ παντὸς ἀδιάφθορον φυλαχθῆναι. διὰ ταῦτα οὖν καὶ περὶ τῆς διανομῆς [84] τοῦ κόσμου ἀποκέκρινονται τοιούτόν τινα τρόπον οἱ Πυθαγορικοί [85-86]·

Ἦ [87] γὰρ καὶ πάρος ἦν τε [88] καὶ ἔσσεται [89],
[οὐδέ ποτ', οἴω [90],
οὔτων ἀμφοτέρων κενεώσεται [91] ἄσπετος [92] αἰών.

Τίνων δὲ τούτων; Τοῦ νείκους καὶ τῆς φιλίας. Ἀπεργάζεται δὲ αὐτοῖς ἡ φιλία ἄφθαρτον, ἄδιον τὸν κόσμον, ὡς ὑπονοοῦσιν· ἔστι γὰρ ἡ οὐσία καὶ κόσμος ἕν· τὸ δὲ νείκος διασπᾷ καὶ διαφέρει καὶ πολλὰ πειρᾶται καταδιαιροῦσα τὸν κόσμον ποιεῖν· ὥσπερ εἴ τις ἀριθμητικῶς τὴν μυριάδα εἰς χιλιάδας καὶ ἑκατοντάδας καὶ δεκάδας, καὶ δραχμὰς εἰς ὀβολοὺς [93] καὶ κοδράντας μικροὺς κατακερματίσας τέμνει, οὕτω τὸ νεῖκος τὴν [94] οὐσίαν τοῦ κόσμου, φησὶ, τέμνει εἰς ζῷα, φυτὰ, μέταλλα [95] καὶ τὰ τούτοις παραπλήσια· καὶ ἔστι τῆς γενέσεως τῶν γινομένων πάντων κατ' αὐτοὺς δημιουργὸς τὸ νεῖκος, ἡ δ' αὖ φιλία ἐπιτροπεύουσα καὶ προνοουμένη τοῦ παντὸς ἵνα μένῃ, καὶ εἰς τὸ ἓν τὰ [96] διῃρημένα καὶ τοῦ παντὸς ἀπεσπασμένα συνάγουσα καὶ ἐξάγουσα τοῦ βίου, συνάπτει [97] καὶ προστίθησι τῷ παντὶ, ἵνα μένῃ, καὶ ἔστιν ἕν. Οὐ παύσεταί οὖν οὔτε τὸ νεῖκος τὸν κόσμον διαιροῦν οὔτε ἡ φιλία τὰ διῃρημένα τῷ κόσμῳ προσνέμουσα. Αὕτη τίς ἐστιν, ὡς ἔοικε, κατὰ Πυθαγόραν ἡ τοῦ κόσμου διανομή. Λέγει δὲ Πυθαγόρας εἶναι ἀποβράγαδας τοῦ ἡλίου τοὺς ἀστέρας, καὶ τὰς ψυχὰς τῶν ζῴων ἀπὸ τῶν [p. 181—183] ἄστρων φέρεσθαι· εἶναι δὲ αὐτὰς θνητὰς μὲν, ὅταν ὦσιν [98] ἐν τῷ σώματι, οἱονεὶ ἐγκατορωρυγμένας ὡς ἐν | τάφῳ, ἀνίστασθαι δὲ καὶ γίνεσθαι ἀθανάτους, ὅταν τῶν σωμάτων ἀπολυθῶμεν. Ὅθεν ὁ Πλάτων ἐρωτηθεὶς ὑπό τινος, τί ἐστι φιλοσοφία, ἔφη· Χωρισμὸς ψυχῆς ἀπὸ σώματος, (κς'.) Πυθαγόρου [99] καὶ τούτων [1] τῶν λόγων γενόμενος μαθητὴς, ἐν οἷς [2] λέγει καὶ δι' αἰνιγμάτων καὶ τοιούτων λόγων· *Ἐκ τῆς ἰδίας [3] ἐὰν ἀποδημῇς, μὴ ἐπιστρέφου· εἰ δὲ μή, Ἐρινύες Δίκης ἐπίκουροί σε μετελεύσονται· ἰδίην [4]* καλῶν τὸ σῶμα, *Ἐρινύας* δὲ τὰ πάθη. Ἐὰν οὖν, φησὶν, ἀποδημῇς, τουτέστιν ἐὰν ἐξέρχῃ ἐκ τοῦ σώματος, μὴ αὐτοῦ ἀντιποιοῦ· ἐὰν δὲ ἀντιποιήσῃ, πάλιν σε τὰ πάθη καθείρξουσιν εἰς σῶμα. Εἶναι γὰρ οὗτοι τῶν ψυχῶν μετενσωμάτωσιν νομίζουσιν, ὡς καὶ ὁ Ἐμπεδοκλῆς πυθαγορίζων λέγει.

metice efficimus : (25.) ita dicit etiam mundum numerali aliquo et musico vinculo vinctum intentione et remissione et additione et sublatione semper et perpetuo integrum conservatum esse. Igitur etiam de dispensatione mundi in hunc modum decernunt Pythagorei :

Profecto enim et prius erat et erit, nec unquam,
[opinor,
Iis ambobus vacuabitur immensum ævum.

Quibus autem his? Discordia et amore. Efficit autem illis amor indelebilem, æternum mundum, ut sibi persuadent ; est enim essentia et mundus unum ; discordia autem dissipat et differt et multa experitur dividendo mundum facere. Tanquam si quis numerando myriadem in chiliades et centena et decades et drachmas in obolos et quadrantes exiguos dirimens secat : ita discordia essentiam mundi, inquit, secat in animalia, plantas, metalla et quæ sunt his similia, et est generationis eorum quæ nascuntur omnium secundum eos artifex discordia, amor autem rursus administra et custos universi ut maneat, et in unum dissecta et ab universo abscissa conducens et educens ex vita connectit et apponit toti, ut maneat, et est unum. Non desinet igitur neque discordia distrahere mundum neque amor ea quæ distracta sunt mundo attribuere. Hæc est, ut videtur, secundum Pythagoram mundi dispensatio. Dicit autem Pythagoras fragmina solis esse stellas et animas animalium **266-267** a stellis ferri. Esse autem eas morti obnoxias, cum sunt in corpore, quasi defossas tanquam in sepulcro, resurgere autem et evadere immortales, cum a corporibus liberamur. Unde Plato interrogatus a quopiam quid esset philosophia, respondit : Discessus animæ a corpore, (26.) quippe qui Pythagoræ et horum sermonum exstitisset discipulus, in quibus sermocinatur et per ænigmata et hujusmodi dicta ; *Ex proprio ubi abieris, noli reverti ; sin vero, Furiæ, Justitiæ auxiliatrices, te persequentur, proprium* appellans corpus, *Furias* autem affectiones. Cum igitur, inquit, abis, hoc est excedis ex corpore, noli illud concupiscere ; ubi autem concupisces, rursus te affectus compingent in corpus. Esse enim isti animarum transmigrationem in corpora statuunt, ut etiam Empedocles Pythagorizans ait. Oportet enim, inquit, voluptarias animas, ut Plato dicit, cum humanam conditionem passæ non philosophabuntur, per omnia animalia

VARIÆ LECTIONES.

[83] ἐργαζόμεθα· οὕτω. ἐργαζόμεθα. Οὕτω C, M. [84] διανομῆς. διαμονῆς C, M. Cf. infra l. 50. [85] Infra l. VII, c. 29. p. 248 ed. Ox. vero nomine auctoris affert hæc Empedoclea. [86] Versus Empedocleos antea incognitos Steinius inseruit v. 110. 111. Cf. Philolog. VI. p. 160 et infra l. VII, 29' p. 248, 94, 95 ed Oxon. [87] ἦ. ἦν C, εἰ infra [88] ἦν τε. ἦν C, M, ἦε Roeperus. [89] ἔσσεται· ἔσται C. [90] οὐδέπω τοίω C. [91] κενεώσεται Roeperus; coll. Empedocl. v. 183 Sturz. 63 Krst.' κανὸς ἔσται C, κενὸς ἔσται M. qui susp. κεινώσεται, κενώσεται C infra. [92] ἄσπετος. ἀσβετος C. [93] εἰς ὀβολοὺς Roeperus, καὶ ὀβολοὺς C, M. [94] τὸ νεῖκος τὴν Roeperus, τὸν εἰκοστὴν C, τὴν εἰκαστὴν susp. M. [95] μετ' ἄλλα C. [96] τὰ om. C. Cf. infra. [97] συνάπτει. συνάγει C, M. [98] ὦσιν. εἰσὶν C. [99] σώματος, Πυθαγόρου καὶ τούτων Roeperus, σώματος. Πυθαγόρας οὖν καὶ τούτων C, M. [1] Ad ea quæ sequuntur conferendus est libellus academicus C. Goettlingii Jenæ a. 1852 ed. *Additamentum ad symbolæ thagoricæ.* [2] ἐν οἷς. ἕνια Goettlingius. [3] Jamblich. *Protrept.* p. 340. *Kiessl.* ita : Ἀποδημῶν τῆ· μὴ ἐπιστρέφου· Ἐρινύες γὰρ μετέρχονται. [4] ἰδίην. De Ionismo vide Goettlingii Opusc. varr. l.

Digitized by Google

meare et plantas rursus in humanum corpus, et cum quidem philosophabitur in eodem corpore ter, in cognatæ stellæ naturam ascendere, sin non philosophabitur, rursus ad eadem. Posse igitur inquit interdum animam etiam mortalem evadere, cum a Furiis superetur, hoc est ab affectibus, et immortalem, cum Furias effugiat, qui sunt affectus.

A Δεῖ γάρ, φησὶ, τὰς φιληδόνους ψυχάς, ὡς ὁ Πλάτων λέγει [5], ἐὰν ἐν ἀνθρώπου πάθει γενόμεναι μὴ φιλοσοφήσωσι, διὰ πάντων ζώων ἐλθεῖν καὶ φυτῶν πάλιν εἰς ἀνθρώπινον σῶμα, καὶ ἐὰν μὲν φιλοσοφήσῃ κατὰ τὸ αὐτὸ τρὶς, εἰς τὴν τοῦ συννόμου ἄστρου φύσιν ἀνελθεῖν, ἐὰν δὲ μὴ φιλοσοφήσῃ, πάλιν ἐπὶ τὰ αὐτά. Δύνασθαι οὖν φησί ποτε τὴν ψυχὴν καὶ θνητὴν γενέσθαι, ἐὰν ὑπὸ τῶν Ἐριννύων κρατῆται [6], τουτέστι τῶν παθῶν, καὶ ἀθάνατον, ἐὰν τὰς Ἐριννῦς ἐκφύγῃ, ἃ ἐστι πάθη.

27. Sed quoniam etiam obscure a Pythagora dicta ad discipulos per symbola orsi sumus dicere, placet etiam reliqua attingere, propterea quod etiam hæresiarchæ similiter conati sunt uti symbolis, idque non suis, sed Pythagorea mutuati dicta. Docet igitur Pythagoras discipulos suos his verbis : *Fasciculum vestis stragulæ colligato ;* quoniam qui peregrinari instituunt in lorum colligant vestimenta sua ad usum itineris : ita paratos esse vult discipulos, quia quovis momento mors appropinquare possit, ne quid iis desit eorum, quæ disciplina percipienda sunt. Quapropter ex necessitate ubi primum lucebat **268-269** docebat exhortari inter se Pythagoreos colligare fasciculum vestis stragulæ, hoc est paratos esse ad mortem. *Ignem gladio noli scrutari*, iratum hominem dicendo noli irritare; igni enim similis est iratus, gladio autem sermo. *Verriculum noli supergredi*, noli parvam rem despicere. *Palmam in ædibus noli plantare*, æmulationem in ædibus noli excitare; pugnæ enim et discordiæ est palma signum. *A sedili noli edere*, illiberalem artem noli tractare, ne servias corpori quod est caducum, sed confice tibi victum a litteris; poteris enim et alere corpus et animam efficere meliorem. *A solido pane noli mordere*, opes tuas ne minueris, sed ab reditu vive, custodito autem opes tuas tanquam panem illibatum. *Fabis noli vesci*, regimen urbis ne acceperis ; fabis enim sortiebantur magistratus illo tempore.

κζ'. Ἀλλ' ἐπεὶ καὶ τὰ σκοτεινῶς ὑπὸ τοῦ Πυθαγόρου λεγόμενα πρὸς τοὺς μαθητὰς δι' ὑποσυμβόλων ἐνηρξάμεθα [7] λέγειν, δοκεῖ καὶ τῶν ἑτέρων ὑπομνησθῆναι διὰ τὸ καὶ τοὺς αἱρεσιάρχας τοιούτῳ τινὶ τρόπῳ ἐπικεχειρηκέναι ὁμιλεῖν διὰ ὑποσυμβόλων, B καὶ τοῦτο οὐκ ἰδίων [8], ἀλλὰ Πυθαγορείων πλεονεκτήσαντες λόγων. Διδάσκει οὖν ὁ Πυθαγόρας τοὺς μαθητὰς λέγων· *Τὸν στρωματό | δεσμον δῆσον* [9]· ἐπεὶ οἱ ὁδοιπορεῖν μέλλοντες εἰς δέρμα δεσμοῦσι τὰ ἱμάτια αὐτῶν πρὸς ἑτοιμασίαν τῆς ὁδοῦ· οὕτως ἑτοίμους εἶναι θέλει [10] τοὺς μαθητὰς, ὡς καθ' ἑκάστην στιγμὴν τοῦ θανάτου ἐφεστηκέναι μέλλοντος, μηδὲν ἔχοντας [11] τῶν μαθητῶν ἐνδεές. Διόπερ ἐξ ἀνάγκης ἅμα τῷ [p. 183. 184] ἡμέραν γενέσθαι ἐδίδασκε διακελεύεσθαι αὐτοῖς [12] τοὺς Πυθαγορείους δεσμεύειν τὸν στρωματόδεσμον, τουτέστιν ἑτοίμους εἶναι πρὸς θάνατον. *Πῦρ μαχαίρῃ μὴ σκάλευε*, Τὸν τεθυμωμένον ἄνθρωπον, λέγων, μὴ ἐρέθιζε· πυρὶ γὰρ ἔοικεν ὁ θυμούμενος, μαχαίρᾳ [13] δὲ λόγος. *Σάρον μὴ* [14] *ὑπέρβαινε*, Μικροῦ πράγματος μὴ καταφρόνει. *Φοίνικα* [15] *ἐν οἰκίᾳ μὴ φύτευε*, Φιλονεικίαν ἐν οἰκίᾳ μὴ κατασκεύαζε· μάχης γὰρ καὶ διαφορᾶς [16] ἐστὶν ὁ φοῖνιξ σημεῖον. *Ἀπὸ δίφρου* [17] *μὴ ἔσθιε*, Βάναυσον τέχνην μὴ μεταχειρίζου, ἵνα μὴ δουλεύσῃς τῷ σώματι ὄντι φθαρτῷ, ἀλλὰ ποιοῦ τὸν βίον ἀπὸ λόγων [18]· ἐνέσται γάρ σοι καὶ τρέφειν τὸ σῶμα καὶ τὴν ψυχὴν ποιεῖν κρείττονα. *Ἀπὸ ὅλου ἄρτου* [19] *μὴ ἀπόδακνε*· τὰ ὑπάρχοντά σου μὴ μειοῦ, ἀλλὰ ἀπὸ τῆς προσόδου ζῆθι, φύλασσε δὲ τὴν οὐσίαν ὡς ἄρτον ὁλόκληρον. *Κυάμους μὴ ἔσθιε*· ἀρχὴν πόλεως μὴ ἀποδέχου· κυάμοις γὰρ ἐκληροῦντο τὰς ἀρχὰς κατ' ἐκεῖνον τὸν χρόνον [20].

28. Hæc igitur et his similia Pythagorei docent, quos imitati hæretici magna quædam quibusdam videntur dicere. Conditorem autem esse universorum quæ facta sunt dicit Pythagorea doctrina magnum geometram et arithmetam solem, eumque fixum esse in universo mundo veluti in corporibus animam, ut ait Plato. Ignis enim est sol ut anima, corpus autem terra. Seorsum autem ab igne nihil unquam cerni posset neque comprehendi sine ali-

κη'. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα οἱ Πυθαγόρειοι λέγουσιν, οὓς μιμούμενοι οἱ αἱρετικοὶ μεγάλα νομίζονταί τισι λέγειν. Δημιουργὸν δὲ εἶναι τῶν γενομένων [21] πάντων φησὶν ὁ Πυθαγόρειος λόγος τὸν μέγαν γεωμέτρην καὶ ἀριθμητὴν ἥλιον, καὶ ἐστηρίχθαι τοῦτον ἐν ὅλῳ τῷ κόσμῳ, καθάπερ ἐν τοῖς σώμασι ψυχήν, ὥς φησιν ὁ | Πλάτων. Πῦρ γάρ ἐστιν ἥλιος ὡς [22] ψυχή, σῶμα δὲ [23] γῆ. Χωρισθὲν [24] δὲ πυρὸς οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο, οὐδὲ ἁπτὸν ἄνευ τινὸς

VARIÆ LECTIONES.

[5] Plat. *Phaedr.* p. 249 b. M. [6] κρατεῖται pr. C. [7] ἐνηρξάμεθα. ἐνήρμεθα C, ἀνηρήμεθα susp. M, ἐνήργμεθα Goettlingius et Roeperus. [8] οὐχ ἰδίων C. [9] Diogenes et Jamblichus : τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν. [10] θέλειν C. [11] μηδὲν ἔχοντας τῶν παθητῶν ἐν δέει susp. M. [12] διακελεύεσθε αὐτοῖς C. [13] μαχαίρᾳ. μάχαιρα C, M. [14] Plutarch. *Sympos.* VIII. 7 et *Quæst. Rom.* 112 : Μὴ σάρον ὑπερβαίνειν. Σάρον Roeperus coll. Lobeckio *ad Phrynich.* p. 83 : Ἄσαρον C, M. [15] Plutarch. *De Isid. et Osir.* 10 : Μὴ φοίνικα φυτεύειν. [16] διάφορας Roeperus, διαφθορᾶς C, M. [17] Cf. Plutarch *Quæst. Rom.* 112. [18] τῶν βίων ἀπόλογον C. [19] Suidas s. v. Ἀναξίμανδρος : Ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν. [20] ἐκείνων τῶν χρόνων C. [21] γενομένων. λεγομένων C, M. [22] ἥλιος ὡς Roeperus, ἥλιος C, ἥλιος καὶ s. ἡ susp. M. [23] σῶμα δὲ γῆ Roeperus, σῶμα σελήνη C, M. [24] χωρισθέντων C.

Digitized by Google

στερεοῦ, στερεὸν δὲ οὐκ ἄνευ γῆς. Ὅθεν ἐκ πυρὸς καὶ γῆς ἀέρα τε ὁ Θεὸς ἐν μέσῳ θέμενος τὸ τοῦ παντὸς ἐδημιούργησε σῶμα. Ἀριθμεῖ δὲ, φησὶ, καὶ γεωμετρεῖ τὸν κόσμον ὁ ἥλιος τοιοῦτόν τινα τρόπον. Ὁ μὲν κόσμος ἐστὶν ὁ αἰσθητὸς εἷς, περὶ οὗ λέγομεν τανῦν. Διῄρηκε δ' αὐτὸν ἀριθμητικός τις ὢν καὶ γεωμέτρης εἰς μοίρας ιβ'. Καὶ ἔστι ταῖς μοίραις ταύταις ὀνόματα· Κριὸς, Ταῦρος, Δίδυμοι [28], Καρκίνος, Λέων, Παρθένος, Ζυγὸς, Σκορπίος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες. Πάλιν τῶν δώδεκα μοιρῶν ἑκάστη, διαιρεῖ εἰς μοίρας τριάκοντα, αἵτινές εἰσιν ἡμέραι μηνός. Πάλιν αὖ τῶν [29] τριάκοντα μοιρῶν ἑκάστην μοῖραν διαιρεῖ [p. 184. 185] εἰς λεπτὰ ἑξήκοντα, καὶ τῶν λεπτῶν λεπτὰ καὶ ἔτι λεπτότερα. Καὶ τοῦτο ἀεὶ ποιῶν καὶ μὴ παυόμενος, ἀλλ' ἀθροίζων ἐκ τούτων τῶν [27] μοιρῶν τῶν διῃρημένων καὶ ποιῶν ἐνιαυτὸν, καὶ αὖθις ἀναλύων καὶ διαιρῶν τὸ συγκείμενον τὸν μέγαν ἐνιαυτὸν ἀπεργάζεται κόσμου [28].

κθ'. Τοιαύτη τις, ὡς ἐν κεφαλαίοις εἰπεῖν ἐπελθόντα, ἡ Πυθαγόρου καὶ Πλάτωνος συνέστηκε δόξα, ἀφ' ἧς Οὐαλεντῖνος, οὐκ ἀπὸ τῶν Εὐαγγελίων τὴν αἵρεσιν τὴν ἑαυτοῦ συναγαγὼν, ὡς ἐπιδείξομεν, δικαίως Πυθαγορικὸς, καὶ Πλατωνικὸς, οὐ Χριστιανὸς λογισθείη. Οὐαλεντῖνος τοίνυν, καὶ Ἡρακλέων, καὶ Πτολεμαῖος, καὶ πᾶσα ἡ τούτων σχολὴ, οἱ Πυθαγόρου καὶ Πλάτωνος μαθηταὶ, ἀκολουθήσαντες τοῖς καθηγησαμένοις, ἀριθμητικὴν τὴν | διδασκαλίαν τὴν ἑαυτῶν κατεβάλοντο. Καὶ γὰρ τούτων [29] ἐστὶν ἀρχὴ τῶν πάντων μονὰς ἀγέννητος [30], ἄφθαρτος, ἀκατάληπτος, ἀπερινόητος, γόνιμος καὶ πάντων τῆς γενέσεως αἰτία τῶν γενομένων· καλεῖται δὲ ὑπ' αὐτῶν ἡ προειρημένη μονὰς Πατήρ. Διαφορὰ δέ [31] τις εὑρίσκεται πολλὴ παρ' αὐτοῖς· οἱ μὲν γὰρ αὐτῶν, ἵν' ᾖ παντάπασι καθαρὸν τὸ δόγμα τοῦ Οὐαλεντίνου Πυθαγορικὸν, ἄθηλυν [32] καὶ ἄζυγον καὶ μόνον τὸν πατέρα νομίζουσιν εἶναι· οἱ δὲ ἀδύνατον νομίζοντες δύνασθαι ἐξ ἄῤῥενος μόνου γένεσιν ὅλως τῶν γεγενημένων γενέσθαι τινὸς, καὶ τῷ Πατρὶ τῶν ὅλων, ἵνα γένηται πατὴρ, σιγὴν ἐξ ἀνάγκης συναριθμοῦσι τὴν σύζυγον. Ἀλλὰ περὶ μὲν σιγῆς, πότερόν ποτε σύζυγός ἐστιν ἢ οὐκ ἔστιν, αὐτοὶ πρὸς αὐτοὺς [33] τοῦτον ἐχέτωσαν τὸν ἀγῶνα. Τὰ δὲ νῦν αὐτοὶ [34] ἡμεῖς φυλάττοντες τὴν Πυθαγόρειον ἀρχὴν, μίαν οὖσαν [35] καὶ ἄζυγον, ἄθηλυν [36], ἀπροσδεῆ, μνημονεύσαντες ὡς ἐκεῖνοι διδάσκουσιν ἐροῦμεν. Ἦν ὅλως [37], φησὶ, γεννητὸν [38] οὐδὲν. Πατὴρ δὲ ἦν μόνος ἀγέννητος, οὐ τόπον ἔχων, οὐ χρόνον, οὐ σύμβουλον, οὐκ ἄλλην τινὰ κατ' οὐδένα τῶν τρόπων νοηθῆναι δυναμένην οὐσίαν· ἀλλὰ ἦν μόνος, ἐρημῶν [39], ὡς λέγουσι, καὶ

A quo solido, solidum autem nil sine terra : unde ex igne et terra, aere in medio collocato, Deus universi condidit corpus. Numerat autem, inquit, et metitur mundum sol in hunc fere modum. Mundus visibilis est unus, de quo nunc loquimur. Divisit autem eum tanquam arithmeticus quidam et geometra in partes duodecim. Suntque his partibus nomina : Aries, Taurus, Gemini, Cancer, Leo, Virgo, Libra, Scorpius, Sagittarius, Capricornus, Aquarius, Pisces. Rursus duodecim partium quamque dividit in partes triginta, quæ quidem sunt dies mensis. Rursus triginta partium quamque **270-271** partem dividit in minuta sexaginta et minutorum minuta et vel minima. Et hoc semper faciens nec intermittens unquam, sed coacervans ex divisis his partibus et B conficiens annum et rursus resolvens et dividens compositum magnum annum efficit mundi.

29. Talis quædam, si quidem semel eo delapsi res summas attigimus, Pythagoræ et Platonis constat ratio, a qua Valentinus, non ex Evangeliis hæresin suam concinnans, ut demonstrabimus, jure suo Pythagoreus et Platonicus, non Christianus existimabitur. Valentinus igitur et Heracleo et Ptolemæus et universa horum schola, Pythagoræ et Platonis discipuli, secuti duces suos arithmeticam pro fundamento disciplinæ suæ posuerunt. Etenim horum est principium rerum universarum monas non generata, non intercidens, non comprehensa, cogitatione non percipienda, genitrix omniumque quæ exstant causa C exsistentiæ. Vocatur autem ab iis quam diximus monas Pater. Diversitas autem quædam satis magna reperitur apud eos. Alii enim eorum, ut sit prorsus purum Valentini dogma Pythagoreum, infemineum et injugum et solum Patrem statuunt esse, alii autem arbitrati fieri non posse, ut ex solo masculo quodam generatio omnino generatorum exstitit, et Patri universorum, quo exsistat pater, Sigen necessario adnumerant conjugem. Sed de Sige utrum tandem conjux sit necne, ipsi inter se hoc habento certamen. Nunc vero ipsi nos custodientes Pythagoreum principium, quod unum est et injugum, infemineum, inegenum, commemorantes ut illi docent ostendemus. Erat omnino, inquit, generatum nihil, D Pater autem erat solus ingeneratus, non locum habens, non tempus, non consiliatorem, non aliam ullam quæ aliqua ratione percipi cogitatione posset essentiam. Sed erat solus, solitarius **272-273** ut dicunt, et requiescens ipse in semetipso solus.

VARIÆ LECTIONES.

[28] δίδυμος C. [29] αὖ τῶν. αὐτῶν τῶν C. [27] ἐκ τούτων τῶν. ἐκ τοῦ τῶν C. ἐκ τούτων M. [28] ἐνιαυτὸν — κόσμου Roeperus, ἀθάνατον — κόσμον C, M. [29] τούτοις? [30] Cum his et quæ sequuntur cf. Epitome infra l. x, c. 13. p. 319. sq. ed. Ox. et Iren. c. hær. 1, 1 sqq. [31] Cf. Iren. I, 11. 5. p. 56 ed. *Massuet* : Καὶ γὰρ περὶ αὐτοῦ τοῦ βυθοῦ (qui idem est ac πατὴρ, cf. infra p. 319) πολλαὶ καὶ διάφοροι γνῶμαι παρ' αὐτοῖς· οἱ μὲν γὰρ αὐτὸν ἄζυγον λέγουσιν, μήτε ἄῤῥενα, μήτε θήλειαν, μήτε ὅλως ὄντα τι· ἄλλοι δὲ ἀῤῥενόθηλυν αὐτὸν λέγουσιν εἶναι, ἑρμαφρόδιτου φύσιν αὐτῷ περιάπτοντες. Σιγὴν δὲ πάλιν ἄλλοι συνευνέτην αὐτῷ προσάπτουσιν, ἵνα γένηται πρώτη συζυγία. [32] ἄθηλυν Roeperus, ἄθηλυ C, M. [33] πρὸς αὐτοῖς. πρὸς ἑαυτοὺς M, an παρ' αὐτοῖς? [34] αὐτοὶ. αὐτοῖς C. [35] οὖσαν. οὐσίαν C, M. [36] ἄθηλυ C, M. [37] ἐροῦμεν. Ἦν ὅλως. ἐροῦμέν τε ὅλως C, ἐροῦμεν. Ὅλως M· [38] γενητὸν C. [39] ἐρημῶν — μόνος. Iren. 1, 1 : Ἐν ἡσυχίᾳ καὶ ἐρημίᾳ πολλῇ γεγονέναι. κ. τ. λ.

Digitized by Google

Quoniam autem erat genitalis, placuit ei aliquando pulcherrimum et perfectissimum, quod habebat in ipso, generare et producere; amans enim solitudinis non erat. Amor enim, inquit, erat totus, amor autem non est amor, nisi sit quod ametur. Projecit igitur et generavit ipse Pater, uti erat solus, Mentem et Veritatem, hoc est dyadem, quæ quidem domina et principium exstitit et mater omnium qui intus in pleromate ab iis computantur æonum. Projecta autem Mens et Veritas a Patre, a genitali genitalis, projecit et ipsa Logum et Vitam Patrem imitata. Logus autem et Vita projiciunt Hominem et Ecclesiam. Mens autem et Veritas cum viderent suam prolem genitalem genitam esse, grates egerunt Patri omnium et offerunt ei perfectum numerum, æones decem. Hoc enim, inquit, numero perfectiorem Mens et Veritas Patri afferre non potuerunt. Oportebat enim Patrem, qui perfectus esset, numero celebrari perfecto, perfectus autem est denarius, quia primus eorum qui pluraliter confiunt hic est perfectus. Perfectior autem Pater, quia ingeneratus cum sit solus, per primam unam conjugationem Mentis et Veritatis omnes eorum quæ exsistunt projicere valuit radices.

30. Cum videret igitur et ipse Logus et Vita Mentem et Veritatem celebravisse Patrem omnium numero perfecto, celebrare et ipse Logus cum Vita voluit suum patrem et matrem Mentem et Veritatem. Quoniam autem generata erat Mens et Veritas, neque habebat paternum perfectum, illud non generatum esse, non jam perfecto numero Logus et Vita celebrant suum patrem Mentem, verum imperfecto; duodecim æones enim offerunt Logus et Vita Menti et Veritati. Hæ enim primæ secundum Valentinum æonum radices exstiterunt: Mens et Veritas, Logus et Vita, Homo et Ecclesia, decem autem Mentis et Veritatis, duodecim autem Logi et Vitæ, viginti et octo cuncti. Quibus ponuntur nomina hæcce: Bythius et Mixis, Ageratus et Henosis, **274**-**275** Autophyes et Hedone, Acinetus et Syncrasis, Monogenes et Macaria. Hi sunt decem illi æones, quos alii quidem a Mente et Veritate repetunt, alii autem a Logo et Vita. Alii rursus duodecim illos ab Homine et Ecclesia, alii a Logo et Vita, quibus hæc nomina gratificantur: Paracletus et Pistis, Patricus et Elpis, Metricus et Agape, Æinus et Synesis, Ecclesiasticus et Macariotes, Theletus et Sophia. Ex duodecim au-

A ἀναπαυόμενος αὐτὸς [p. 185—187] ἐν ἑαυτῷ μόνος. Ἐπεὶ δὲ ἦν γόνιμος, ἔδοξεν αὐτῷ ποτε τὸ κάλλιστον καὶ τελειώτατον, ὃ [46] εἶχεν ἐν αὐτῷ, γεννῆσαι καὶ προαγαγεῖν· φιλέρημος γὰρ οὐκ ἦν. Ἀγάπη γάρ, φησὶν, ἦν ὅλος [47], ἡ δὲ ἀγάπη οὐκ ἔστιν ἀγάπη, ἐὰν μὴ ᾖ [48] τὸ ἀγαπώμενον. Προέβαλεν οὖν καὶ ἐγέννησεν [49] αὐτὸς [50] ὁ Πατὴρ, ὥσπερ ἦν μόνος, Νοῦν καὶ Ἀλήθειαν, τουτέστι δυάδα, ἥτις κυρία καὶ ἀρχὴ γέγονε | καὶ μήτηρ πάντων τῶν ἐντὸς πληρώματος καταριθμουμένων [51] αἰώνων ὑπ' αὐτῶν. Προβληθεὶς δὲ ὁ Νοῦς καὶ ἡ Ἀλήθεια ἀπὸ τοῦ Πατρὸς, ἀπὸ γονίμου γόνιμος, προέβαλε καὶ αὐτὸς Λόγον καὶ Ζωὴν, τὸν Πατέρα μιμούμενος· ὁ δὲ Λόγος καὶ ἡ Ζωὴ προβάλλουσιν Ἄνθρωπον καὶ Ἐκκλησίαν.

B Ὁ δὲ νοῦς καὶ ἡ Ἀλήθεια, ἐπεὶ εἶδον [τοῦ Λόγου καὶ τῆς Ζωῆς] [52] τὰ ἴδια γεννήματα γόνιμα γεγενημένα, ηὐχαρίστησαν τῷ Πατρὶ τῶν ὅλων καὶ προσφέρουσιν αὐτῷ τέλειον ἀριθμὸν, αἰῶνας δέκα. Τούτου γὰρ, φησὶ, τελειότερον ἀριθμοῦ ὁ Νοῦς καὶ ἡ Ἀλήθεια τῷ Πατρὶ προσενεγκεῖν οὐκ ἠδυνήθησαν. Ἔδει γὰρ τέλειον ὄντα τὸν Πατέρα ἀριθμῷ δοξάζεσθαι τελείῳ, τέλειος δέ ἐστιν ὁ δέκα, ὅτι πρῶτος τῶν κατὰ πλῆθος γενομένων οὗτός ἐστι τέλειος. Τελειότερος δὲ ὁ Πατὴρ, ὅτι ἀγέννητος ὢν μόνος διὰ πρώτης τῆς μιᾶς συζυγίας τοῦ Νοῦ καὶ τῆς Ἀληθείας πάσας τὰς τῶν γενομένων προβαλεῖν εὐπόρησε ῥίζας.

κλ'. Ἰδὼν οὖν καὶ αὐτὸς ὁ Λόγος καὶ ἡ Ζωὴ, ὅτι ὁ Νοῦς καὶ ἡ Ἀλήθεια δεδόξακαν τὸν Πατέρα τῶν ὅλων ἐν ἀριθμῷ τελείῳ, δοξάσαι καὶ αὐτὸς ὁ Λόγος C μετὰ τῆς Ζωῆς ἠθέλησε τὸν ἑαυτοῦ πατέρα καὶ τὴν μητέρα, τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν. Ἐπεὶ δὲ γεννητὸς [53] ἦν ὁ Νοῦς καὶ ἡ Ἀλήθεια καὶ οὐκ εἶχε τὸ πατρικὸν [54] τέλειον τὴν ἀγεννησίαν, οὐκέτι τελείῳ ἀριθμῷ ὁ Λόγος καὶ ἡ Ζωὴ δοξάζουσι τὸν [55] ἑαυτῶν πατέρα τὸν Νοῦν, ἀλλὰ γὰρ ἀτελεῖ [56]· δώδεκα γὰρ αἰῶνας [57] προσφέρουσιν [58] ὁ Λόγος καὶ ἡ Ζωὴ τῷ Νοΐ καὶ τῇ Ἀληθείᾳ. Αὗται γὰρ πρῶται κατὰ Οὐαλεντῖνον ῥίζαι τῶν αἰώνων γεγόνασι, Νοῦς καὶ Ἀλήθεια, Λόγος καὶ Ζωὴ, Ἄνθρωπος καὶ Ἐκκλησία, δέκα [59] δὲ οἱ τοῦ | Νοὸς καὶ τῆς Ἀληθείας, δύο καὶ δέκα δὲ οἱ τοῦ Λόγου καὶ τῆς Ζωῆς, εἴκοσι καὶ ὀκτὼ οἱ πάντες· οἷς καλοῦσιν ὀνόματα ταῦτα· Βύθιος [60] καὶ Μῖξις, Ἀγήρατος [61] καὶ [p. 187. 188] Ἕνωσις, Αὐτοφυὴς καὶ Ἡδονὴ, Ἀκίνητος καὶ Σύγκρασις [62], Μονογενὴς καὶ Μακαρία. Οὗτοι οἱ δέκα [63] αἰῶνες, οὓς τινες μὲν ὑπὸ τοῦ Νοῦ καὶ τῆς Ἀληθείας λέγουσι, τινὲς δὲ ὑπὸ τοῦ Λόγου καὶ τῆς Ζωῆς [64]. Ἕτεροι δὲ τοὺς δώδεκα [65] ὑπὸ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας, ἕτεροι δὲ ὑπὸ τοῦ Λόγου

D

VARIÆ LECTIONES.

[46] ὃ. ὃν C. [47] ὅλως pr. C. [48] ᾖ. ἦν C. [49] ἐγένησεν C. [50] αὐτός. αὐτὴν C. [51] καταριθμουμένων C. [52] Uncinis septa interpretatio vv. τὰ ἴδια esse videntur. [53] γενητὸς C. [54] τὸν πατρικὸν C. [55] τῶν ἑαυτῶν C. [56] ἀτελεῖ. ἀνατελεῖ C. M. [57] αἰώνων C, M. [58] προφέρουσιν C, M. [59] δέκα. δώδεκα C, M. [60] βύθιος. βυθὸς C, M. Cf. Iren., hær. I, 1, 2. [61] ἀγήρατος. ἀκήρατος C, M. Cf. Iren. l. l. [62] σύγκρασις. σύγκρισις C, M. Cf. Iren. l. l. [63] οἱ δέκα. δώδεκα C, M. [64] τινὲς δὲ — ζωῆς. Cf. Iren. l. l.: Τὸν μὲν λόγον καὶ τὴν ζωὴν μετὰ τὸ προβαλέσθαι τὸν ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν, ἄλλους δέκα αἰῶνας (sc. προβαλεῖν), ὧν τὰ ὀνόματα λέγουσι ταῦτα· βύθιος καὶ μῖξις, κ. τ. λ. Οὗτοι δέκα αἰῶνες, οὓς καὶ φάσκουσιν ἐκ λόγου καὶ ζωῆς προβεβλῆσθαι. [65] Ἕτεροι δὲ τοὺς δώδεκα. — Ἐκκλησίας. Cf. Iren. l. l.: Τὸν δὲ ἄνθρωπον καὶ αὐτὸν προβαλεῖν μετὰ τῆς Ἐκκλησίας αἰῶνας δώδεκα, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· παράκλητος καὶ πίστις, κ. τ. λ.

Digitized by Google

καὶ τῆς Ζωῆς, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· Παράκλητος καὶ Πίστις, Πατρικὸς [60] καὶ Ἐλπὶς, Μητρικὸς [61] καὶ Ἀγάπη, Ἀείνους [62] καὶ Σύνεσις, Ἐκκλησιαστικὸς καὶ Μακαριότης [63], Θελητὸς καὶ Σοφία. Ἀπὸ δὲ τῶν δεκαδύο ὁ δωδέκατος καὶ νεώτατος πάντων τῶν εἰκοσιοκτὼ αἰώνων, θῆλυς ὢν καὶ καλούμενος Σοφία, κατενόησε τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν γεγεννηκότων [64] αἰώνων καὶ ἀνέδραμεν εἰς τὸ βάθος τὸ τοῦ Πατρὸς, καὶ ἐνόησεν, ὅτι οἱ μὲν ἄλλοι πάντες αἰῶνες γεννητοὶ ὑπάρχοντες κατὰ συζυγίαν γεννῶσιν, ὁ δὲ Πατὴρ μόνος ἄζυγος ἐγέννησεν. Ἠθέλησε [65] μιμήσασθαι τὸν Πατέρα καὶ γεννῆσαι [66] καθ' ἑαυτὴν δίχα τοῦ συζύγου, ἵνα μηδὲν ᾖ [67] ἔργον ὑποδεέστερον τοῦ Πατρὸς εἰργασμένη, ἀγνοοῦσα ὅτι ὁ μὲν ἀγέννητος, ὑπάρχων ἀρχὴ τῶν ὅλων καὶ ῥίζα καὶ βάθος καὶ βυθὸς, δυνατῶς ἔχει γεννῆσαι μόνος, γεννητὴ [68] δὲ οὖσα ἡ Σοφία καὶ μετὰ πλείονας γενομένη, τὴν τοῦ ἀγεννήτου δύναμιν οὐ δύναται ἔχειν. Ἐν μὲν γὰρ τῷ ἀγεννήτῳ [69], φησὶν, ἔστι πάντα ὁμοῦ, ἐν δὲ τοῖς γεννητοῖς [70] τὸ μὲν θῆλύ ἐστιν οὐσίας προβλητικὸν, τὸ δὲ ἄῤῥεν μορφωτικὸν τῆς ὑπὸ τοῦ θήλεως προβαλλομένης οὐσίας. Προέβαλεν [71] οὖν ἡ σοφία τοῦτο μόνον ὅπερ | ἠδύνατο, οὐσίαν ἄμορφον [72], καὶ ἀκατασκεύαστον [73]. Καὶ τοῦτό ἐστι, φησὶν, ὃ λέγει Μωϋσῆς· *Ἡ δὲ γῆ* [74] *ἦν ἀόρατος καὶ ἀκατασκεύαστος.* Αὕτη ἐστὶ, φησὶν, ἡ ἀγαθὴ, ἡ ἐπουράνιος Ἱερουσαλὴμ, εἰς ἣν ἐπηγγείλατο ὁ Θεὸς εἰσαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ, λέγων· *Εἰσάξω ὑμᾶς* [75] *εἰς γῆν ἀγαθὴν ῥέουσαν μέλι καὶ γάλα.*

λα'. Γενομένης οὖν ἐντὸς πληρώματος ἀγνοίας κατὰ τὴν σοφίαν καὶ ἀμορφίας κατὰ τὸ γέννημα τῆς σοφίας, [p. 188. 189] θόρυβος ἐγένετο ἐν τῷ πληρώματι [76] [οἱ αἰῶνες οἱ γενόμενοι], ὅτι παραπλησίως ἄμορφα καὶ ἀτελῆ γενήσεται τῶν αἰώνων τὰ γεννήματα καὶ φθορά τις καταλήψεται οὐκ εἰς μακρὰν ποτε τοὺς αἰῶνας. Κατέφυγον οὖν πάντες οἱ αἰῶνες ἐπὶ δέησιν τοῦ Πατρὸς, ἵνα λυπουμένην τὴν Σοφίαν ἀναπαύσῃ· ἔκλαιε [77] γὰρ καὶ κατωδύρετο ἐπὶ τῷ γεγενημένῳ ὑπ' αὐτῆς ἐκτρώματι· οὕτω γὰρ καλοῦσιν. Ἐλεήσας οὖν ὁ Πατὴρ τὰ δάκρυα τῆς Σοφίας καὶ προσδεξάμενος τῶν αἰώνων τὴν δέησιν, ἐπιπροβαλεῖν κελεύει· οὐ γὰρ αὐτὸς, φησὶ, προέβαλεν, ἀλλὰ ὁ Νοῦς καὶ ἡ Ἀλήθεια, Χριστὸν καὶ Πνεῦμα ἅγιον εἰς μόρφωσιν καὶ διαίρεσιν τοῦ ἐκτρώματος καὶ παραμυθίαν καὶ διανάπαυσιν τῶν τῆς Σοφίας στεναγμῶν. Καὶ γίνονται τριάκοντα αἰῶνες μετὰ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τινὲς μὲν οὖν αὐτῶν ταύτην εἶναι θέλουσι τὴν τριακοντάδα τῶν αἰώνων, τινὲς δὲ συνυπάρχειν τῷ Πατρὶ Σιγὴν [78.79] καὶ σὺν αὐτοῖς καταριθμεῖσθαι τοὺς αἰῶνας θέλουσιν. Ἐπιπροβληθεὶς οὖν ὁ Χριστὸς καὶ τὸ ἅγιον Πνεῦμα ὑπὸ τοῦ Νοῦ καὶ τῆς Ἀληθείας, εὐθέως τὸ ἔκτρωμα τὸ ἄμορφον τοῦτο

tem illis duodecimus et natu minimus omnium viginti octo æonum, qui femininus est et nomine vocatus Sophia, contemplatus multitudinem et potestatem æonum, qui generaverе, recurrit in profunditatem Patris, et sensit reliquos omnes æones, utpote generatos, per conjugationem generare, patrem autem solum injugum generavisse. Voluit igitur imitari Patrem et generare per se seorsum a conjuge, ut ne quid inferius Patre opus perfecisset, quippe ignorans, non generatum illum, cum exsistat principium universorum et radix et profunditas et imum, posse generare per se ipsum, Sophiam autem, quæ sit generata et post plures orta, non generati potestatem habere non posse. In non generato enim, inquit, sunt omnia simul, in generatis autem femininum est essentiæ projecticium, masculum autem formativum essentiæ a femineo projectæ. Projecit igitur Sophia hoc solum quod potuit, essentiam informem et inconditam. Et hoc est, inquit, quod ait Moses: *Terra autem erat invisibilis et incondita.* Hæc, inquit, est bona illa et cœlestis Jerusalem, in quam promisit Deus se introducturum filios Israel dicens: *Inducam vos in terram bonam fluentem melle et lacte.*

31. Orta igitur intus in pleromate ignorantia circa Sophiam et informitate circa partum Sophiæ, tumultus exstitit in **276**-**277** pleromate, ne pariter informia et imperfecta evaderent ea, quæ ab æonibus erant generata, et interitus aliquis corriperet post non multum tempus aliquando æones. Confugerunt igitur omnes æones ad precationem Patris, ut mœrentem Sophiam placaret. Plorabat enim et ingemebat propter abortivum a se generatum; sic enim appellant. Miseratus igitur Pater lacrymas Sophiæ accepta precatione æonum insuper projicere jubet. Non enim ipse, inquit, projecit, sed Mens et Veritas Christum et Spiritum sanctum in formationem et discretionem abortivi et consolationem et placationem Sophiæ lamentorum. Et exsistunt triginta æones cum Christo et Spiritu sancto. Jam quidam eorum hanc esse volunt triacontadem æonum, alii autem una exsistere cum Patre Sigen cum iisque computari æones volunt. Insuper projectus igitur a Mente et Veritate Christus et Spiritus sanctus statim abortivum informem hunc Sophiæ a se sola et seorsum a conjuge genitum segregat ab universis æonibus, ne cernentes illum per-

VARIÆ LECTIONES.

[60] πατρικῶς C, M. Cfr. Iren. I. I. [61] μητρικῶς C, M. Cf. Iren. I. I. [62] ἀεινοῦς. αἰῶνος C, M. Cf. Iren. I. I. [63] μακαριστὸς C, M. [64] γεγενηκότων C. [65] Ἠθέλησε δὲ? an Ἠθέλησε οὖν? [66] γεννῆσαι Roeperus, ἐγέννησε C, M. [67] ἦν. ἡ C. [68] γενητὴ C. [69] ἀγενήτῳ C. [70] γενητοῖς C. [71] προσέβαλεν C, M. [72] εὔμορφον C, M. [73] ἀκατασκεύαστον. εὐκατάσβεστον C, εὐκατασκεύαστον M. [74] I Mos. I, 2. [75] II Mos. xxxiii, 3: Καὶ εἰσάξω σε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, coll. cap. iii, 8: Καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλὴν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, κ. τ. λ. [76] Seclusimus quæ ad explicandum vocabulum πλήρωμα ex margine irrepsisse videntur: Ἐφοβοῦντο γὰρ οἱ αἰῶνες οἱ γενώμενοι vel simile quid susp. M. [77] ἔκλαι C. [78.79] Σιγὴν. εἰς γῆν C, M.

Digitized by Google

turbentur per informitatem perfecti æones. Ut igitur A plane non compareat perfectis æonibus abortivi informitas, rursus et Pater insuper projicit unum æonem Staurum, qui cum evasisset magnus, ut a Patre magno et perfecto, in custodiam et munimentum æonum projectus, Terminus evadit pleromatis, habens in se omnes simul triginta æones; hi enim sunt illi qui projecti sunt. Appellatur autem hic Terminus, quoniam extra disterminat a pleromate hysterema; Particeps autem, quoniam participat etiam hysterema; Palus autem, quoniam fixus est immotus et firmus, ut non possit quidquam hysterematis devenire prope æones, qui sunt intus in pleromate. Extra igitur Terminum, Palum, Participem est quæ vocatur ab iis Ogdoas, eaque est Sophia quæ extra pleroma est, quam Christus insuper projectus a B Mente et Veritate formavit effecitque, ut perfectus æon, nulla ex parte iis, qui sunt **278-279** intus in pleromate, inferior habitus evaderet. Postquam igitur formata erat extra pleroma Sophia, nec fieri poterat, ut pariter Christus et Spiritus sanctus ex Mente projecti et Veritate extra pleroma manerent, recurrit a formata illa Christus et Spiritus sanctus ad Mentem et Veritatem intra Terminum, una cum reliquis æonibus magnificans Patrem.

τῆς Σοφίας μονογενὲς | καὶ δίχα συζύγου γεγεννημένον [86] ἀποχωρίζει τῶν ὅλων αἰώνων ἵνα μὴ βλέποντες αὐτὸ ταράσσωνται διὰ τὴν ἀμορφίαν οἱ τέλειοι αἰῶνες. Ἵν' οὖν μηδ' ὅλως τοῖς αἰῶσι τοῖς τελείοις καταφανῇ τοῦ ἐκτρώματος ἡ ἀμορφία, πάλιν καὶ ὁ Πατὴρ ἐπιπροβάλλει [87] αἰῶνα ἕνα τὸν Σταυρὸν [88], ὃς γεγεννημένος μέγας, ὡς μεγάλου καὶ τελείου Πατρὸς, εἰς φρουρὰν καὶ χαράκωμα τῶν αἰώνων προβεβλημένος. Ὅρος γίνεται τοῦ πληρώματος, ἔχων ἐντὸς ἑαυτοῦ πάντας ὁμοῦ τοὺς τριάκοντα αἰῶνας· οὗτοι γάρ εἰσιν οἱ προβεβλημένοι. Καλεῖται δὲ Ὅρος μὲν οὗτος, ὅτι ἀφορίζει ἀπὸ τοῦ πληρώματος ἔξω τὸ ὑστέρημα, Μετοχεὺς [89] δὲ, ὅτι μετέχει καὶ τοῦ ὑστερήματος, Σταυρὸς δὲ, ὅτι πέπηγεν ἀκλινῶς καὶ ἀμετανοήτως [90], ὡς μὴ δύνασθαι μηδὲν τοῦ ὑστερήματος καταγενέσθαι [91] ἐγγὺς [92] τῶν ἐντὸς πληρώματος αἰώνων. Ἔξω οὖν τοῦ Ὅρου, τοῦ Σταυροῦ, τοῦ Μετοχέως ἐστὶν ἡ καλουμένη κατ' αὐτοὺς Ὀγδοάς, ἥτις ἐστὶν ἡ ἐκτὸς πληρώματος Σοφία, ἣν ὁ Χριστὸς ἐπιπροβληθεὶς ὑπὸ [93] τοῦ Νοῦ καὶ τῆς Ἀληθείας [94] ἐμόρφωσε καὶ ἀπεργάσατο τέλειον αἰῶνα, οὐδενὶ [95] τῶν ἐντὸς [p. 189. 190] πληρώματος χείρονουν.... ον [96] γενέσθαι. Ἐπειδὴ δὲ μεμόρφωτο ἡ Σοφία ἔξω [97] καὶ οὐχ οἷόν τε ἦν ἴσον τὸν Χριστὸν καὶ τὸ ἅγιον [Πνεῦμα] [98], ἐκ τοῦ Νοὸς προβεβλημένα καὶ τῆς Ἀληθείας ἔξω τοῦ πληρώματος μένειν, ἀνέδραμεν ἀπὸ τῆς μεμορφωμένης ὁ Χριστὸς καὶ τὸ ἅγιον Πνεῦμα πρὸς τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν ἐντὸς τοῦ Ὅρου [99] μετὰ τῶν ἄλλων αἰώνων δοξάζων τὸν Πατέρα.

32. Postquam igitur exstitit una quædam pax et concordia omnium intra pleroma æonum, placuit C iis non solum per conjugationem magnificavisse illum, verum magnificare etiam per oblationem frugum aptarum Patri. Omnes igitur consenserunt triginta æones unum projicere æonem tanquam communem pleromatis fructum, ut esset unitatis illorum et consensionis et pacis signum. Et solus ab omnibus æonibus projectus Patri hic est, qui appellatur ab illis *communis pleromatis fructus*. Hæc igitur intra pleroma ita erant comparata. Et projectus est communis pleromatis fructus, Jesus (hoc enim nomen illi), pontifex magnus. Quæ autem est extra pleroma Sophia requirens Christum, qui formavit, et Spiritum sanctum, in magnum metum conjecta est, ne periret seorsum ab eo, qui formavisset sese et firmavisset. Et mœrore affecta est et in multa consternatione versata, reputans, D quis esset formator, quis sanctus Spiritus, quo abiisset, quis impediisset quominus adesset, quis invidisset pulchrum illud et divinum spectaculum. In his constituta affectibus vertitur in precationem et supplicationem ejus, qui sese dereliquisset. Precantem igitur illam miseratus est Christus, qui intra pleroma est, reliquique omnes æones et

λβ'. Ἐπεὶ οὖν μία τις ἦν εἰρήνη καὶ συμφωνία πάντων τῶν ἐντὸς πληρώματος αἰώνων, ἔδοξεν αὐτοῖς μὴ μόνον | κατὰ συζυγίαν δεδοξακέναι αὐτὸν, δοξάσαι [δὲ] [94] καὶ διὰ προσφορᾶς καρπῶν πρεπόντων τῷ Πατρί. Πάντες οὖν ἠὐδόκησαν [95] οἱ τριάκοντα αἰῶνες ἕνα προβαλεῖν αἰῶνα, κοινὸν τοῦ πληρώματος καρπὸν, ἵν' ᾖ τῆς ἑνότητος [96] αὐτῶν καὶ τῆς ὁμοφροσύνης καὶ εἰρήνης [97]. Καὶ μόνος ὑπὸ πάντων αἰώνων προβεβλημένος τῷ Πατρὶ οὗτός ἐστιν ὁ καλούμενος παρ' αὐτοῖς *κοινὸς τοῦ πληρώματος καρπός*. Ταῦτα μὲν οὖν ἐντὸς πληρώματος ἦν οὕτως. Καὶ προβέβλητο ὁ κοινὸς τοῦ πληρώματος καρπὸς, ὁ Ἰησοῦς (τοῦτο γὰρ ὄνομα αὐτῷ), ὁ ἀρχιερεὺς ὁ μέγας. Ἡ δὲ ἔξω τοῦ πληρώματος Σοφία, ἐπιζητοῦσα τὸν Χριστὸν τὸν μεμορφωκότα καὶ τὸ ἅγιον Πνεῦμα, ἐν φόβῳ μεγάλῳ κατέστη, ὅτι ἀπολεῖται κεχωρισμένου τοῦ μορφώσαντος αὐτὴν καὶ στηρίσαντος. Καὶ ἐλυπήθη καὶ ἐν ἀπορίᾳ ἐγένετο πολλῇ, λογιζομένη, τίς ἦν ὁ μορφώσας, τί τὸ ἅγιον Πνεῦμα, ποῦ ἀπῆλθε, τίς ὁ κωλύσας αὐτοὺς συμπαρεῖναι, τίς ἐφθόνησε τοῦ καλοῦ καὶ μακαρίου θεάματος ἐκείνου. Ἐπὶ [98] τούτοις καθεστῶσα [99] τοῖς πάθεσι τρέπεται ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ ἀπολιπόντος αὐτήν. Δεσμένης οὖν αὐτῆς κατηλέησεν ὁ Χριστὸς ὁ ἐντὸς πληρώματος ὢν καὶ οἱ ἄλλοι πάντες αἰῶνες, καὶ ἐκ-

VARIÆ LECTIONES.

[86] γεγενημένον C. [87] ἐπεὶ προβάλλει C. [88] τὸν σταυρὸς C, M. De Stauro sive Horo cfr. Iren. c. *hær.* I, 2, 2. 5. et c. 3. [89] μετοχεύς. μεταγωγεύς appellatur ab Irenæo l. l. 1. 2, 4 et c. 3, 1. [90] ἀμετανοήτως. ἀμεταχινήτως Roeperus, ἀμεταβλήτως? [91] καὶ γενέσθαι C, M. [92] ἐγγύς. ἐντὸς ἐγγὺς pr. C. [93] ὑπό. ἀπὸ C, M. [94] Cf. Iren. l. l. 4, 1. [95] οὐδενί τι? [96] χείρονουν... ον. χείρονα νενομισμένον? [97] ἔξω. ἢ ἔξω? M. [98] πνεῦμα add. M. [99] ὄρου ἢ C. [94] αὐτόν. τὸν υἱὸν C, M. δὲ add. M. [95] ηὐδίκησαν C. [96] ἑνότητος. νεότητος C, M. [97] Post εἰρήνης excidit σύμβολον. [98] Ἐπί. Ἐπεὶ C. [99] καθεσπῶσα C.

Digitized by Google

πέμπουσιν ἔξω τοῦ πληρώματος τὸν κοινὸν τοῦ πληρώματος καρπὸν, σύζυγον τῆς ἔξω Σοφίας καὶ διορθωτὴν παθῶν, ὧν ἔπαθεν ἐπιζητοῦσα τὸν Χριστόν. Γενόμενος οὖν ἔξω τοῦ πληρώματος [1] καρπὸς καὶ εὑρὼν αὐτὴν ἐν πάθεσι τοῖς πρώτοις τέτρασι, καὶ φόβῳ καὶ λύπῃ καὶ ἀπορίᾳ καὶ δεήσει, διωρθώσατο [2] τὰ πάθη αὐτῆς, διορθούμενος δὲ ἐώρα, ὅτι ἀπολέσθαι αὐτὰ αἰώνια ὄντα καὶ τῆς Σοφίας ἴδια οὐ καλὸν, οὔτε ἐν [p. 190—192] πάθεσιν εἶναι τὴν Σοφίαν τοιούτοις, ἐν φόβῳ καὶ λύπῃ, | ἱκετείᾳ, ἀπορίᾳ. Ἐποίησεν οὖν, ὡς τηλικοῦτος αἰὼν καὶ παντὸς τοῦ πληρώματος ἔκγονος, ἐκστῆναι τὰ πάθη ἀπ' αὐτῆς, καὶ ἐποίησεν αὐτὰ ὑποστατικὰς [3] οὐσίας, καὶ τὸν μὲν φόβον ψυχικὴν ἐποίησεν οὐσίαν [4], τὴν δὲ λύπην ὑλικὴν, τὴν δὲ ἀπορίαν δαιμόνων, τὴν ἐπιστροφὴν, καὶ δέησιν, καὶ ἱκετείαν ἄνοδον, [5] καὶ μετάνοιαν καὶ δύναμιν ψυχικῆς οὐσίας, ἥτις καλεῖται δεξιά. Ὁ Δημιουργὸς ἀπὸ τοῦ φόβου· τουτέστιν ὃ λέγει, φησὶν, ἡ Γραφή· *Ἀρχὴ σοφίας φόβος Κυρίου* [6]. Αὕτη γὰρ ἀρχὴ τῶν τῆς Σοφίας παθῶν· ἐφοβήθη γὰρ, εἶτα ἐλυπήθη, εἶτα ἠπόρησε, καὶ οὕτως ἐπὶ δέησιν καὶ ἱκετείαν κατέφυγεν. Ἔστι δὲ πυρώδης, φησὶν, ἡ ψυχικὴ οὐσία, καλεῖται δὲ καὶ τόπος [μεσότητος] [7] ὑπ' αὐτῶν καὶ ἑβδομὰς [8] καὶ Παλαιὸς τῶν ἡμερῶν [9]· καὶ ὅσα τοιαῦτα λέγουσι περὶ τούτου, ταῦτα εἶναι τοῦ ψυχικοῦ, ὃν φασιν [10] εἶναι τοῦ κόσμου δημιουργόν· ἔστι δὲ πυρώδης. Λέγει, φησὶ, καὶ Μωϋσῆς· *Κύριος ὁ Θεός σου πῦρ ἐστι φλέγον καὶ καταναλίσκον* [11]. Καὶ γὰρ τοῦτο οὕτως γεγράφθαι θέλει. Διπλῆ δέ τίς ἐστι, φησὶν, ἡ δύναμις τοῦ πυρός· ἔστι γὰρ πῦρ παμφάγον, κατασβεσθῆναι μὴ δυνάμενον [12]..... Κατὰ τοῦτο τοίνυν τὸ μέρος θνητή τίς ἐστιν ἡ ψυχὴ, μεσότης τις οὖσα· ἔστι γὰρ ἑβδομὰς [13] καὶ κατάπαυσις [14]. Ὑποκάτω γάρ ἐστι τῆς ὀγδοάδος, ὅπου ἐστὶν ἡ Σοφία, ἡμέρα μεμορφωμένη [15], καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς, ὑπεράνω δὲ τῆς ὕλης, ἧς [16] ἐστι δημιουργός. Ἐὰν οὖν [17] ἐξομοιωθῇ τοῖς ἄνω, τῇ ὀγδοάδι, ἀθάνατος ἐγένετο καὶ ἦλθεν εἰς τὴν ὀγδοάδα, ἥτις ἐστὶ, φησὶν, Ἱερουσαλὴμ ἐπουράνιος· ἐὰν δὲ ἐξομοιωθῇ τῇ ὕλῃ, τουτέστι τοῖς πάθεσι τοῖς ὑλικοῖς, φθαρτὴ ἔσται [18] καὶ ἀπώλετο.

λγ'. Ὥσπερ οὖν τῆς ψυχικῆς οὐσίας ἡ πρώτη καὶ μεγίστη δύναμις γέγονεν [19]..... εἰκὼν διάβολος, ὁ ἄρχων τοῦ κόσμου τούτου· τῆς δὲ τῶν δαιμόνων οὐσίας, ἥτις ἐστὶν ἐκ τῆς ἀπορίας, ὁ Βεελζεβοὺλ, ἡ Σοφία ἄνωθεν ἀπὸ τῆς ὀγδοάδος ἐνεργοῦσα [p. 192. 193] ἕως τῆς ἑβδομάδος [20]. Οὐδὲν οἶδεν, λέγουσιν, ὁ

A emittunt extra pleroma communem pleromatis fructum, conjugem extraneæ Sophiæ et correctorem passionum, quas perpessa est requirens Christum. Egressus igitur e pleromate communis pleromatis fructus cum reperisset illam in quatuor primis affectibus, et metu et mœrore et consternatione et precatione, correxit affectiones ejus; corrigens autem videbat interire illas, quæ æternæ essent et propriæ Sophiæ, non decere, neque in affectionibus esse Sophiam hujuscemodi in metu et mœrore, supplicatione, consternatione. Fecit igitur, **280 281** ut tantus æon et universi pleromatis soboles, ut discederent affectiones ab illa, reddiditque illas substantiales essentias, et metum quidem animalem reddidit essentiam, mœrorem B autem materialem, consternationem autem dæmonum, conversionem autem et precationem et supplicationem reddidit redditionem et pœnitentiam et potestatem animalis essentiæ, quæ vocatur dextra. Demiurgus a metu; hoc est quod ait, inquit, scriptura : *Timor Domini principium Sophiæ*. Hoc enim principium Sophiæ affectuum. Timebat enim, tum mœrebat, deinde consternabatur et ita ad precationem et supplicationem confugit. Est autem ignea, inquit, animalis essentia, appellatur autem et locus medietatis ab iis et hebdomas et vetustus dierum; et quæ alia ejusdemmodi de hoc dicunt, hæc valere de animali, quem aiunt esse mundi demiurgum; est autem igneus. Dicit, inquit, et Moses : *Dominus Deus tuus ignis est comburens et* C *consumens*. Etenim hoc ita scriptum vult. Duplex autem quædam, inquit, est potestas ignis ; est enim ignis omnivorus qui exstingui nequeat..... Ex hac igitur parte mortalis quædam est anima, cum medietas quædam sit; est enim hebdomas et requies. Est autem subter ogdoadem, ubi est Sophia, dies formatus, et communis pleromatis fructus, supra materiem autem, cujus est demiurgus. Ubi igitur assimilabitur superioribus illis, hoc est ogdoadi, immortalis evadit venitque in ogdoadem, quæ quidem, inquit, est Jerusalem cœlestis; ubi autem assimilabitur materiæ, hoc est affectibus materialibus, fluxa erit et interit.

33. Sicuti igitur animalis essentiæ prima et maxima potestas exsistit..... imago diabolus, rex D mundi hujus, dæmonum autem essentiæ, quæ quidem est e consternatione, Beelzebul, Sophia superne ab ogdoade operans usque ad hebdomadem. **282-283** Nihil plane novit, inquiunt, demiur-

VARIÆ LECTIONES.

[1] Ante καρπὸς excidisse videtur ὁ κοινὸς τοῦ πληρώματος. [2] διορθώσατο C. [3] ὑποστατικάς. ὑποστάτας C, M. [4] οὐσίαν. ἐπιθυμίαν C, M. [5] ἄνοδον. ὁδὸν C. M. [6] Psal. cx, 10; Prov. i, 7, 9, 10. [7] μεσότητος. om. C, M. Cf. infra l. 10 et Iren. l. I. 5, 3, ubi Ogdoas medietatis locum tenere dicitur. [8] εὐδομὰς C. [9] Παλαιὸς τῶν ἡμερῶν Cf. Daniel. vii, 9. 13. 22. [10] φασιν. φησὶν C, M. [11] Cf. supra p. 236, 69. [12] Lacunam signavimus post δυνάμενον, quæ alteram naturam ignis hausit. [13] εὐδομὰς C. [14] ἑβδομὰς καὶ κατάπαυσις Cf. I Mos. II, 2 : Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. [15] ἡμέρα μεμορφωμένη. ἡμέρα μορφωμένη C, ἡ μεμορφωμένη R. Scotus. Cf. Ep. Barnab. Cap. 15. et Ignat. Ep. ad Magnes. cap. 9. [16] ἧς. ἣ C. M. [17] οὖν. om. C, M. [18] ἔσται ἐστὶ Roeperus. [19] Exciderunt quædam ob ὁμοιοτέλευτον, ut videtur. M. [20] εὐδομάδος C. M.

Digitized by Google

gus, sed est insipidus et stultus secundum eos, et quod facit aut parat non intelligit. Ignoranti autem illi quodcunque facit Sophia operatur omnia et robur indit, illaque operante ipsum suis opibus fabricari se mundum opinatus est : unde orsus est dicere : *Ego sum Deus et præter me alter non est.*

34. Est igitur secundum Valentinum tetractys *fons sempiternæ naturæ radices habens*, et Sophia, unde conditio animalis et materialis consistit. Vocatur autem Sophia *spiritus*, demiurgus autem *anima*, diabolus autem *rex mundi*, Beelzebul autem *dæmonum*. Hæc sunt quæ dicunt. Præterea autem arithmeticam facientes suam doctrinam, ut antea dixi, statuunt eos, qui sunt in pleromate, æones triginta rursus insuper projecisse sibi ex eadem ratione æones alios, ut esset pleroma numero perfecto coactum. Ut enim Pythagorei diviserunt in duodecim et triginta et sexaginta : sic hi quæ sunt in pleromate subdividunt. Subdivisa autem sunt etiam ea, quæ sunt in ogdoade, et projecerunt Sophia, quæ est mater omnium animantium secundum eos, et communis pleromatis fructus 70 logos, qui sunt angeli cœlestes, incolentes in Jerusalem, quæ supra est et in cœlis. Hæc enim Jerusalem est Sophia, quæ extra est, et sponsus ejus communis pleromatis fructus. Projecit etiam demiurgus animas; hæc enim essentia animarum. Hic est secundum eos Abraham et Abrahæ hæc soboles. Ex materiali igitur essentia et diabolica fecit demiurgus animabus corpora. Hoc est illud dictum : *Et formavit Deus hominem limo de terra sumpto, et inspiravit in faciem ejus spiraculum vitæ, et factus est homo in animam viventem.* Hic est secundum eos *interior homo*, animalis, in corpore habitans materiali, quod est *materialis*, caducus, imperfectus, e diabolica essentia formatus. Est autem hic *materialis homo* secundum eos tanquam deversorium vel habitaculum modo animæ solius, modo animæ et **284-285** dæmonum, modo animæ et logorum, qui quidem logi sunt superne inspersi a communi pleromatis fructu et Sophia in hunc mundum, habitantes in corpore choico cum anima, quando dæmones non cohabitant cum anima. Hoc est, inquit, quod scriptum est in Scriptura : *Hujus rei gratia flecto genua mea ad Deum et Patrem et Dominum Domini nostri Jesu Christi, ut det vobis Deus habitare Christum in interiore homine*, hoc est animali, non corporali, *ut possitis intelligere, quid sit profundum*, quod est Pater universorum, *et quæ*

δημιουργὸς ὅλως, ἀλλ' ἔστιν ἄνους καὶ μωρὸς κατ' αὐτοὺς, καὶ τί πράσσει ἢ ἐργάζεται, οὐκ οἶδεν. Ἀγνοοῦντι δὲ αὐτῷ, ὅτι δὴ[21] ποιεῖ, ἡ Σοφία ἐνήργησε πάντα καὶ ἐνίσχυσε, καὶ ἐκείνης ἐνεργούσης αὐτὸς ὤετο ἀφ' ἑαυτοῦ ποιεῖν τὴν κτίσιν τοῦ κόσμου· ὅθεν ἤρξατο λέγειν· *Ἐγὼ*[22] *ὁ Θεὸς, καὶ πλὴν ἐμοῦ ἄλλος οὐκ ἔστιν.*

34. Ἔστιν οὖν ἡ[23] κατὰ Οὐαλεντῖνον τετρακτὺς *πηγή τις*[24] *ἀειράου φύσεως ῥιζώματ'*[25] *ἔχουσα*, καὶ ἡ Σοφία, ἀφ' ἧς ἡ κτίσις ἡ ψυχικὴ καὶ ὑλικὴ συνέστηκε νῦν. Καλεῖται δὲ ἡ μὲν Σοφία *πνεῦμα*, ὁ δὲ δημιουργὸς *ψυχή*, ὁ διάβολος δὲ *ὁ ἄρχων τοῦ κόσμου*, Βεελζεβοὺλ δ'[26] *ὁ τῶν δαιμόνων*. Ταῦτά ἐστιν ἃ λέγουσιν. Ἔτι [δὲ][27] πρὸς τούτοις, ἀριθμητικὴν ποιούμενοι τὴν πᾶσαν αὐτῶν διδασκαλίαν, ὡς προεῖπον, τοὺς[28] ἐντὸς πληρώματος αἰῶνας τριάκοντα πάλιν ἐπιπροβεβληκέναι[29] αὐτοῖς κατὰ ἀναλογίαν αἰῶνας ἄλλους, ἵν' ᾖ τὸ πλήρωμα ἐν ἀριθμῷ τελείῳ συνηθροισμένον. Ὡς γὰρ οἱ Πυθαγορικοὶ διεῖλον εἰς δώδεκα καὶ τριάκοντα καὶ ἑξήκοντα [καὶ λεπτὰ λεπτῶν εἰσιν ἐκείνοις, δεδήλωται][30], οὕτως οὗτοι τὰ ἐντὸς πληρώματος ὑποδιαιροῦσιν. Ὑποδιῄρηται δὲ καὶ τὰ ἐν τῇ ὀγδοάδι, καὶ προβεβλήκασιν[31] ἡ Σοφία, ἥτις ἐστὶ μήτηρ πάντων τῶν ζώντων[32] κατ' αὐτοὺς, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς ὁ' λόγους[33] οἵτινές εἰσιν ἄγγελοι | ἐπουράνιοι, πολιτευόμενοι ἐν Ἱερουσαλὴμ τῇ ἄνω, τῇ ἐν οὐρανοῖς, αὕτη γάρ ἐστιν Ἱερουσαλὴμ ἡ ἐξω Σοφία, καὶ ὁ νυμφίος αὐτῆς ὁ κοινὸς[34] τοῦ πληρώματος καρπός. Προέβαλε καὶ ὁ δημιουργὸς ψυχάς· αὕτη γὰρ οὐσία ψυχῶν· οὗτός ἐστι κατ' αὐτοὺς Ἀβραὰμ[35] καὶ ταῦτα τοῦ Ἀβραὰμ τὰ τέκνα. Ἐκ τῆς ὑλικῆς οὐσίας οὖν καὶ διαβολικῆς ἐποίησεν ὁ δημιουργὸς ταῖς ψυχαῖς τὰ σώματα. Τοῦτό ἐστι τὸ εἰρημένον· *Καὶ ἔπλασεν ὁ Θεὸς*[36] *τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών*[37], *καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.* Οὗτός ἐστι κατ' αὐτοὺς ὁ ἔσω ἄνθρωπος, ὁ ψυχικὸς, ἐν τῷ [p. 193. 194] σώματι κατοικῶν τῷ ὑλικῷ, ὅ ἐστιν *ὁ ὑλικὸς*[38], φθαρτὸς, ἀτέλειος[39], ἐκ τῆς διαβολικῆς οὐσίας πεπλασμένος. Ἔστι δὲ οὗτος *ὁ ὑλικὸς ἄνθρωπος* οἱονεὶ κατ' αὐτοὺς πανδοχεῖον ἢ κατοικητήριόν ποτε μὲν ψυχῆς μόνης, ποτὲ δὲ ψυχῆς καὶ δαιμόνων, ποτὲ δὲ ψυχῆς καὶ λόγων, οἵτινές εἰσι λόγοι ἄνωθεν κατεσπαρμένοι ἀπὸ τοῦ κοινοῦ τοῦ πληρώματος καρποῦ καὶ τῆς Σοφίας εἰς τοῦτον τὸν κόσμον, κατοικοῦντες ἐν [σώμα]τι χοϊκῷ μετὰ ψυχῆς, ὅταν δαίμονες μὴ συνοικῶσι τῇ ψυχῇ. Τοῦτο ἐστὶ, φησὶ, τὸ γεγραμμένον ἐν τῇ Γραφῇ·

VARIÆ LECTIONES.

[21] ὅ τι δή. ὅτι δὲ C. [22] Cf. Isa. XLV, 5: Ὅτι ἐγὼ Κύριος ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ Θεός. V Mos. IV, 35. 32, 9. [23] Articulus ante κατὰ Οὐαλεντῖνον fort. rectius deletur. [24] πηγή τις. πηγὴ τῆς C, M. Cf. supra p. 260, 83. [25] ῥίζωμά τε C. [26] δ' Roeperus, om. C, M. [27] δὲ add. M. [28] τοὺς Roeperus, om. C, προβεβηκέναι M. [29] ἐπιπροβεβηκέναι C, M. [30] Quæ uncis inclusimus, in quibus post ἐκείνοις excidisse videntur ὡς, e margine irrepserunt. [31] προβεβήκασιν M. [32] ζώντων. ζώων τῶν C, M. [33] ὁ λόγους. ὁ λόγος C, M. [34] κοινός. κοινωνὸς C, M. [35] Ἀβράμ C. [36] I Mos. II, 7. [37] λαβών. om. I Mos. II, 7. [38] ὁ ὑλικός. ὑλικὸς C, M. [39] ἀτέλειος. τέλειος C, τελέως susp. M.

Digitized by Google

Τούτου χάριν[46] *κάμπτω τὰ γόνατά μου πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ Κύριον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα δῷ ὑμῖν*[47] *ὁ Θεὸς κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον*, τουτέστι τὸν ψυχικόν, οὐ τὸν σωματικόν, *ἵνα ἐξισχύσητε νοῆσαι, τί τὸ βάθος*, ὅπερ ἐστὶν *ὁ Πατὴρ* τῶν ὅλων, *καὶ τί τὸ πλάτος*, ὅπερ ἐστὶν ὁ Σταυρὸς, ὁ ὅρος τοῦ πληρώματος, *ἢ τί τὸ μῆκος*, τουτέστι τὸ πλήρωμα τῶν αἰώνων. Διὰ | τοῦτο ψυχικὸς, φησὶν, *ἄνθρωπος οὐ δέχεται*[48] *τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι·* μωρία δὲ, φησὶν, ἐστὶν ἡ δύναμις τοῦ δημιουργοῦ, μωρὸς γὰρ ἦν καὶ ἄνους, καὶ ἐνόμιζεν αὐτὸς δημιουργεῖν τὸν κόσμον, ἀγνοῶν, ὅτι πάντα ἡ Σοφία, ἡ μήτηρ, ἡ ὀγδοὰς ἐνεργεῖ αὐτῷ πρὸς τὴν κτίσιν τοῦ κόσμου οὐκ εἰδότι.

sit *latitudo*, quæ est Staurus, terminus pleromatis, *aut quæ longitudo*, hoc est pleroma æonum. Propterea *animalis*, inquit, *homo non percipit ea quæ sunt spiritus Dei; stultitia est enim illi.* Stultitia autem, inquit, est potestas demiurgi; stultus enim erat et insipidus et opinabatur se ipsum fabricari mundum, ignorans omnia Sophiam, matrem, ogdoadem operari sibi ad fabricationem mundi nihil sentienti.

λε'. Πάντες οὖν οἱ προφῆται καὶ ὁ νόμος ἐλάλησαν ἀπὸ τοῦ δημιουργοῦ, μωροῦ λέγει Θεοῦ, μωροὶ οὐδὲν εἰδότες[49]. Διὰ τοῦτο, φησὶ, λέγει ὁ Σωτήρ· *Πάντες*[50] *οἱ πρὸ ἐμοῦ ἐληλυθότες κλέπται καὶ λῃσταί εἰσι·* καὶ ὁ Ἀπόστολος· *Τὸ μυστήριον*[51] *ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη.* Οὐδεὶς γὰρ, φησὶ, τῶν προφητῶν εἴρηκε περὶ τούτων οὐδὲν, ὧν ἡμεῖς λέγομεν· ἠγνοεῖτο γάρ· πάντα[52]..... ἅτε δὴ ἀπὸ μόνου τοῦ δημιουργοῦ λελαλημένα. Ὅτε οὖν τέλος ἔλαβεν ἡ κτίσις, καὶ ἔδει λοιπὸν γενέσθαι τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, τουτέστι τοῦ δημιουργοῦ, τὴν ἐγκεκαλυμμένην, ἣν, φησὶν, ἐγκεκάλυπτο ὁ ψυχικὸς ἄνθρωπος, καὶ εἶχε κάλυμμα ἐπὶ τὴν καρδίαν· ὁπότε οὖν ἔδει ἀρθῆναι τὸ κάλυμμα καὶ ὀφθῆναι ταῦτα τὰ μυστήρια, γεγέννηται[53] ὁ Ἰησοῦς διὰ Μαρίας τῆς Παρθένου [p. 194, 195] κατὰ τὸ εἰρημένον· *Πνεῦμα ἅγιον*[54] *ἐπελεύσεται ἐπὶ σέ.* Πνεῦμά ἐστιν ἡ Σοφία· *καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι·* Ὕψιστός ἐστιν ὁ δημιουργός· *διὸ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται.* Γεγέννηται[55] γὰρ οὐκ ἀπὸ Ὑψίστου μόνου[56] ὥσπερ οἱ κατὰ τὸν Ἀδὰμ κτισθέντες ἀπὸ μόνου ἐκτίσθησαν τοῦ Ὑψίστου, τουτέστι [τῆς Σοφίας καὶ][57] τοῦ δημιουργοῦ· ὁ δὲ Ἰησοῦς ὁ καινὸς | ἄνθρωπος ἀπὸ[58] Πνεύματος ἁγίου, τουτέστι τῆς Σοφίας καὶ τοῦ δημιουργοῦ, ἵνα τὴν μὲν πλάσιν καὶ κατασκευὴν τοῦ σώματος αὐτοῦ ὁ δημιουργὸς καταρτίσῃ, τὴν δὲ οὐσίαν αὐτοῦ τὸ Πνεῦμα παράσχῃ τὸ ἅγιον, καὶ γένηται Λόγος ἐπουράνιος ἀπὸ τῆς ὀγδοάδος γεννηθεὶς[59] διὰ Μαρίας. Περὶ τούτου ζήτησις μεγάλη ἐστὶν αὐτοῖς καὶ σχισμάτων καὶ διαφορᾶς ἀφορμή. Καὶ γέγονεν ἐντεῦθεν ἡ διδασκαλία αὐτῶν διῃρημένη, καὶ καλεῖται ἡ μὲν ἀνατο-

35. Omnes igitur prophetæ et lex locuti sunt per demiurgum, stultum, inquit, Deum, stulti nil sentientes. Propterea, inquit, ait Soter: *Omnes, qui ante me venerunt, fures sunt et latrones*, et Apostolus: *Mysterium, quod prioribus ævis non innotuit.* Nemo enim, inquit, ex prophetis dixit de his quidquam, quæ nos dicimus, ignorabantur enim; omnia..... utpote per solum demiurgum dicta. Postquam igitur ad finem pervenit creatio, et oportuit deinceps revelari filios Dei, hoc est demiurgi, hoc est conditionem velatam, qua, inquit, obvelatus erat animalis homo habuitque velamen super cor — postquam igitur oportuit tolli velamen conspicique hæc mysteria, natus est Jesus per Mariam virginem secundum id quod scriptum est: *Spiritus sanctus superveniet in te* (Spiritus est Sophia), **286-287** *et virtus Altissimi obumbrabit tibi:* (altissimus est demiurgus), *ideoque quod nascetur ex te sanctum vocabitur.* Generatus enim est non ab altissimo solo, sicut ii, qui secundum Adam creati sunt, a solo creati sunt Altissimo, hoc est demiurgo; Jesus autem, novus homo, a Spiritu sancto, hoc est Sophia, et demiurgo, ut fabricam quidem et apparitionem corporis ejus demiurgus exornaverit, essentiam autem ejus spiritus præstiterit sanctus, et exstiterit logus cœlestis ab ogdoade generatus per Mariam. De hoc quæstio magna est illis et dissidiorum dissensionisque causa, et hinc exstitit eorum doctrina bifariam divisa, quarum altera vocatur orientalis secundum eos, altera Italica. Et ii quidem, qui sunt ab Italia, quorum Heracleo est et Ptolemæus, animale dicunt exstitisse corpus Jesu, et propterea in baptismo spiritus tanquam colum-

VARIÆ LECTIONES.

λη'. Ἀπελλῆς[11] δὲ ἐκ τούτων γενόμενος οὗτος λέγει· Εἶναί τινα Θεὸν ἀγαθόν, καθὼς καὶ Μαρκίων ὑπέθετο, τὸν δὲ πάντα κτίσαντα εἶναι δίκαιον, τὰ γενόμενα ἐδημιούργησε, καὶ τρίτον τὸν Μωσαλήσαντα, πύρινον δὲ τοῦτον εἶναι, εἶναι δὲ καὶ τέταρτον ἕτερον, κακῶν αἴτιον· τούτους δὲ ἀγγέλους ὀνομάζει. Νόμον δὲ καὶ προφήτας δυσφημεῖ, ἀνθρώπινα καὶ ψευδῆ φάσκων εἶναι τὰ γεγραμμένα. τὰ δὲ Εὐαγγελίων ἢ τοῦ Ἀποστόλου τὰ ἀρέσκοντα αὐτῷ αἱρεῖται. Φιλουμένης δέ τινος λόγοις προσέχει ὡς προφήτιδος φανερώσεσι[13]. Τὸν δὲ Χριστὸν ἐκ τοῦ ὑπερθεν δυνάμεως κατεληλυθέναι, τουτέστι τοῦ ἀγαθοῦ, κἀκεῖνον αὐτὸν εἶναι υἱόν, τοῦτον δὲ οὐκ ἐκ παρθένου γεγεννῆσθαι, οὐδὲ ἄσαρκον εἶναι τὸν φανέντα[15] λέγει, ἀλλ' ἐκ τῆς τοῦ παντὸς οὐσίας μεταλαβόντα μερῶν σῶμα πεποιηκέναι, τουτέστι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, καὶ ἐν τούτῳ τῷ σώματι λαθόντα[18] τὰς κοσμικὰς ἐξουσίας βεβιωκέναι ὃν ἐβίωσε χρόνον ἐν κόσμῳ· αὖθις δὲ ὑπὸ Ἰουδαίων ἀνασκολοπισθέντα θανεῖν, καὶ μετὰ τρεῖς ἡμέρας ἐγερθέντα φανῆναι τοῖς μαθηταῖς, δείξαντα τοὺς τύπους[16] τῶν ἥλων καὶ τῆς | πλευρᾶς, πεῖσαι δὲ αὐτοὺς εἴη καὶ οὐ φάντασμα, ἀλλὰ ἐνσαρκος· τὴν Σάρκα, φησί, δείξας ἀπέδωκε γῇ, ἐξ ἧσπερ ἦν ἡ οὐσίας, μηδὲν ἀλλότριον[17] πλεονεκτῶν, ἀλλὰ τῷ καιρὸν χρησάμενος, ἑκάστοις τὰ ἴδια ἀπέδωκε, ὅσας πάλιν τὸν δεσμὸν τοῦ σώματος, θερμῷ τὸ θερμόν, ψυχρῷ τὸ ψυχρόν, ὑγρῷ τὸ ὑγρόν, ξηρῷ τὸ ξηρόν, καὶ οὕτως ἐπορεύθη πρὸς τὸν ἀγαθὸν πατέρα, καταλιπὼν τὸ τῆς ζωῆς σπέρμα εἰς τὸν κόσμον τοῖς τῶν μαθητῶν τοῖς πιστεύουσι.

λθ'. Δοκεῖ ἡμῖν καὶ ταῦτα ἱκανῶς ἐκτεθεῖσθαι· ἀλλ' ἐπεὶ μηδὲν παραλιπεῖν ἀνέλεγκτον ἐκρίναμεν τῶν ὑπό τινων δεδογματισμένων, ἴδωμεν τί καὶ τοῖς[18] Δοκήταις ἐπινενοημένον.

VARIÆ LECTIONES.

[8] δυσφημίσας C. [9] δὲ καί. τε καὶ C, M. [10] Cf. Pseudo-Tertullian. *adv. omnes hær.* c. 6. Tertull. *De præscript. hæret.* 30. Euseb. *H. E.* v, 13. Theodoret. *Hær. fab.* i, 25. [11] Ἀπελὴς C. [12] δὲ καὶ τὰ καὶ C. [13] φανερώσεσι. φανερῶς C, M. [15] Cf. infra l. x, c. 20. p. 327. ed. Ox. 14 τὸν φανέντα φανέντα C, M. [18] λαθόντα. λαβόντα M. [16] Cf. Ev. Joan. xx, 25 et Luc. xxiv, 39. [17] ἀλλότρεον. ἀλτρεον C. [18] τοῖς. τῆς C.

Digitized by Google

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

ΒΙΒΛΙΟΝ Η'.

REFUTATIONIS OMNIUM HÆRESIUM

LIBER OCTAVUS.

α'. [p. 261, 262] Τάδε ἐνεστιν ἐν τῇ ὀγδόῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου·

β. Τίνα τοῖς Δοκηταῖς [19] τὰ δοκοῦντα, καὶ ὅτι ἐκ φυσικῆς φιλοσοφίας ἃ λέγουσιν ἐδογμάτισαν.

γ'. Πῶς ὁ Μονοῖμος [20] ληρεῖ [21] ποιηταῖς καὶ γεωμέτραις καὶ ἀριθμητικοῖς προσέχων.

δ'. Πῶς Τατιανὸς γεγένηται [22] ἐκ τῶν Οὐαλεντίνου [23] καὶ Μαρκίωνος δοξῶν τὰς ἑαυτοῦ συνιστῶν [24], ὁ δὲ Ἑρμογένης τοῖς Σωκράτους δόγμασι κέχρηται, οὐ τοῖς Χριστοῦ.

ε'. Πῶς πλανῶνται οἱ τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἐπιτελεῖν φιλονεικοῦντες.

ς'. Τίς ἡ πλάνη τῶν Φρυγῶν, νομιζόντων Μοντανὸν καὶ Πρισκίλλαν καὶ Μαξιμίλλαν προφήτας.

ζ'. Τίς ἡ τῶν Ἐγκρατιτῶν [25] κενοδοξία, καὶ ὅτι ἐξ αὐτῶν καὶ [26] οὐκ ἐξ ἁγίων Γραφῶν τὰ δόγματα αὐτῶν συνέστηκεν, [ἀλλ' ἐκ τῶν παρ' Ἰνδοῖς γυμνοσοφιστῶν [27].]

η'. Ἐπεὶ οἱ πολλοὶ [28] τῇ τοῦ Κυρίου συμβουλίᾳ μὴ χρώμενοι, τὴν δοκὸν ἐν τῷ ὀφθαλμῷ ἔχοντες, ὁρᾶν ἐπαγγέλλονται [29] τυφλώττοντες, δοκεῖ ἡμῖν μηδὲ τὰ τούτων δόγματα σιωπᾶν, ὅπως κἂν διὰ τοῦ ὑφ' ἡμῶν γινομένου ἐλέγχου πρὸς αὐτῶν [30] αἰδεσθέντες ἐπιγνῶσι, πῶς συνεβούλευσεν ὁ Σωτὴρ ἐξαιρεῖν τὴν δοκὸν πρῶτον, εἶτα διαβλέπειν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ. Αὐτάρκως οὖν καὶ ἱκανῶς ἐκθέμενοι τὰ τῶν πλειόνων ἐν ταῖς πρὸ ταύτης βίβλοις ἐπτά, νῦν τὰ ἀκόλουθα οὐ σιωπήσομεν, τὸ ἄφθονον τῆς χάριτος τοῦ ἁγίου Πνεύματος ἐπιδεικνύντες, καὶ τοὺς τῷ δοκεῖν ἀσφάλειαν λόγων κεκτῆσθαι [31] ἐλέγξομεν, οἵγε [32] ἑαυτοὺς Δοκητὰς ἀπεκάλεσαν, [p. 262, 263] δογματίζοντες ταῦτα· Θεὸν εἶναι τὸν πρῶτον [33] οἱονεὶ [34] σπέρμα συκῆς, μεγέθει μὲν ἐλάχιστον παντελῶς, δυνάμει δὲ ἄπειρον [35], τα-

412-413 1. Hæc insunt in octavo libro refutationis omnium hæresium:

2. Quænam Opinarii (Docetæ) opinati sint, quos a naturali philosophia profectos doctrinam suam professos esse.

3. Quomodo Monoimus ineptiat poetis et geometris arithmeticisque sese applicans.

4. Quomodo Tatianus profectus sit a Valentini et Marcionis sententiis suas ipsius constituens, Hermogenes autem Socratis placitis usus sit, non Christi.

5. Quomodo aberrent, qui ut Pascha die decima quarta celebrent litigiose contendant.

6. Quisnam sit error Phrygum, qui Montanum et Priscillam Maximillamque prophetas esse putent.

7. Quænam Continentium (Encratitarum) sit inanis gloria, quorum præcepta ex ipsis, non ex sacris Scripturis profecta esse, [sed ex gymnosophistis apud Indos.]

8. Quoniam plerique consilio Domini non usi trabem in oculo habentes se videre profitentur, cum cæcutiant, placet nobis ne horum quidem dogmata silere, ut vel per refutationem a nobis factam ex se ipsis pudentes cognoscant, quomodo consilium dederit Salvator eximendæ trabis primo, tum perspiciendæ festucæ in oculo fratris. Sufficienter igitur satisque postquam exposuimus plurimorum doctrinas in septem qui hunc præcedunt libris, nunc quæ sequuntur non silebimus, monstrantes liberalitatem gratiæ Spiritus sancti, illosque qui opinando securitatem sermonum sese nactos esse putant, coarguemus, qui quidem semetipsos Docetas appellaverunt **414-415** talia professi: Deum primum esse, tanquam semen sit arboris fici, magnitudine quidem prorsus minimum, potentia autem infinitum, homi-

VARIÆ LECTIONES.

[19] Δοκήταις C, M, qui codicis accentum variantem in Δοκῆται et Δοκηταί servavit. [20] ὁ Μονοῖμος. ὁ μὲν Νόϊμος corr. C, sicut infra l. x, c. 17, p. 325 ed. Ox. Οἱ δὲ κατὰ Νόϊμον, Μονοῖμος Theodoret. *Hær. fab.* I, 18. [21] ληρεῖ. ληροῖ C, M. [22] γεγένηται. αἱρετικὸς γεγένηται conj. M, an. κεκίνηται? Cf. supra p. 346, 24. [23] Οὐαλεντιανοῦ C. [24] δοξῶν τὰς ἑαυτοῦ συνιστῶν Roeperus, δόξας ἑαυτὸν συνιστᾷν C, δόξας ἑαυτῷ συνιστῶν conj. M. [25] Ἐγκρατητῶν C, M. [26] ἐξ αὐτῶν καὶ delenda esse censet M. [27] ἀλλ'—γυμνοσοφιστῶν uncinis inclusimus. [28] Cf. Matth. VII, 3, 4. Luc. VI, 41, 42. [29] ἐπαγγέλονται C. [30] πρὸς αὐτῶν. αὐτῶν? [31] Post κεκτῆσθαι excidit οἰομένους vel tale quid. M. [32] οἵγε. οἵς C, οἱ M. [33] τὸν πρῶτον. τὸ πρῶτον conj. M; sed cf. infra l. x, c. 16, p. 324 init. ed. Ox. [34] οἱονεὶ C. [35] ἄπειρον om. C, M.

Digitized by Google

lis magnitudo, innumera multitudine, ad generationem sufficiens, metuentium refugium, nudorum tegumentum, pudendi velamentum, fructus quæsitus, ad quem venit quærens, inquit, ter et non invenit; propterea maledixit, inquit, arbori fici, quia dulcem illum fructum non invenit in ea, fructum quæsitum. Talis autem cum sit, ut strictim dicamus, tantusque, hoc est parvus et minutus secundum illos deus, mundus factus est, ut illis placet, in hunc fere modum. Postquam rami arboris fici teneri facti sunt, provenerunt folia, sicuti videre licet, deinde autem fructus, in quo infinitum et innumerabile reconditum custoditur semen ficus. Tria igitur esse opinamur, quæ primo a semine ficulneo exstiterint: stirpem quæ est arbor fici, folia et fructum, hoc est ficum, ut antea diximus. Ita, inquit, tres exstiterunt æones, a primo principio universi principia; et hoc, inquit, ne Moses quidem siluit, cum dicat voces Dei tres esse: *Tenebræ, caligo, turba, nihilque addidit.* Nihil enim, inquit, Deus tribus addidit æonibus, sed ipsi omnia universis quæ nata sunt præstiterunt atque præstant. Manet autem Deus ipse per se longe a tribus æonibus remotus. Horum, inquit, æonum principium generationis nactus, ut dictum est, quisque paulatim crevit et auctus est et evasit perfectus. Perfectum autem esse opinantur id, quod numeratur decem. Cum igitur numero et perfectione pares inter se evaserint æones, ut illi opinantur, triginta exstiterunt æones universi, quisque eorum decade absolutus. Sunt autem a se invicem discreti et honorem habent invicem unum, cum positione tantum differant, quia aliud primum est, aliud secundum, aliud eorum tertium. Positio autem iis differentiam potentiæ exhibuit; qui enim **416-417** proxime a primo deo, qui tanquam semen est, positionem nactus est, genitaliorem reliquis habuit potestatem, decies semet magnitudine mensus ipse immensus; qui autem positione primi factus est secundus, sexies semet comprehendit incomprehensibilis ille; is autem, qui jam tertius positione, in infinitam distantiam propter incrementa fratrum delatus, cum ter semet cogitaret, tanquam vinculum quoddam unitatis semetipsum vinxit æonum.

9. Et hoc opinantur hi esse id, quod dictum est a Salvatore: *Exiit seminans ad seminandum, et id, quod cecidit in terram pulchram et bonam, faciebat aliud centum, aliud sexaginta, aliud triginta.* Et

A πεινὸν μέγεθος, ἀνήριθμον ἐν πλήθει, πρὸς γένεσιν ἀπροσδεὲς [36], φοβουμένων καταφυγὴ [37], γυμνῶν σκέπη, αἰσχύνης [38] ἐπικάλυμμα [39], ζητούμενος [40] καρπὸς, ἐφ' ὃν ἦλθεν ὁ ζητῶν, φησὶ, τρὶς [41] καὶ οὐχ εὗρε, διὸ κατηράσατο, φησὶ, τῇ συκῇ, ὅτι τὸν γλυκὺν ἐκεῖνον καρπὸν οὐχ εὗρεν ἐν αὐτῇ, καρπὸν [42] ζητούμενον. Τοιούτου δὲ ὄντος, ὡς εἰπεῖν τύπῳ [43], καὶ τηλικούτου, μικροῦ καὶ ἀμεγέθους [44] κατ' ἐκείνους τοῦ θεοῦ, γέγονεν ὁ κόσμος, ὡς ἐκείνοις δοκεῖ, τοιοῦτόν τινα τρόπον· Ἀπαλῶν γενομένων [45] τῶν κλάδων τῆς συκῆς προῆλθε φύλλα, ὥσπερ ἐστὶν ὁρώμενον, ἑπομένως δὲ ὁ καρπὸς, ἐν ᾧ τὸ ἄπειρον καὶ τὸ ἀνεξαρίθμητον θησαυριζόμενον φυλάσσεται σπέρμα συκῆς. Τρία οὖν εἶναι δοκοῦμεν τὰ πρώτως ὑπὸ τοῦ σπέρματος γενόμενα τοῦ συκίνου· πρέμνον,

B ὅπερ ἐστὶν ἡ συκῆ, φύλλα, καὶ καρπὸς, τὸ σῦκον, ὡς προειρήκαμεν. Οὕτως [46], φησὶ, τρεῖς γεγόνασιν αἰῶνες, ἀπὸ τῆς πρώτης | ἀρχῆς τῶν ὅλων ἀρχαί· καὶ τοῦτο, φησὶν, οὐκ ἐσιώπησεν οὐδὲ Μωϋσῆς λέγων, ὅτι οἱ λόγοι τοῦ Θεοῦ τρεῖς εἰσιν· *Σκότος,* [47] *γνόφος, θύελλα* [48], *καὶ οὐ προσέθηκεν.* Οὐδὲν γὰρ, φησὶν, ὁ Θεὸς τοῖς τρισὶ προσέθηκεν αἰῶσιν, ἀλλ' αὐτοὶ πάντα τοῖς γενητοῖς πᾶσιν ἐπήρκεσαν καὶ ἐπαρκοῦσι. Μένει δὲ ὁ Θεὸς αὐτὸς καθ' ἑαυτὸν πολὺ τῶν τριῶν αἰώνων κεχωρισμένος. Τούτων, φησὶ, τῶν αἰώνων ἀρχὴν γενέσεως λαβὼν, ὡς λέλεκται, κατ' ὀλίγον [49] ηὔξησε, καὶ ἐμεγαλύνθη, καὶ ἐγένετο τέλειος. Τὸ δὲ τέλειον εἶναι δοκοῦσιν ἀριθμούμενον δέκα. Ἴσων οὖν γεγονότων ἀριθμῷ [50] καὶ τελειότητι τῶν αἰώνων,

C ὡς ἐκεῖνοι δοκοῦσι, τριάκοντα γεγόνασιν αἰῶνες οἱ πάντες, ἕκαστος αὐτῶν ἐν δεκάδι πληρούμενος. Εἰσὶ δὲ ἀλλήλων διαίρετοι καὶ [51] τιμὴν ἔχοντες οἱ τρεῖς πρὸς ἑαυτοὺς μίαν, θέσει μόνῃ διαφέροντες, ὅτι τὸ μὲν ἔστι πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τούτων τρίτον. Ἡ δὲ θέσις αὐτοῖς διαφορὰν δυνάμεως παρέσχεν [p. 263, 264] ὁ μὲν γὰρ ἔγγιστα τῷ πρώτῳ θεῷ, τῷ οἱονεὶ σπέρματι, θέσεως [52] τυχὼν τῶν ἄλλων γονιμωτέραν ἔσχε δύναμιν, δεκάκις αὐτὸς αὑτὸν μεγέθει μετρήσας ὁ ἀμέτρητος· ὁ δὲ τῇ θέσει τοῦ πρώτου γενόμενος δεύτερος, ἑξάκις αὐτὸν [53] κατέλαβεν ὁ ἀκατάληπτος· ὁ δὲ ἤδη τρίτος τῇ θέσει, εἰς ἄπειρον διάστημα διὰ τὴν αὔξησιν τῶν ἀδελφῶν γενόμενος, τρὶς νοήσας ἑαυτὸν, οἱονεὶ δεσμόν τινα τῆς ἑνότητος αὐτὸν [54] ἔδησεν αἰώνιον [55].

D θ'. Καὶ τοῦτο εἶναι δοκοῦσιν οὗτοι τὸ λελεγμένον ὑπὸ τοῦ Σωτῆρος· *Ἐξῆλθεν* [56] *ὁ σπείρων τοῦ σπεῖραι, καὶ* [τὸ] [57] *πεσὸν εἰς τὴν γῆν τὴν καλὴν καὶ ἀγαθὴν ἐποίει ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα*

VARIÆ LECTIONES.

[36] Cf. I Mos. III, 7. [37] καταφυγήν, — σκέπην Sauppius. [38] Luc. XIII, 6, 7; Matth. XXI, 19, 20; Marc. XI, 13, 14, 20, 21. [39] ἐπικάλυμα C. [40] ζητούμενον καρπόν Sauppius. [41] τρίς. κύριος Roeperus, sed cf. Luc. XIII, 6, 7. [42] καρπὸν aut delendum aut in τὸν mutandum esse putat M, καρπὸν ζητούμενον delendum esse censet Sauppius. [43] τύπῳ. τόπῳ C. [44] ἀμεγέθους. μεγέθους C. [45] Cf. Matth. XXIV, 32, Marc. XIII, 28. [46] Οὕτως. Οὗτος C, Οὗτοι susp. R. Scottus, [47] Cf. V Mos. V, 19. Τὰ ῥήματα ταῦτα ἐλάλησε Κύριος πρὸς πᾶσαν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς (σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη, καὶ οὐ προσέθηκε), καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας καὶ ἔδωκεν ἐμοί. [48] θύελα C. [49] Ante κατ' ὀλίγον inserendum videtur, ἕκαστος. [50] ἀριθμῷ. ἀριθμῶν C. [51] διαίρετοι καί. διαιρετικοὶ C, M, qui διαιρετοὶ καὶ minus recte susp. [52] θέσεως τυχών. θέσεως, τυχόν C, M. [53] αὐτὸν. αὐτὸν C, M. [54] αὐτὸν. αὐτὸν C, M. [55] αἰώνιον. αἰώνων? [56] Cf. Matth. XIII, 3, 8, Marc. IV, 3, 8; Luc. VIII, 5, 8. [57] τὸ ante πεσόν om. C, M, qui τὸ σπέρμα excidi-

Digitized by Google

δ δὲ τριάκοντα. Καὶ διὰ τοῦτο | εἴρηκε, φησίν· *Ὁ ἔχων* [58] *ὦτα ἀκούειν ἀκουέτω*, ὅτι ταῦτα οὐκ ἔστι πάντων [59] ἀκούσματα. Οὗτοι πάντες οἱ αἰῶνες οἵ τε τρεῖς καὶ οἱ ἀπ' αὐτῶν ἀπειράκις ἄπειροι πάντες εἰσὶν αἰῶνες ἀρσενοθήλυες. Αὐξηθέντες οὖν καὶ μεγαλυνθέντες καὶ γενόμενοι [60] οὗτοι πάντες ἐξ ἑνὸς ἐκείνου τοῦ πρώτου σπέρματος [61], τῆς συμφωνίας αὐτῶν καὶ τῆς ἑνότητος οἱ πάντες, εἰς ἕνα ὁμοῦ γενόμενοι αἰῶνα τὸν μέσον αὐτῶν, γέννημα [62] κοινὸν οἱ πάντες ἐγέννησαν ἐκ παρθένου μιᾶς, τὸν ἐν μεσότητι Μαρίας Σωτῆρα πάντων [63], ἰσοδύναμον κατὰ πάντα τῷ σπέρματι τῷ συκίνῳ, πλὴν ὅτι γεννητὸς [64] οὗτος, τὸ δὲ πρῶτον σπέρμα ἐκεῖνο, ὅθεν γέγονεν ἡ συκῆ, ἐστὶν ἀγέννητον. Κεκοσμημένων [65] οὖν τῶν τριῶν αἰώνων ἐκείνων παναρέτως καὶ παναγίως, ὡς δοκοῦσιν οὗτοι διδάσκοντες, καὶ τοῦ παιδὸς ἐκείνου τοῦ μονογενοῦς (γέγονε γὰρ μόνος τοῖς ἀπείροις αἰῶσιν ἐκ τριγενοῦς· τρεῖς γὰρ αὐτὸν ἐγέννησαν ὁμοφρονοῦντες αἰῶνες ἀμέτρητοι [66])· κεκόσμητο μὲν ἀνενδεὴς πᾶσα ἡ νοητὴ φύσις, φῶς δὲ ἦν ἅπαντα ἐκεῖνα τὰ νοητὰ καὶ αἰώνια, φῶς δὲ οὐκ ἄμορφον οὐδὲ ἀργόν, οὐδὲ οἱονεί τινος ἐπιποιοῦντος δεόμενον, ἀλλὰ ἔχον ἐν ἑαυτῷ κατὰ τὸ πλῆθος τῶν ἀπειράκις ἀπείρων κατὰ [67] τὸ παράδειγμα τῆς συκῆς ἀπείρους ἰδέας ζώων τῶν ἐκεῖ πυλυποικίλων, κατέλαμψεν ἄνωθεν εἰς τὸ ὑποκείμενον χάος. Τὸ δὲ φωτισθὲν ὁμοῦ καὶ μορφωθὲν [p. 264—266] ἐκείναις ἄνωθεν ταῖς πολυποικίλοις ἰδέαις, πῆξιν ἔλαβε καὶ ἀνεδέξατο τὰς ἰδέας τὰς ἄνωθεν ἁπάσας ἀπὸ τοῦ τρίτου αἰῶνος τοῦ τριπλασιάσαντος αὐτόν [68]. Ὁ δὲ αἰὼν οὗτος ὁ τρίτος τοὺς χαρακτῆρας βλέπων πάντας ἀθρόως τοὺς ἑαυτοῦ εἰς τὸ ὑποκείμενον κάτω σκότος κατειλημμένους, τήν τε δύναμιν τοῦ σκότους οὐκ ἀγνοῶν | καὶ τὸ ἀφελὲς [69] τοῦ φωτὸς ὁμοῦ καὶ ἄφθονον, οὐκ εἴασεν ἐπὶ πολὺ τοὺς φωτεινοὺς χαρακτῆρας ἄνωθεν ὑπὸ τοῦ σκότους κάτω κατασπασθῆναι· ἀλλὰ γὰρ ὑπέταξε τοῖς αἰῶσι [στερέωμα]. Στερεώσας οὖν [70] κάτωθεν, *καὶ* [71] *διεχώρισεν ἀνὰ μέσον τοῦ σκότους καὶ ἀνὰ* [72] *μέσον τοῦ φωτὸς, καὶ ἐκάλεσε τὸ φῶς ἡμέραν, ὃ ἦν ὑπεράνω τοῦ στερεώματος, καὶ τὸ σκότος ἐκάλεσε νύκτα.* Πασῶν [73] οὖν, ὡς ἔφην, τῶν ἀπείρων τοῦ τρίτου αἰῶνος ἰδεῶν ἀπειλημμένων ἐν τούτῳ τῷ κατωτάτῳ σκότῳ, καὶ αὐτοῦ τοῦ τοιούτου αἰῶνος ἐναπεσφράγισται μετὰ τῶν λοιπῶν τὸ ἐκτύπωμα, πῦρ ζῶν ἀπὸ φωτὸς γενόμενον, ὅθεν ὁ μέγας ἄρχων ἐγένετο, περὶ οὗ λέγει Μωϋσῆς [74]

propterea dixit, inquit: *Qui habet aures audiendi audiat*, quia hæc non ab omnibus audiuntur. Omnes hi æones, et tres illi et qui ab iis orti sunt infinities infiniti universi sunt æones masculofeminei. Cum igitur creverunt et aucti sunt et exstiterunt hi omnes ex uno illo primo semine, concentus sui atque unitatis cuncti simul, in unum congressi æonem ipsorum medium, partum communem universi genuerunt ex virgine una, Salvatorem eorum, qui in medietate sunt, omnium, ejusdem ab omni parte potentiæ atque semen ficulneum, nisi quod hic genitus sit, illud autem primum semen, unde fici arbor exstitit, non genitum. Postquam igitur ornati sunt tres illi æones omni virtute et sanctitate, ut opinantur hi docentes, et filius ille unigenitus (genitus enim est solus infinitis illis æonibus ex trigenito; tres enim eum genuerunt consentientes æones immensi): ornata erat absoluta omnis natura intelligibilis; lux autem erant universa illa intelligibilia et æterna, lux autem non informis neque ignava, neque tanquam indigens aliquo, qui subveniat; sed cum habeat in semetipsa secundum multitudinem illorum infinities infinitorum ad exemplum ficus infinitas animalium, quæ illic sunt, pervariorum species, luxit desuper in subjacens chaos. Id autem collustratum simul et conformatum illis, **418 419** quæ supra sunt pervariis speciebus, concrevit et accepit species supernas omnes a tertio æone, qui semetipsum triplicavit. Æon autem hic tertius cum notas suas videret universas simul in subjacentes infra tenebras susceptas, cumque potestatem tenebrarum non ignoraret et simplicitatem lucis simul et liberalitatem, non passus est diu lucidas notas desuper a tenebris deorsum deripi; at enim substruxit æonibus firmamentum cœli. Postquam igitur firmavit inferne, *et divisit tenebras a luce appellavitque lucem diem, quæ erat super firmamentum, et tenebras appellavit noctem.* Universis igitur, ut dixi, infinitis tertii æonis ideis deprehensis in infimis his tenebris, etiam ipsius hujusce æonis cum reliquis expressa est imago, ignis vivus a luce genitus, unde magnus archon exstitit, de quo Moses ait: *In principio creavit Deus cœlum et terram.* Hunc dicit Moses igneum Deum, qui e rubo (ἀπὸ τοῦ βάτου) locutus sit, hoc est e tenebricoso aere (βάτος enim est uni-

VARIÆ LECTIONES.

[58] Matth. XIII, 9; Marc. IV, 9; Luc. VIII, 8. [59] πάντων. πάντως C. [60] γενόμενοι. An τέλειοι γενόμενοι? Cf. supra p. 265, 55. [61] Cf. supra p. 278, 66 sqq. [62] γένημα — ἐγέννησαν C. [63] μιᾶς, τὸν ἐν μεσότητι Μαρίας σωτῆρα πάντων. μιᾶς, Μαρίας, σωτῆρα, τὸν ἐν μεσότητι πάντων R. Scottus: Μαρίας delendum esse putat Sauppius. An μιᾶς, τῶν ἐν μεσότητι Σωτῆρα πάντων? Cf. infra l. x, c. 16, p. 324. ed. Ox. γεννῆσαι ἐκ Παρθένου Μαρίας Σωτῆρα τῶν πάντων. [64] γεννητὸς — ἀγέννητον C, M. [65] κεκοσμημένων. καικεκοσμιμένων C, κατακεκοσμημένων R. Scottus. [66] ἀμέτριτοι C. [67] κατά. καὶ κατὰ conj. M. [68] αὐτόν. αὐτόν C, M. [69] ἀφελές. ἀσφαλὲς C, M. Cf. infra l. x, c. 16, p. 324 ed. Ox. Correxit jam Bernaysius in *Ep. critic. ad Bunsenium* (Bunsenii *Analecta Ante-Nicæna* vol. III, p. 307, 8 not.) [70] αἰῶσι στερέωμα. Στερεώσας οὖν. αἰῶσι. Στερεώσας οὖν C, M, αἰῶσι στερέωμα οὐρανοῦ Bernaysius l. l. Cf. infra p. 324 ed. Ox. Ἐποίησεν οὐρανὸν, καὶ μέσον πήξας, κ. τ. λ. [71] Cf. I Mos. I, 4, 5, 7: Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. [72] διεχώρησεν C. [73] Πασῶν. Πάντων C, M. Cf. infra p. 325 ed. Ox. [74] I Mos. I, l. l.

Digitized by Google

versus aer tenebris subjacens), βάτον autem, inquit, dixit Moses, quia desuper deorsum omnes pertransierunt lucis species, quibus aer permeabilis (βατός) est. Non autem minus etiam nobis verbum a rubo notum fit, vox enim, significans verbum, est aer pulsatus, quo dempto verbum humanum non cognoscitur. Non solum autem verbum nobis a rubo, hoc est ab aere leges dat et nobiscum versatur, sed enim et odores et colores per aerem nobis facultates suas manifestant.

A Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τοῦτον λέγει Μωϋσῆς [75] πύρινον Θεὸν ἀπὸ τοῦ βάτου λαλήσαντα, τουτέστιν ἀπὸ τοῦ σκοτεινοῦ ἀέρος· βάτος γάρ ἐστι πᾶς ὁ σκότει ὑποκείμενος ἀήρ· βάτον δὲ, φησὶν, εἴρηκε Μωϋσῆς, ὅτι ἄνωθεν κάτω πᾶσαι διέβησαν τοῦ φωτὸς αἱ ἰδέα. βατὸν [76] ἔχουσαι τὸν ἀέρα. Οὐδὲν δὲ ἧττον καὶ ἡμῖν ὁ λόγος ἀπὸ τοῦ βάτου γνωρίζεται· φωνὴ γὰρ ἐστι σημαντικὴ τοῦ λόγου πλησσόμενος ἀὴρ, οὗ δίχα λόγος ἀνθρώπινος οὐ γνωρίζεται. Οὐ μόνον δὲ ὁ λόγος ἡμῖν ἀπὸ τοῦ βάτου, τουτέστιν ἀέρος, νομοθετεῖ καὶ συμπολιτεύεται, ἀλλὰ γὰρ καὶ ὀσμαὶ καὶ χρώματα διὰ τοῦ ἀέρος ἡμῖν τὰς δυνάμεις τὰς ἑαυτοῦ ἐμφανίζουσιν.

10. Hic igitur deus igneus, qui ignis a luce exstitit, mundum fecit ita ut Moses ait, ipse cum non subsistat tenebris tanquam substantia utens, perpetuo contumeliis afficiens æternas illas desuper inferne susceptas lucis notas. Usque **420-421** igitur ad Salvatoris apparitionem a deo lucis igneæ, demiurgo, multa quædam erat erratio animarum; animæ (ψυχαί) enim ideæ appellantur, quia refrigeratæ a supernis in tenebris peragunt, transmutatæ e corporibus in corpora a demiurgo custodita. Hæc autem ita esse, inquit, licet etiam ex Job intelligere, cum dicit: *Et ego sum erro et in locum e locis transiens et in domum ex domo*, et cum Salvator dicit: *Et si vultis recipere, ipse est Elias, qui venturus est. Qui habet aures audiendi audiat.* Inde autem a Salvatore migratio animarum cessavit, fides vero prædicatur ad remissionem peccatorum. Tali quodam modo unigenitus filius ille, cum æonum, qui supra sunt, ideas videret desuper transmutatas in tenebricosis corporibus, liberare eas descendens voluit. Cum autem sciret, ut pleroma universorum æonum simul viderent, ne æones quidem valere, sed consternatos eos corruptibiles corruptionem pati, magnitudine et splendore potestatis correptos: coegit se tanquam fulgur maximum in minimo corpore, imo vero tanquam lumen oculi sub palpebris coactum, et pervenit usque ad cœlum, stellisque, quæ ibi sunt, contactis rursus se cogit sub palpebris oculi quando vult. Idemque cum facit lumen oculi, quod et ubique exsistit et omnia, nobis est occultum, cernimus autem nos nil nisi oculi palpebras, angulos candidos, membranam laxam, sinuosam, venosam, tunicam corneam, sub ea autem pupillam racemosam, reticulatam, orbiculatam, et si quæ aliæ luminis oculi sunt tunicæ, quibus vestitum occultatum est. Ita, inquit, unigenitus filius superne æternus, superindutus secundum singulos quosque tertii æonis æones, cum exstitit in triacontade æonum, intro-

ι'. Οὗτος οὖν ὁ πυροειδὴς θεὸς [77], ὁ πῦρ ἀπὸ φωτὸς γενόμενος πεποίηκε τὸν κόσμον οὕτως, ὥς φησι B Μωϋσῆς, αὐτὸς ὢν ἀνυπόστατος, σκότος ἔχων τὴν οὐσίαν, ἐνυβρίζων ἀεὶ τοῖς κατειλημμένοις ἄνωθεν κάτω τοῦ | φωτὸς αἰωνίοις [p. 266, 267] χαρακτῆρα. Μέχρι μὲν οὖν τῆς τοῦ Σωτῆρος φανερώσεως ὑπὸ τοῦ Θεοῦ τοῦ φωτὸς τοῦ πυρώδους, τοῦ δημιουργοῦ, πολλή τις ἦν πλάνη τῶν ψυχῶν· ψυχαὶ γὰρ αἱ ἰδέαι καλοῦνται, ὅτι ἀποψυγεῖσαι τῶν ἄνω ἐν σκότει διατελοῦσι, μεταβαλλόμεναι ἐκ σωμάτων εἰς σώματα, ὑπὸ τοῦ δημιουργοῦ φρουρούμενα. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, φησὶν, ἔνεστιν [78] καὶ ἐκ τοῦ Ἰὼβ κατενοῆσαι λέγοντος· *Καὶ ἐγὼ* [79] *πλανῆτις* [80] *καὶ τόπον ἐκ τόπων μεταβαίνουσα καὶ οἰκίαν ἐξ οἰκίας*, καὶ τοῦ Σωτῆρος λέγοντος· *Καὶ εἰ θέλετε* [81] *δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* Ἀπὸ δὲ τοῦ Σωτῆρος C μετενσωμάτωσις πέπαυται, πίστις δὲ κηρύσσεται εἰς ἄφεσιν ἁμαρτιῶν. Τοιοῦτόν τινα τρόπον ὁ μονογενὴς Υἱὸς ἐκεῖνος, ὁ τῶν αἰώνων ἄνωθεν τὰς ἰδέας βλέπων τὰς ἄνωθεν μεταβαλλομένας ἐν τοῖς σκοτεινοῖς σώμασι, ῥύσασθαι κατελθὼν ἠθέλησεν. Εἰδὼς δὲ, ὅτι τὸ πλήρωμα τῶν ὅλων αἰώνων οὐδὲ οἱ αἰῶνες ἀθρόον [82] ἰδεῖν ὑπομένουσιν, ἀλλὰ καταπλαγέντες οἱ [83] φθαρτοὶ φθορὰν ὑπομένουσι, μεγέθει καὶ δόξῃ δυνάμεως κατειλημμένοι, συστείλας ἑαυτὸν ὡς ἀστραπὴν μεγίστην ἐν ἐλαχίστῳ σώματι, μᾶλλον δὲ ὡς φῶς ὄψεως ὑπὸ τοῖς βλεφάροις συνεσταλμένον, ἐξικνεῖται μέχρις οὐρανοῦ, καὶ τῶν ἀστέρων ἐπιψαύσας τῶν [84] ἐκεῖ πάλιν ἑαυτὸν συστέλλει ὑπὸ τοῖς βλεφάροις τῆς ὄψεως ὅτε βούλεται. Καὶ τοῦτο [85] D ποιοῦν τὸ φῶς τῆς ὄψεως, καὶ πανταχῇ γινόμενον καὶ πάντα, ἡμῖν ἐστιν ἀφανὲς, μόνον δὲ ὁρῶμεν ἡμεῖς ὄψεως βλέφαρα, κανθοὺς λευκοὺς, ὑμένα εὐρὺν [86] πολύπτυχον πολυκτηδόνα [87], χιτῶνα κερστοειδῆ, ὑπὸ δὲ τοῦτον κόρην ῥαγοειδῆ, ἀμφιδιαστροειδῆ, δισκοειδῆ, καὶ εἴ τινες ἄλλοι τοῦ φωτὸς τῆς ὄψεώς εἰσι χιτῶνες, οὓς ἐστολισμένη κέκρυπται. Οὕτως, φησὶν, ὁ μονογενὴς παῖς ἄνωθεν αἰώνιος

VARIÆ LECTIONES.

[75] Cf. II Mos. III, 2. [76] βατόν. βάτον C, M, qui jam observavit Docetas hic in verbali βατόν ludere: πάτον si non scribendum, at certe audiendum esse putat Roeperus. [77] Voc. Θεὸς exesum, sed compendii reliquiæ apparent. M. [78] ἔνεστι C. [79] Job II, 9. . . καὶ ἐγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου περιεργομένη καὶ οἰκίαν ἐξ οἰκίας, κ. τ. λ. [80] πλανῆτις. πλανήτης C. [81] Matth. XI, 14, 15. [82] ἀθρόον. οἱ ἀθρόον C, οἱ ἀθρόοι Chr. Petersenius. [83] οἱ. ὡς? Chr. Petersenius. [84] ἐπιψαύσας τῶν. ἐπιψαυσάντων C, ἐπιφαυσάντων M. [85] τοῦτο. ταὐτό? [86] ὑμένα εὐρύν. ὑμένας ῥὶν C, ὑμένα σάρκινον Roeperus. [87] πολυκτηδόνα. πολύκτηνον pr. C, eadem manu mutatum in πολυκτηνδόνα.

Digitized by Google

ἐπενδυσάμενος κατὰ ἕνα ἕκαστον τοῦ τρίτου αἰῶνος [88] αἰῶνα, καὶ γενόμενος ἐν τριακοντάδι αἰώνων εἰσῆλθεν εἰς τόνδε τὸν [89] κόσμον τηλικοῦτος ὤν, ἡλίκον εἴπομεν, ἀφανής, ἄγνωστος, ἄδοξος, ἀπιστούμενος. Ἵν' οὖν, φασὶν οἱ Δοκηταὶ, καὶ τὸ σκότος ἐπενδύσηται τὸ ἐξώτερον, τὴν σάρκα φησὶν, ἄγγελος συνοδεύσας αὐτῷ ἄνωθεν τὴν Μαριὰμ εὐηγγελίσατο, φησὶν, ὡς γέγραπται. Ἐγεννήθη [90] τὸ ἐξ αὐτῆς ὡς γέγραπται. Γεννηθὲν δὲ [p. 267. 268] ἐνεδύσατο αὐτὸ ἄνωθεν [91] ἐλθὼν, καὶ πάντα ἐποίησεν οὕτως, ὡς ἐν τοῖς Εὐαγγελίοις γέγραπται, ἐλούσατο εἰς τὸν Ἰορδάνην, ἐλούσατο δὲ τύπον καὶ σφράγισμα λαβὼν ἐν τῷ ὕδατι τοῦ γεγεννημένου [92] σώματος ἀπὸ τῆς Παρθένου, ἵν', ὅταν ὁ ἄρχων κατακρίνῃ τὸ ἴδιον πλάσμα θανάτῳ, τῷ σταυρῷ, ψυχὴ [93] ἐκείνη ἐν τῷ σώματι τραφεῖσα, ἀπεκδυσαμένη τὸ σῶμα [94] καὶ προσηλώσασα πρὸς τὸ ξύλον, καὶ θριαμβεύσασα [95] δι' αὐτοῦ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ εὑρεθῇ γυμνή [96], ἀλλ' ἐνδύσηται τὸ ἐν τῷ ὕδατι, ὅτε ἐβαπτίζετο, ἀντὶ τῆς σαρκὸς ἐκείνης ἐκτετυπωμένον σῶμα. Τοῦτό ἐστι, φησὶν, ὃ λέγει ὁ Σωτήρ· *Ἐὰν μή τις [97] γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅτι τὸ γεγεννημένον [98] ἐκ τῆς σαρκὸς σάρξ ἐστιν.* Ἀπὸ τῶν τριάκοντα οὖν αἰώνων τριάκοντα ἰδέας ἐνεδύσατο· διὰ τοῦτο ἐπὶ τριάκοντα ἔτη γέγονεν ἐπὶ τῆς γῆς ὁ αἰώνιος ἐκεῖνος, ἑκάστου αἰῶνος ἰδίᾳ ἐνιαυτῷ φανερουμένου [99]. | Εἰσὶ [1] δὲ καὶ ἀπὸ ἑκάστου τῶν τριάκοντα αἰώνων ἅπασαι ἰδέαι [2] κατειλημμέναι ψυχαὶ, καὶ φύσιν ἔχει τούτων ἑκάστη νοεῖν [3] τὸν κατὰ φύσιν Ἰησοῦν, ὃν ἐκεῖνος ὁ μονογενὴς ὁ αἰώνιος ἀπὸ τῶν αἰωνίων τόπων ἐνεδύσατο· εἰσὶ δὲ οὗτοι διάφοροι. Διὰ τοῦτο τοσαῦται αἱρέσεις ζητοῦσι τὸν Ἰησοῦν περιμαχήτως, καὶ ἔστι πάσαις οἰκεῖος αὐταῖς; ἄλλῃ δὲ ἄλλος [4] ὁρώμενος ἀπ' ἄλλου τόπου [5], ἐφ' ὃν ἑκάστη [6] φέρεται, φησὶν, καὶ σπεύδει δοκοῦσα τοῦτον εἶναι μόνον, ὃς ἐστιν αὐτῆς συγγενὴς ἴδιος καὶ πολίτης, ὃν ἰδοῦσα πρῶτον [7] ἴδιον ἐγνώρισε μὲν ὡς [8] ἀδελφὸν, τοὺς δὲ ἄλλους νόθους. Οἱ μὲν οὖν ἐκ τῶν ὑποκάτω τόπων τὴν φύσιν ἔχοντες τὰς ὑπὲρ αὐτοὺς ἰδέας τοῦ Σωτῆρος ἰδεῖν οὐ δύνανται, οἱ δὲ ἄνωθεν, φησὶν, ἀπὸ τῆς [p. 268. 269] δεκάδος τῆς μέσης καὶ τῆς ὀγδοάδος τῆς ἀρίστης [9], ὅθεν ἐσμὲν ἡμεῖς, λέγουσιν, οὐκ ἐκ μέρους, ἀλλ' ὅλον αὐτοὶ τὸν Ἰησοῦν τὸν Σωτῆρα ἴσασι, καὶ εἰσὶν ἄνωθεν τέλειοι μόνοι, οἱ δὲ ἄλλοι πάντες ἐκ μέρους.

A ivit in hunc mundum tantus, quantum diximus, occultus, ignotus, obscurus, non creditus. Ut igitur, inquiunt Docetæ, etiam tenebris indueretur exterioribus, — carnem dicit — angelus, qui ei comitatus est superne, Mariæ lætum nuntium attulit, inquit, sicuti scriptum est. Generatum est id, quod ex ea est generatum, **422-423** ut scriptum est. Generato autem hoc ipso indutus est is, qui superne venit, et omnia fecit ita, ut in Evangeliis scriptum est, lavatus est in Jordane, lavatus autem imaginem et sigillum expressit aqua corporis a Virgine nati, ut, simul atque archon addixerit suum figmentum morti, cruci, anima illa in illo corpore nutrita, cum corpus deposuisset et affixisset ad lignum et triumphasset per ipsum principatus et potestates, ne B nuda inveniretur, sed indueretur corpore, quod aqua, cum baptizabatur, loco carnis illius effictum est. Hoc, inquit, est, quod ait Salvator: *Nisi quis renatus fuerit ex aqua et Spiritu, non introibit in regnum cœlorum; quod enim natum est ex carne caro est.* A triginta igitur æonibus triginta ideas induit; propterea ad triginta annos exstitit in terris æternus ille, cum quisque æon peculiariter per annum manifestaretur. Sunt autem etiam a singulis quibusque triginta illorum æonum cunctæ ideæ susceptæ animæ, quarum quæque ita nata est, ut intelligat Jesum eum, qui ipsius naturæ par est, quem unigenitus ille æternus ex æternis locis induit; sunt autem hi diversi. Propterea tot hæreses quærunt Jesum summo studio, et est ille iis omnibus C proprius, alii autem tanquam alius apparens ab alio loco, ad quem quæque fertur, inquit, et festinat opinans hunc esse solum, qui ipsius cognatus germanus popularisque sit, quem primum conspectum tanquam fratrem germanum agnovit, reliquos autem tanquam spurios. Qui igitur ex inferioribus locis naturam habent, ideas Salvatoris, quæ supra ipsos sunt, cernere non possunt, **424-425** qui autem superne, inquit, a decade media et ogdoade optima, unde nos sumus, inquiunt, non ex parte, sed totum ipsi Jesum Salvatorem norunt et sunt superne perfecti soli, reliqui autem omnes ex parte.

VARIÆ LECTIONES.

[88] αἰῶνος. αἰῶνες C, M. [89] τόνδε τόν. τὸν δέκατον C, M. [90] Ἐγενήθη C. [91] αὐτὸ ἄνωθεν. αὐτὸς ἄνωθεν? αὐτὸ ὁ ἄνωθεν? [92] γεγενημένου C. [93] ψυχή. αὐτὴ C, M. [94] Cf. Col. II, 11, 14, 15. . . . ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός . . . ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. [95] θριαμβεύσας C. [96] Cf. II Cor. V, 3.... Εἴπερ καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα. [97] Ev. Joan. III, 5, 6. Ἀμὴν, ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, κ. τ. λ. [98] γεγενημένον C. [99] ἰδίᾳ ἐνιαυτῷ φανερουμένου. ἰδίᾳ ἐνὶ αὐτῷ φανερούμενος C, ἐνὶ αὐτῶν (sc. τῶν ἐτῶν) φανερουμένου conj. M, ἰδίᾳ ἐνιαυτῷ φανερούμενος Roeperus, ἰδίῳ ἐνιαυτῷ φανερουμένου, vel ἰδίᾳ ἐνιαυτὸν φανερουμένου R. Scottus, ἰδίᾳ ἑνὶ ἐν αὐτῷ φανερούμενος Chr. Petersenius. [1] Εἰσὶ. Εἴη C, M. [2] ἅπασαι ἰδέαι. ἅπασα ἰδέα C, M, ἐν ἁπάσῃ ἰδέᾳ Roeperus. [3] φύσιν ἔχει τούτων ἑκάστη νοεῖν. φύσιν ἔχει τούτων ἑκάστην ὃ ἦν C, M, qui initio aliquid excidisse putat et ἔχειν τούτων ἑκάστην οἷον conj., φησὶν, ἔχει τούτων ἑκάστη νόημα Roeperus. [4] ἄλλος. ἄλλως pr. C. [5] τόπου. τύπου C, M. Sicuti nos etiam Roeperus et R. Scottus corrigendum esse censent. [6] ἑκάστη. ἕκαστα C. [7] πρῶτον. πρῶτος C, an πρώτως? [8] ἐγνώρισε μὲν ὡς. ἐγνωρισμένος C, M: an μὲν ὡς non recto loco insertum et ante ἴδιον transponendum est? Chr. Petersenius. [9] Cf. doctrinam Valentinianorum supra p. 272, et apud Irenæum.

Digitized by Google

11. Hæc igitur sufficere arbitror prudentibus ad cognoscendam Docetarum perplexam et dissolutam hæresin, qui cum de materia inaccessa et incomprehensa audaciter disputarent, Docetas semetipsos appellaverunt, quorum non opinionem semet esse aliquos nuncupamus ineptientes, sed trabem ex tanta materia in oculo gestam coarguimus, si forte perspicere possint; sin non, certe ne alios obcæcent: quorum dogma olim Græcorum sapientes antea commenti sunt magnam partem, sicuti cognocere licet lectoribus. Hæc igitur sunt, quæ Docetis placuerunt. Quænam autem et Monoimo placeant non silebimus.

ια'. Ταῦτα μὲν οὖν αὐτάρκη νομίζω εἶναι τοῖς εὖ πεφρονηκόσι πρὸς ἐπίγνωσιν τῆς τῶν Δοκητῶν πολυπλόκου[10] καὶ ἀσυστάτου αἱρέσεως. οἵ περὶ ὕλης[11] μὲν ἀδάτου καὶ ἀκαταλήπτου λόγους ἐπιχειρημένους ποιήσαντες, Δοκητὰς[12] ἑαυτοὺς προσηγόρευσαν, ὧν οὐ τὸ δοκεῖν εἶναί τινας κατανοοῦμεν[13] καταίζοντας[14], ἀλλὰ τὴν ἐκ τοσαύτης[15] ὕλης δοκὸν ἢ ὀφθαλμῷ φερομένην διελέγχομεν εἴ πως διαβλέψουσιν, εἰ δ' οὔ, κἂν τὸ μὴ ἑτέρους τυφλῶσαι· ὧν τὸ δόγμα πάλαι οἱ[17] Ἑλλήνων σοφισταὶ προεφήσαντο κατὰ[18] πολλά, ὡς ἔστιν ἐπιγνῶναι τοὺς ἐντυγχάνοντας. Ταῦτα μὲν οὖν τοῖς Δοκηταῖς τὰ δόξαντα. Τίνα δὲ καὶ Μονοΐμῳ δοκεῖ, οὐ σιωπήσομεν.

12. Monoimus Arabs longe a magnisonantis poetæ gloria discessit, talem quemdam esse hominem arbitratus, qualem poeta Oceanum, cum ait in hunc fere modum:

Oceanus et origo deorum et origo hominum.

Hæc aliis verbis commutans hominem ait esse universum (quod est principium rerum omnium) non genitum, immortalem, æternum, et filium hominis supra dicti genitum et passibilem, non tempore factum, non consilio, non prædestinatione. Talis enim est, inquit, potestas illius hominis. Hujusmodi autem cum sit potentia, natum esse filium celerius cogitatione et voluntate. Et hoc, inquit, est quod dictum est in Scripturis: *Erat et exstitit*, quod est: erat homo et exstitit filius ejus, quasi quis dicat: erat ignis et exstitit lux, non tempore nec voluntate nec prædestinatione, simul atque ignis erat. Hic autem homo una monas est non composita non divisa, composita divisa, plane amica, plane pacata, plane pugnax, plane adversus **426-427** semetipsam hostilis, dissimilis consimilis, tanquam harmonia quædam musica omnia in semet continens, quæcunque aliquis dicat prætermittatque cum non cogitaverit, omnia exhibens, omnia generans. Hæc mater, hæc pater, duo immortalia nomina. Exempli autem gratia perfecti hominis considera, inquit, maximam imaginem iota unum, unum illum apicem, qui est apex unus, non compositus, simplex, monas sincera ex nihilo prorsus composita, compositus, multifidus, multipartitus. Indivisus ille unus, inquit, est unus multis faciebus et innumeris oculis instructus innumerisque nominibus litteræ iota apex, qui imago est perfecti illius hominis invisibilis.

ιβ'. Μονοΐμος ὁ Ἄραψ μακρὰν τῆς τοῦ μεγαλοφώνου ποιητοῦ δόξης γεγένηται, τοιοῦτόν τινα τὸν ἄνθρωπον νομίσας, ὁποῖον ὁ ποιητὴς τὸν Ὠκεανόν, οὕτω πως λέγων·

Ὠκεανὸς γένεσίς τε θεῶν γένεσίς τ' ἀνθρώπων[9].

Ταῦτα ἄλλοις λόγοις μεταστήσας λέγει ἄνθρωπον εἶναι τὸ πᾶν[20] (ὃ ἐστιν[21] ἀρχὴ τῶν ὅλων), ἀγέννητον[22], ἄφθαρτον, ἀΐδιον, καὶ υἱὸν ἀνθρώπου τοῦ προειρημένου γεννητὸν[23] καὶ παθητόν, ἀχρόνως γενόμενον, ἀβουλήτως[24] ἀπροορίστως. Τοιαύτη γάρ φησιν, ἡ δύναμις ἐκείνου τοῦ ἀνθρώπου. Οὕτως ὄντως αὐτοῦ τῇ δυνάμει γενέσθαι τὸν υἱὸν λογισμοῦ καὶ βουλήσεως τάχιον. Καὶ τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον ἐν ταῖς Γραφαῖς· Ἦν καὶ ἐγένετο[25], ὅπερ ἐστὶν[26]· ἦν ἄνθρωπος, καὶ ἐγένετο υἱὸς αὐτοῦ, ὡς τις εἴποι· ἦν πῦρ καὶ ἐγένετο φῶς, ἀχρόνως, καὶ ἀβουλήτως, καὶ ἀπροορίστως ἅμα τῷ εἶναι τὸ πῦρ. Ὁ δὲ ἄνθρωπος οὗτος μία μονάς ἐστιν ἀσύνθετος ἀδιαίρετος, συνθετὴ διαιρετὴ, πάντα φίλη, πάντα εἰρηνικὴ[27], πάντα μαχίμη, πάντα πρὸς [p. 269. 270.] ἑαυτὴν πολέμιος, ἀνόμοιος ὁμοία, οἵαπερ τις ἁρμονία μουσικὴ πάντα ἔχουσα ἐν ἑαυτῇ, ὅσα ἂν[28] τις εἴπῃ καὶ παραλείπῃ μὴ νοήσας, πάντα ἀναδεικνύουσα, πάντα γεννῶσα. Αὕτη μήτηρ, αὕτη πατὴρ, τὰ δύο ἀθάνατα ὀνόματα[29]. Ὑποδείγματος δὲ χάριν τοῦ τελείου ἀνθρώπου κατανόει, φησὶ, μεγίστην εἰκόνα ἰῶτα ἕν, τὴν μίαν κεραίαν[30], ἥτις ἐστὶ κεραία μία ἀσύνθετος, ἁπλῆ, μονὰς εἰλικρινὴς ἐξ οὐδενὸς ὅλως τὴν σύνθεσιν ἔχουσα, συνθετὴ, πολυειδὴς, πολυσχιδὴς[31], πολυμερής. Ἡ ἀμερὴς | ἐκείνη[32] μία, φησὶ, ἔστιν ἡ πολυπρόσωπος καὶ μυριόμματος καὶ μυριώνυμος[33] μία τοῦ τ' κεραία, ἥτις ἐστὶν εἰκὼν τελείου ἀνθρώπου ἐκείνου τοῦ ἀοράτου.

VARIÆ LECTIONES.

[10] πολυπλόκων pr. C. [11] περὶ ὕλης Chr. Petersenius: πολλῆς C, M, qui susp. ἀπὸ δόξης. Cf. infra lin. 95. [12] Δοκητάς. δοκῆτας C, Δοκήτας M. [13] κατανοοῦμεν. κατονομάζομεν? [14] καταίζοντας C. [15] τοιαύτης susp. Sauppius. [16] εἰ δ' οὔ, κἂν τὸ μὴ ἑτέρους τυφλῶσαι. εἰδώμεν τομηεντέρους τυφλῶσαι C, M, qui εἰ δὲ (pro εἰ δὲ μὴ), οὐκ ἂν τοὺς ἡμετέρους τυφλώσαιεν susp.: εἰ δ' οὐκ, ἀλλὰ μὴ ἑτέρους τυφλῶσαι Roeperus, εἰ δ' οὐκ ἄν, τὸ μὴ ἑτέρους τυφλῶσαι R. Scottus. [17] ἐκλαι οἱ. παλαιοὶ C, M. [18] κατά. καὶ τά C, M. Sicuti nos etiam R. Scottus correxit. [19] Cf. hom. 2, 1[10] 201, 246, et supra p. 148, 10 not. [20] ὃ — ὅλων lunulis inclusimus. [21] ὃ ἐστιν. ἔστιν C. [22] ἀγέννητον C, M. [23] γενητὸν C, M. [24] ἀβουλήτως. ἀβασιλεύτως C. Cf. lin. 14, 15. [25] Alludere videtur ad initium Evangelii Joannis. [26] ἐστίν. ἦν Roeperus, ἐστὶν ὃ ἦν C, M. [27] εἰρηνικὴ C. [28] ὅσα ἄν. ὡς ἂν C. [29] Δύο μήτηρ — ὀνόματα. Cf. supra p. 132, 63, 64. [30] Cf. Matth. v, 18; Luc. xvi, 17. [31] πολυσχιδὴς C, M. Corr. Sauppius. [32] πολυμερής. Ἡ ἀμερὴς ἐκείνη. πολυμερὴς ἡ ἀμερής. Ἐκείνη C, M. [33] μυριόμματος καὶ μυριώνυμος. Cf. supra p. 166, 20.

Digitized by Google

ιγ'. Ἔστιν οὖν, φησίν, ἡ μονὰς, ἡ μία κεραία, καὶ δεκάς· δύναμις γὰρ αὐτῇ τὸ ι' [86] τῆς μιᾶς κεραίας, καὶ δυὰς, καὶ τριὰς, καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἑξὰς, καὶ ἑπτὰς, καὶ ὀγδοὰς, καὶ ἐννεὰς [87], μέχρι τῶν δέκα· οὗτοι γὰρ, φησὶν, εἰσὶν οἱ πολυσχιδεῖς [88] ἀριθμοὶ ἐν ἐκείνῃ κατοικοῦντες τῇ ἁπλῇ καὶ ἀσυνθέτῳ τοῦ ἰῶτα κεραίᾳ μιᾷ [89]. Καὶ τοῦτό ἐστι τὸ εἰρημένον. *Ὅτι πᾶν* [90] *τὸ* [91] *πλήρωμα ηὐδόκησε κατοικῆσαι ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου σωματικῶς*· αἱ γὰρ τοιαῦται τῶν ἀριθμῶν συνθέσεις ἐξ ἁπλῆς καὶ ἀσυνθέτου τῆς μιᾶς κεραίας τοῦ ἰῶτα σωματικαὶ γεγόνασι, φησὶν, ὑποστάσεις. Γέγονεν οὖν, φησὶν, ἀπὸ τοῦ τελείου ἀνθρώπου ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὃν ἔγνωκεν οὐδεὶς, φαντάζεται δὲ, φησὶν, ὡς [92] γέννημα [93] θηλείας ἡ κτίσις πᾶσα τὸν υἱὸν ἀγνοοῦσα, οὗ υἱοῦ ἀκτῖνες [94] ἀμυδραὶ πάνυ ἐμπελάζουσαι τῷδε τῷ κόσμῳ συνέχουσι καὶ συγκρατοῦσι τὴν μεταβολὴν, τὴν γένεσιν. Τὸ δὲ κάλλος ἐκείνου τοῦ υἱοῦ τοῦ ἀνθρώπου μέχρι νῦν πᾶσίν ἐστιν ἀκατάληπτον ἀνθρώποις, ὅσοι περὶ τὸ γέννημα [95] τῆς θηλείας εἰσὶ πεπλανημένοι. Γέγονεν οὖν, φησὶν, ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου οὐδὲν τῶν ἐνθάδε, οὐδὲ ἔσται πώποτε, τὰ δὲ γεγονότα πάντα οὐκ ἀπὸ ὅλου, ἀλλὰ ἀπὸ μέρους τινὸς γέγονε τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ἔστι γὰρ, φησὶν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἰῶτα ἕν, μία κεραία, ῥυεῖσα [p. 270—272.] ἄνωθεν [96] πλήρης [97], ἀποπληροῦσα πάντας, ἔχουσα ἐν ἑαυτῇ, ὅσα καὶ ὁ ἄνθρωπος ἔχει, ὁ Πατὴρ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.

A 13. Est igitur, inquit, monas, apex unus, etiam decas, hæc enim potentia inest litteræ iota . . . unius apicis et dyas et trias et tetras et pentas et hexas et heptas et ogdoas et enneas usque ad decem; hi enim, inquit, sunt multifidi numeri, qui in simplice illo et non composito inhabitant litteræ iota apice uno. Et hoc est quod dictum est: *Quia omnem plenitudinem complacuit habitare in filium hominis corporaliter.* Tales enim numerorum compositiones ex simplice et non composito illo uno apice litteræ iota corporales exstiterunt, inquit, naturæ. Ortus igitur est, inquit, a perfecto homine filius hominis, quem novit nemo; fingit autem sibi, inquit, tanquam partum feminæ creatura universa filium, quem ignorat, cujus filii radii valde obscuri B accedentes huic mundo continent et cohibent conversionem, generationem. Pulchritudo autem illius filii hominis adhuc omnibus incomprehensibilis est hominibus, quotquot circa partum feminæ aberraverunt. Factum est igitur, inquit, ab homine illo nihil eorum, quæ hic sunt, neque fiet unquam. Quæ autem facta sunt universa non a toto, sed a parte quadam facta sunt filii hominis. Est enim, inquit, filius hominis iota unum, unus apex, qui processit superne, **428-429** plenus, complens omnes, habens in semetipso, quæcunque etiam homo habet, pater filii hominis.

ιδ'. Γέγονεν οὖν κόσμος [98], ὡς φησι Μωϋσῆς, ἐν ἓξ ἡμέραις, | τουτέστιν ἐν ἓξ δυνάμεσι ταῖς ἐν τῇ μιᾷ C κεραίᾳ τοῦ ἰῶτα· ἑβδόμη κατάπαυσις καὶ Σάββατον [99]· ἀπὸ τῆς ἑβδομάδος γέγονε τῆς ἐκεῖ [100].... γῆς καὶ ὕδατος καὶ πυρὸς, καὶ ἀέρος, ἐξ ὧν ὁ κόσμος ἀπὸ τῆς κεραίας γέγονε τῆς μιᾶς. Οἵ τε γὰρ [101] κύβοι, καὶ τὰ ὀκτάεδρα καὶ αἱ [102] πυραμίδες, καὶ πάντα τὰ τούτοις παραπλήσια σχήματα, ἐξ ὧν συνέστηκε πῦρ, ἀὴρ, ὕδωρ, γῆ, ἀπὸ τῶν ἀριθμῶν γεγόνασι τῶν κατειλημμένων ἐν ἐκείνῃ τῇ ἁπλῇ τοῦ ἰῶτα κεραίᾳ, ἥτις ἐστὶν Υἱὸς ἀνθρώπου τελείου τέλειος. Ὅταν οὖν, φησὶν, ῥάβδον [103] λέγῃ Μωϋσῆς στρεφομένην ποικίλως εἰς τὰ πάθη τὰ κατὰ τὴν Αἴγυπτον, ἄτινα, φησὶν, ἐστὶ τῆς κτίσεως ἀλληγορούμενα [104] σύμβολα, οὐκ εἰς πλείονα πάθη τῶν δέκα [105] σχηματίζει τὴν ῥάβδον [106], ἥτις ἐστὶν ἡ μία [107] κεραία. Διπλῆ, ποικίλη αὕτη, φησὶν, ἐστὶν ἡ δεκάπληγος, ἡ κοσμικὴ D κτίσις. Πάντα γὰρ πλησσόμενα [108] γεννᾶται καὶ καρ-

14. Factus igitur est mundus, ut inquit Moses, sex diebus, hoc est sex potestatibus, quæ in uno apice litteræ iota insunt; septima, requies et Sabbatum, ab hebdomade, quæ illic est, facta est . . . . terræ et aquæ et ignis et aeris, ex quibus mundus ab apice exstitit uno. Etenim et cubi et octaedra et pyramides et omnes hisce consimiles formæ, ex quibus constat ignis, aer, aqua, terra, a numeris, orti sunt comprehensis in illo simplice litteræ iota apice, qui est filius hominis perfecti perfectus. Quando igitur, inquit, virgam dicit Moses varie vibratam ad plagas Ægyptiacas, quæ quidem, inquit, sunt creaturæ per allegoriam dicta symbola, non ad plures quam decem plagas format virgam, quæ est unus ille apex. Duplex, varia hæc, inquit, est decuplagus, mundana creatura. Omnia enim cum percutiuntur generantur et fructum ferunt veluti vites. Homo ex homine erumpit, inquit, et divelli-

VARIÆ LECTIONES.

[86] αὐτῇ τὸ ι. αὕτη τῷ ι? αὕτη τοῦ ι susp. Sauppius, αὖ τούτου τοῦ ι? Chr. Petersenius. Fort. ante τῆς μιᾶς κεραίας aliquid excidit. [87] ἐννεάς. ἐνὰς C. [88] πολυσχεδεῖς C, M. [89] μιᾷ. μία C. [90] Coloss. i, 19: Ὅτι ἐν αὐτῷ εὐδόκησεν (ηὐδόκησεν) πᾶν τὸ πλήρωμα κατοικῆσαι, coll. Col. ii, 9: Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς (εἰς ὃν εὐδόκησεν ἅπαν (πᾶν) τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς Orig.) Cf. supra p. 178, 90-92 et infra l. x, c. 10, p. 315, 36, 37 ed. Ox. et quæ l. Bernaysius de his locis disputavit in *Epist. crit.* l. l. p. 317, 318. [91] πᾶν τὸ παντὸς C. [92] ὡς. εἰς C, M. [93] γένημα C. [94] ἀκτῖνες. καί τινες C. [95] γένημα C. [96] ἰῶτα ἕν, μία κεραία, ῥυεῖσα ἄνωθεν. ἰῶτα ἐν μιᾷ κεραίᾳ, ῥυεῖσῃ ἄνωθεν C, M. Cf. infra l. x, c. 17. p. 325, 20, 21 ed. Ox. [97] πλήρης. πλήρεις C. [98] Cf. l. x, c. 17, p. 325, 23 sqq. ed. Ox. [99] Σάββατον. Σαββάτου C. [100] Inter ἐκεῖ et γῆς lacunam signavimus, cum major pars argumentationis interiisse videatur. Cf. ea, quæ supra p. 426, 36-38 leguntur, cum iis, quæ infra l. x, c. 17, p. 325, 19 exstant. [101] Cf. cum his Plato *Tim.* p. 53 C sqq. [102] καὶ αἱ. καὶ C, M. Cf. infra l. l. [103] ῥάυδον C. Cf. cum his et quæ sequuntur II Mos. vii sqq. [104] ἀλληγορούμενα. ἀλληγόρου C. [105] δέκα. δώδεκα C, M. [106] σχηματίζῃ τὴν ῥάυδον C. [107] ἡ μία. ἰ μία C, M. [108] πλεισσόμενα C.

Digitized by Google

tur plaga quadam separatus, ut fiat et dicat legem quam tulit Moses a Deo acceptam. Secundum apicem illum unum lex est decalogus allegorice significans divina verborum mysteria. Omnis enim, inquit, scientia universorum decuplagus est et decalogus, quam novit nemo eorum, qui circa partum muliebris aberraverunt. Vel si Pentateuchum dicas totam legem, orta est a pentade in uno illo apice comprehensa. Totum autem, inquit, iis, qui non prorsus perfectum habent intellectum, est mysterium, novum et quod non antiquatur festum, lege constitutum, æternum in generationes nostras, Domini Dei Pascha, observatum ab iis, qui cernere valent, incipiente **430-431** die decima, quod est initium decadis, a quo, inquit, numerant. Monas enim usque ad decimam quartam summa est illius unius apicis perfecti numeri. Unum enim, duo, tria, quatuor fiunt decem, quod est unus apex. A decima quarta autem, inquit, usque ad vicesimam primam hebdomadem dicit exstantem in uno apice mundi creaturam azymam in his omnibus. Quid enim indiguerit, inquit, unus apex substantia aliqua tanquam fermento extrinsecus ad Pascha Domini, æternum festum, quod est in generationes datum? Universus enim mundus et omnes creationis causæ Pascha sunt, festum Domini. Gaudet enim Deus creationis conversione, quæ a decem plagis apicis efficitur unius, qui est Mosis virga a Deo data in manum Mosis, qua percutiens Ægyptiis convertit corpora, sicuti aquam in sanguinem et reliqua hisce consimiliter, ut locustas, quod quidem est fenum, elementorum in carnem conversionem dicit : *Omnis enim caro fenum*, inquit. Nihilo autem secius et totam legem viri hi in talem quemdam modum accipiunt, forsitan secuti, ut ego opinor, Græcos, qui dicunt esse *substantiam* et *quale* et *quantum* et *ad quid* et *ubi* et *quando* et *situm esse* et *facere* et *habere* et *pati*.

15. Itaque enim Monoimus ipse in epistola ad Theophrastum ait ipsis verbis : *Desinens quærere Deum et creationem et hisce consimilia; quære eum a te ipso et disce, quisnam sit, qui in te omnia omnino sibi ipsi arrogat et ait : Deus meus, mens mea, in-*

τποφορεῖ, καθάπερ αἱ ἄμπελοι. Ἄνθρωπος ἐξ ἀνθρώπου ἐξέσυται [56], φησί, καὶ ἀποσπᾶται πληγῇ τινι μεριζόμενος, ἵνα γένηται καὶ εἴπῃ νόμον, ὃν ἔθηκε Μωϋσῆς παρὰ Θεοῦ λαβών. Κατὰ τὴν κεραίαν ἐκείνην ὁ νόμος ἐστὶ τὴν μίαν ἡ δεκάλογος ἀλληγοροῦσα τὰ θεῖα τῶν λόγων μυστήρια. Πᾶσα γὰρ, φησίν, ἡ γνῶσις τῶν ὅλων δεκάπληγός ἐστι καὶ δεκάλογος, ἣν οἶδεν οὐδεὶς τῶν περὶ τὸ γέννημα [57] τῆς θηλείας πεπλανημένων. Κἂν εἴπῃς πεντάτευχον ὅλον τὸν νόμον, ἔστιν ἀπὸ τῆς πεντάδος τῆς ἐν τῇ μιᾷ κατειλημμένης κεραίᾳ. Τὸ δὲ ὅλον ἐστὶ, φησί, τοῖς μὴ πεπληρωμένοις παντελῶς τὴν διάνοιαν μυστήριον, καινὴ καὶ μὴ παλαιουμένη [58] ἑορτὴ, νόμιμος, αἰώνιος εἰς τὰς γενεὰς ἡμῶν, Κυρίου τοῦ Θεοῦ Πάσχα [59], διατηρούμενον [60] τοῖς δυναμένοις βλέπειν ἐναρχο|μένης τῆς [p. 272. 273] δεκάτης, ἥτις [61] ἐστὶν ἀρχὴ δεκάδος, ἀφ' ἧς, φησὶν, ἀριθμοῦσιν. Ἡ γὰρ μονὰς ἕως τῆς τεσσαρεσκαιδεκάτης ἐστὶ τὸ κεφάλαιον τῆς μιᾶς [κεραίας] [62] τοῦ τελείου ἀριθμοῦ. Τό τε γὰρ ἕν, δύο, τρία, τέσσαρα γίνεται δέκα, ὅπερ ἐστὶν ἡ μία κεραία. Ἀπὸ δὲ τῆς τεσσαρεσκαιδεκάτης [63], φησὶν, ἕως μιᾶς καὶ εἰκάδος ἑβδομάδα λέγει ὑπάρχουσαν ἐν τῇ μιᾷ κεραίᾳ τοῦ κόσμου τὴν κτίσιν ἄζυμον ἐν τούτοις ἅπασιν. Τί γὰρ [64] δεηθεὶς, φησὶν, ἡ μία κεραία οὐσίας τινὸς οἱονεὶ ζύμης ἔξωθεν εἰς τὸ Πάσχα τοῦ Κυρίου, τὴν αἰώνιον ἑορτὴν, ἥτις ἐστὶν εἰς τὰς γενεὰς δεδομένη; Ὅλος γὰρ ὁ κόσμος καὶ πάντα τὰ [65] τῆς κτίσεως αἴτια Πάσχα ἐστὶν, ἑορτὴ Κυρίου. Χαίρει γὰρ ὁ Θεὸς τῆς κτίσεως τῇ μεταβολῇ, ἥτις ὑπὸ τῶν δέκα πληγῶν [66] τῆς κεραίας ἐνεργεῖται τῆς μιᾶς, ἥτις ἐστὶ Μωσέως ῥάβδος [67] ὑπὸ τοῦ Θεοῦ δεδομένη, ᾗ τῆς Αἰγυπτίοις πλήσσειν μεταβάλλειν [68] τὰ σώματα, καθάπερ τὴν χεῖρα Μωσέως [69], τὸ ὕδωρ εἰς αἷμα [70], καὶ τὰ λοιπὰ τούτοις παραπλησίως, [ὡς] [71] ἀκρίδας, ὅπερ ἐστὶ χόρτος, τῶν [72] στοιχείων εἰς σάρκα μεταβολὴν λέγει· *Πᾶσα γὰρ σὰρξ* [73] *χόρτος*, φησίν. Οὐδὲν δὲ ἧττον καὶ τὸν ὅλον νόμων οἱ ἄνδρες οὗτοι τοιοῦτόν τινα τρόπον ἐκδέχονται, τάχα που κατακολουθήσαντες, ὡς ἐγὼ δοκῶ, Ἑλλήνων τοῖς λέγουσιν [74] *οὐσίαν* εἶναι καὶ *ποιὸν* καὶ *ποσὸν* [75] καὶ *πρός τι* καὶ *ποῦ* καὶ *πότε* καὶ *κεῖσθαι* καὶ *ποιεῖν* καὶ *ἔχειν* καὶ *πάσχειν*.

ιε'. Τοιγαροῦν Μονόϊμος αὐτὸς, ἐν τῇ πρὸς Θεόφραστον ἐπιστολῇ διαῤῥήδην λέγει· *Καταλιπὼν ζητεῖν Θεὸν καὶ κτίσιν καὶ τὰ τούτοις παραπλήσια, ζήτησον αὐτὸν ἀπὸ σεαυτοῦ* [76], *καὶ μάθε, τίς ἐστιν ὁ πάντα ἁπλῶς ἐν σοὶ | ἐξιδιοποιού-*

VARIÆ LECTIONES.

[56] ἐξέσυται Roeperus, ἐξέσυται C, M. Sententia Democriti apud Stob. *Floril.* VI, 57 : Ἐξουσίη ἀποπληξίη σμικρή· ἐξέσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου. (Mullach, *Fragmm. Democrit.* III, 50, p. 174) Roeperus. [57] γένημα C. [58] Cf. cum his II Mos. XII. [59] II Mos. XII, 11. Πάσχα ἐστὶ Κυρίῳ (al. Κυρίου). Vs. 14. Καὶ ἔσται ἡ ἡμέρα αὕτη μνημόσυνον καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ εἰς πάσας τὰς γενεὰς ὑμῶν· νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν. [60] II Mos. XII, 3. 6. Τῇ δεκάτῃ τοῦ μηνὸς ταῦτα λαβέτωσαν ἕκαστος πρόβατον .... Καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, κ. τ. λ. [61] ἥτις. εἴ τις C. [62] μιᾶς κεραίας. μιᾶς C. [63] II Mos. XII, 18. 19. Ἐναρχόμενοι τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς ἕως ἑσπέρας. Ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν. [64] Τί γὰρ Roeperus, Εἰ γὰρ C, M, Τί γὰρ ἂν? Sauppius. [65] πάντα τὰ Sauppius, πάντα C, M. [66] πληγῶν Roeperus, αὐλιτῶν C. M, qui susp. ὑλῶν. [67] ῥάυδος C. [68] ᾗ τῆς — μεταβάλλειν. ἣν τοῖς Αἰγυπτίοις πλῆξει μεταβάλλειν coni. M. Αν ᾗ τοῖς Αἰγυπτίοις πλήσσων μεταβάλλει? Chr. Petersenius. [69] τὴν χεῖρα Μωσέως. An hæc verba transponenda sunt post δεδομένη [εἰς]? [70] Sententiarum nexus interruptus esse videtur. [71] ὡς Chr. Petersenius, om. C, M. [72] τῶν. τὴν τῶν? M. [73] Cf. Isa. XL, 6. Πᾶσα σὰρξ χόρτος, κ. τ. λ. [74] Cf. supra p. 38, 96-98, p. 262, 99 2. [75] πόσον C. [76] σεαυτοῦ. ἑαυτοῦ C, M. Cf. infra, l. X, c. 17, p. 326, 34 ed. Ox.

Digitized by Google

μενος καὶ λέγων· Ὁ Θεός μου, ὁ νοῦς μου, ἡ διάνοιά μου, ἡ ψυχή μου, τὸ σῶμά μου· καὶ μάθε, πόθεν ἐστὶ τὸ λυπεῖσθαι, καὶ τὸ χαίρειν, καὶ τὸ ἀγαπᾶν, καὶ τὸ μισεῖν, καὶ τὸ γρηγορεῖν μὴ θέλοντα, καὶ τὸ νυστάζειν μὴ θέλοντα, καὶ τὸ ὀργίζεσθαι μὴ θέλοντα, καὶ τὸ φιλεῖν μὴ θέλοντα, καὶ ἂν ταῦτα, φησὶν, ἐπιζητήσῃς ἀκριβῶς, εὑρήσεις αὐτὸν ἐν ἑαυτῷ [77] [p. 273. 274] ἓν καὶ πολλὰ κατὰ τὴν κεφαλαίαν ἐκείνην, ἀφ' ἑαυτοῦ τὴν διέξοδον εὑρόντα [78]. Ταῦτα μὲν οὖν ἐκεῖνοι, οἷς οὐκ ἀνάγκην ἔχομεν τὰ παρ' Ἕλλησι προμεμερισμνημένα παρατιθέναι οὕσι προδήλοις τοῖς ὑπ' αὐτῶν λεγομένοις τὴν σύστασιν ἔχειν [79] ἐκ γεωμετρικῆς τέχνης καὶ ἀριθμητικῆς, ἣν [80] γενναιότερον οἱ Πυθαγόρου μαθηταὶ διέθεντο, καθὼς ἔστι τοῖς ἐντυγχάνουσιν ἐπιγνῶναι ἐν τοῖς τόποις, οἷς προδιηγησάμεθα περὶ πάσης σοφίας Ἑλλήνων. Ἀλλ' ἐπεὶ καὶ τὰ [81] Μονοΐμου αὐτάρκως διελήλεγκται, ἴδωμεν τίνα καὶ οἱ λοιποὶ τεχνάζονται ἑαυτοῖς βουλόμενοι ὄνομα μάταιον ὑψοῦν.

A *telligentia mea, anima mea, corpus meum, et disce, contristari et gaudere et diligere et odisse et vigilare non volentem et dormitare non volentem et irasci non volentem et amare non volentem unde oriatur, et cum hæc,* inquit, *requisiveris accurate, reperies eum in te ipso secundum apicem illum unum et multa, qui a se ipso exordium* **432-433** *repererit.* Hæc igitur illi, quibus non opus habemus ea, quæ apud Græcos antea meditata sunt, juxtaponere, cum aperte, quæ ab iis dicuntur, profecta sint ex geometrica arte et arithmetica, quam Pythagoræ discipuli gnavius exposuerunt, sicuti lecturis cognoscere licet in locis, quibus antea de universa sapientia Græcorum commentati sumus. Quoniam autem et Monoimi doctrina satis coarguta est, videamus, quænam et reliqui comminiscantur sibimetipsis nomen vanum extollere cupientes.

B

ις'. Τατιανὸς δὲ [82], καὶ αὐτὸς γενόμενος μαθητὴς Ἰουστίνου τοῦ μάρτυρος, οὐχ ὁμοια τῷ διδασκάλῳ ἐφρόνησεν, ἀλλὰ καινά τινα ἐπιχειρήσας ἔφη αἰῶνάς τινας ἀοράτους [83] ὁμοίως τοῖς ἀπὸ Οὐαλεντίνου μυθολογήσας [84]. Γάμον δὲ φθορὰν εἶναι παραπλησίως Μαρκίωνι λέγει. Τὸν δὲ Ἀδὰμ φάσκει μὴ σώζεσθαι διὰ τὸ ἀρχηγὸν παρακοῆς γεγονέναι. Καὶ ταῦτα μὲν Τατιανός.

16. Tatianus autem, cum et ipse discipulus exstiterit Justini martyris, haud consimilia atque magister sensit, sed nova quædam conatus dixit æones quosdam invisibilis similiter atque Valentiniani confingens. Nuptias autem corruptelam esse similiter atque Marcion dicit. Adam autem salvari negat propterea quod dux inobedientiæ exstiterit. Et hæc quidem Tatianus.

καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους. Διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι, διὰ δὲ τοὺς λῃστὰς ἔνοπλοι. Κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἐξαιρέτως τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια. Καταστολὴ δὲ καὶ σχῆμα σώματος ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. (Ἀναπέπταται τὰ παρ' ἀλλήλοισιν, καὶ οἱ πρῶτον ἰδόντες ἴσασιν ὥσπερ συνήθεις. Διὸ οὐδὲν ἐπικομιζόμενοι ἀποδημοῦσιν ἀναλωμάτων ἕνεκα Porphyr. l. l.) Οὔτε δὲ ἐσθῆτας; οὔτε ὑποδήματα ἀμείβουσι πρὶν ἢ διαρραγῆναι τὸ πρότερον παντάπασιν ἢ δαπαναθῆναι τῷ χρόνῳ. Οὐδὲν δὲ ἐν ἀλλήλοις οὔτε ἀγοράζουσιν οὔτε (οὐδ' ἀγοράζουσί τι οὐδὲ Porph.) πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος τὰ παρ' αὐτοῦ (τὸ παρ' ἑαυτῷ Porph.), τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται. Καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς, παρ' ὧν ἂν ἐθελήσωσι (θέλωσιν Porph).

ε'. Πρός γε μὴν τὸ Θεῖον ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον οὐδὲν φθέγγονται τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς ὥσπερ ἱκετεύοντες ἀναπέμπουσι. Μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν ὑπὸ τῶν ἐπιμελητῶν διαφέρονται (ἴσασιν ἀφίενται Porphyr. l. l. § 12), καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον, ζωσάμενοί τε σκεπάσμασι λινοῖς οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν· αὐτοί τε καθαροὶ καθάπερ εἰς ἁγιόν τι τέμενος παραγίνονται τὸ δεῖπνητήριον. Καὶ καθισάντων (καθισάντων δὲ Porphyr) μεθ' ἡσυχίας ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι. Προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς (ἀγνῆς οὔσης καὶ καθαρᾶς add. Porphyr.), καὶ γεύσασθαί τινα πρὸ (τινα πρὶν Porph) τῆς εὐχῆς ἀθέμιτον· ἀριστοποιησάμενος (ἀριστοποιησαμένοις δὲ Porph.) ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν Θεὸν ὡς χορηγὸν τῆς τροφῆς. Ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. Δειπνοῦσι (πίνουσι Porph.) δὲ ὑποστρέψαντες ὁμοίως συγκαθεζομένων τῶν ξένων, οἳ (εἰ Porph.) τύχοιεν αὐτοῖς παρόντες. Οὐδὲ (Οὔτε δὲ Porph.) κραυγή ποτε τὸν οἶκον οὔτε θόρυβος μολύνει, τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. Καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ

VARIÆ LECTIONES.

[12] ἑκάστοτε. ἕκαστός τε C, ἕκαστός τις susp. M. [13] εὐτάκτως. ἀτάκτως C. Correxit M coll. lin. 41, κατὰ τάξιν. [14] καθησάντων C. [15] εἰ μὴ. εἰμὶ C. [16] τε καὶ. δὲ καὶ C. [17] παδόμενοι C. [18] ἀμφιέννυνται C. [19] λίναι C. [20] ἀκουσθήσεται. ἀκολουθήσειν [illegible] σεῖ. συνεχώρει C.

Digitized by Google

στήριόν τι καταφαίνεσθαι τὴν τῶν ἔνδον σιωπήν. Νήφουσι δὲ πάντοτε, πάντα μέτρῳ καὶ ἐσθίοντες καὶ πίνοντες.

A tumultuosa audietur vox; leniter autem singuli quique loquentes, honeste alter alteri sermonem concedit, ita ut iis, qui foris sunt, mysterium vi-deatur eorum, qui intus sunt, silentium. Semper autem sobrii sunt, omnia modice et edentes et bibentes.

κβ'. Πάντες μὲν οὖν τῷ προεστῶτι προσέχουσι, καὶ ὅσα κελεύσει [29] ὡς νόμῳ πείθονται. Ἐσπουδάκασι γὰρ πρὸς τὸ ἐλεεῖν καὶ βοηθεῖν τοῖς καταπονουμένοις. Πρὸ δὲ πάντων ὀργῆς ἀπέχουσι καὶ θυμοῦ καὶ πάντων τῶν ὁμοίων, ἐπίβουλα ταῦτα τοῦ ἀνθρώπου κρίνοντες. Οὐδεὶς δὲ ὄμνυσι παρ' αὐτοῖς, ὅσα δ' ἂν τις εἴπῃ, τοῦτο ὅρκου ἰσχυρότερον κρίνεται. Εἰ δὲ ὀμόσει [30] τις, καταγινώσκεται ὡς μὴ πιστευθείς. Σπουδάζουσι δὲ περὶ τὰς τοῦ νόμου ἀναγνώσεις καὶ προφητῶν, ἔτι δὲ καὶ εἴ τι σύνταγμα [p. 300. 301] εἴη πιστῶν. Πάνυ δὲ περιέργως ἔχουσι περὶ βοτάνας καὶ λίθους, περιεργότεροι ὄντες πρὸς τὰς τούτων ἐνεργείας, φάσκοντες μὴ μάτην ταῦτα γεγονέναι.

22. Omnes igitur ad præsidem se applicant, et quæcunque jusserit, tanquam legi obediunt. Studuerunt enim misereri et auxiliari afflictis. Præ omnibus autem ab ira se avertunt et iracundia omnibusque consimilibus, insidiosa hæc homini judicantes. Nemo autem jurat apud eos, quæcunque autem quis dicat, firmius hoc juramento æstimatur. Si vero quis juraverit, damnatur quasi qui fidem non habeat. Incumbunt autem legis lectionibus et prophetarum, præterea autem **478-479** B etiam si quod scriptum sit fidelium. Admodum autem curiosi sunt circa herbas et lapides, curiosiores efficaciæ eorum, cum dicant haud frustra hæc esse facta.

κγ'. Τοῖς δὲ βουλομένοις τῇ αἱρέσει μαθητεύειν οὐκ εὐθέως τὰς [31] παραδόσεις ποιοῦνται, εἰ μὴ πρότερον δοκιμάσωσιν, ἐπ' ἐνιαυτὸν δὲ τὰς ὁμοίας τροφὰς παρατιθέασιν ἔξω τῆς ἑαυτῶν συνόδου [32] οὔσιν ἐν ἑτέρῳ οἴκῳ, ἀξινάριόν τε | καὶ τὸ λινοῦν περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἔγγιον [33] τῇ διαίτῃ, καὶ καθαρωτέρως ἀπολούεται [34] ἢ τὸ πρότερον· οὐδέπω [35] δὲ σὺν αὐτοῖς τροφῆς μεταλαμβάνει. Μετὰ γὰρ τὸ δεῖξαι εἰ ἐγκρατεύεσθαι δύναται, ἐπὶ ἔτη ἄλλα δύο δοκιμάζεται τοῦ τοιούτου [36] τὸ ἦθος, καὶ φανεὶς ἄξιος οὕτως εἰς αὐτοὺς κρίνεται. Πρὶν δὲ αὐτοῖς συνεστιαθῆ, ὅρκοις φρικτοῖς ὁρκίζεται, πρῶτον μὲν εὐσεβήσειν τὸ Θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ κατὰ μηδένα τρόπον ἀδικήσειν τινὰ, μηδένα δὲ μήτε ἀδικοῦντα μήτε ἐχθρὸν μισήσειν, προσεύχεσθαι δὲ ὑπὲρ αὐτῶν, συναγωνίζεσθαι ἀεὶ [37] τοῖς δικαίοις, τὸ πιστὸν πᾶσι παρέξειν, μάλιστα δὲ τοῖς

23. Iis autem, qui sectæ discipuli fieri volunt, non continuo præcepta sua tradunt, nisi antea eos probaverint; per annum autem iis consimiles cibos apponunt extra ipsorum conventum in alia domo degentibus, postquam et dolabellam et linteum illud perizonium et vestem albam tradiderunt. Ubi hoc tempore documentum continentiæ dedit, propius ad vitam victumque accedit puriusque abluitur quam antea, nondum vero cum iis cibum sumit. Postquam enim ostendit, an se continere possit, per duosalios annos tentantur ejusdem mores, et C dignus ubi visus est, ita inter eos censetur. Priusquam autem cum iis convivatur, terribilibus juramentis obstringitur, fore ut primum quidem divinum numen pie colat, tum erga homines justitiam custodiat nulloque modo quemquam injuria afficiat, neminem autem, neque injuriosum neque hostem, odio habeat, preces vero pro iis faciat, adjuvet

---

καταφαίνεται· τούτου δὲ αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου.

ς'. Τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσαξάντων ἐνεργοῦσι· δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος· βοηθεῖν τε γὰρ τοῖς ἀξίοις, ὁπόταν δέωνται, καὶ κατ' αὐτοὺς ἀφίεται καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν· τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. Ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοί, πίστεως προστάται, εἰρήνης ὑπουργοί, καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου· τὸ δὲ ὀμνύειν αὐτοῖς περίστασταί, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες· ἤδη γὰρ ἤδη κατεγνῶσθαί φασι τὸν ἀπιστούμενον δίχα Θεοῦ. Σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. Ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν ῥίζαι τε ἀλεξιτήριοι καὶ λίθων ἰδιότητες ἀνερευνῶνται.

ζ'. Τῷ δὲ ζηλοῦντι (Τοῖς δὲ ζηλοῦσι Porph.) τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ τὸ προειρημένον περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει, παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. Μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται (κομίζεται Porph.), καὶ φανεὶς ἄξιος οὕτως εἰς τὸν ὁμιλον ἐγκρίνεται. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ Θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν (διαφυλάξειν Porph.), καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε ἐξ ἐπιτάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι (συναγωνίζεσθαι Porph.) τοῖς δικαίοις, τὸ πιστὸν ἀεὶ (πᾶσι μὲν Porph.) παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς ἀρα-

VARIÆ LECTIONES.

[29] ὅσα κελεύσει. ὅσ' ἂν κελεύσῃ, vel ὅσα κελεύει susp. M; sed propter usum futuri latiorem apud Hippolytum esse retinendum videtur. [30] ὀμόσει. ὠμόσει C. [31] τὰς. τοῖ; C. [32] συνόδου. Syllabarum συνοδ. tenuissima in C vestigia. M. [33] ἔγγιον. ἐγγίῳ C, ἐγγίω M. [34] καθαρωτέρως ἀπολούεται. καθαρωτέρως ἀπλαύεται C, M. [35] οὐδέπω. οὐδενέω C. [36] τοιούτου. τοιούτου γὰρ C. [37] ἀεί. αὐτῶν C, M.

Digitized by Google

semper justos, fidem omnibus servet, maxime iis, qui imperium teneant — non enim sine Deo accidere cuiquam dominationem — et si ipse dominetur, ut nunquam superbiat potestate, neque prodigus sit vel ornatu majore quam mos sit utatur; veritatem autem amet, eum vero, **480 481** qui mentiatur, redarguat, neque furtum faciat, neque conscientiam iniquo quæstu polluat, ut nihil celet sectæ suæ consortes, aliis autem ut nihil prodat, etiamsi ad mortem usque crucietur. Præterea jurat nemini se placita aliter traditurum atque ipse receperit.

24. Hujusmodi igitur juramentis eos, qui ipsis accedunt, devinciunt. Sin vero quis peccati alicujus convictus fuerit, ex ordine ejicitur, ejectus autem nonnunquam terribili morte absumitur. Juramentis enim et ritibus constrictus ne convictus quidem, quo reliqui fruuntur, particeps esse potest. Nonnunquam igitur corpus fame consumunt; quare, ubi ad extrema ventum est, interdum miserentur multorum jam morientium, sufficientem eorum ad mortem usque pœnam existimantes.

25. Quoad judicia autem diligentissimi sunt et justi; judicant autem congregati haud pauciores quam centeni, quod autem definitum est ab iis, immotum est. Venerantur autem legislatorem post Deum, et si quis ei maledixerit, punitur. Principibus autem et senioribus obedire docentur; sin vero decem eodem loco considunt, nemo eorum loquetur, nisi novem reliquis placeat. Et ne exspuant in mediam et in dexteram **482-483** partem cavent; ut vero die Sabbati ab opere se abstineant, curant magis quam omnes Judæi. Nam non solum cibos sibi præparant uno die ante, quominus ignem accendant, sed ne vas quidem loco movent, neque

λιστα τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα Θεοῦ συμβαίνειν [31] τινὶ τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ. μηδέποτε ὑπερηφανεύσασθαι [32] ἐν ἐξουσίᾳ, μηδὲ ἀπειθήσειν [33] ἢ τινι κόσμῳ πλεῖον τοῦ ἔθους χρήσασθαι· φιλεῖσθαι [p. 301. 302] δὲ εἶναι, τὸν δὲ ψευδόμενον ἐλέγχειν, μηδὲ κλέπτειν, μηδὲ συνείδησιν ἐπὶ ἀνόμῳ κέρδει μολύνειν, μηδὲν ἀποκρύπτειν τοὺς συναιρεσιώτας [34], ἑτέροις δὲ μηδὲν ἐξειπεῖν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς τούτοις ὄμνυσι μηδενὶ μεταδώσειν τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβε. |

κθ'. Τοιούτοις οὖν ὅρκοις δεσμεύουσι τοὺς προσερχομένους. Εἰ δέ τις ἐν ἁμαρτήματί τινι κατεγνωσθῇ [35], ἀποβάλλεται τοῦ τάγματος [36], ὁ δὲ ἀποβληθεὶς δεινῷ μόρῳ ἐσθ' ὅτε διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ [37] τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν. Ἐπ' ὅτε οὖν τὸ σῶμα λιμῷ διαφθείρουσιν, [ὅθ]εν [38] ἐν ἐσχάτοις ποτὲ ἐλεοῦσι [39] πολλοὺς ἤδη ἐκλείποντας αὐτῶν [40] ἱκανὴν μέχρι θανάτου ἐπιτιμίαν ἡγούμενοι.

κε'. Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· δικάζουσι δὲ συνελθόντες οὐκ ἐλάττους τῶν ἑκατόν, τὸ δὲ ὁρισθὲν ὑπ' [41] αὐτῶν ἀκίνητον. Τιμῶσι δὲ τὸν νομοθέτην μετὰ τὸν Θεὸν, καὶ εἴ τις εἰς τοῦτον βλασφημήσει, κολάζεται. Τοῖς δὲ ἄρχουσι καὶ πρεσβυτέροις ὑπακούειν διδάσκονται. Εἰ δὲ ἐπὶ τὸ αὐτὸ δέκα καθέζονται, οὐ λαλήσει εἷς, εἰ μὴ τοῖς ἐννέα δόξει. Καὶ [p. 302. 303] τὸ πτύσαι δὲ εἰς μέσον καὶ τὸ δεξιὸν μέρος φυλάττονται [42]· τὸ δὲ τῷ Σαββάτῳ ἀπέχεσθαι ἔργου φροντίζουσι μᾶλλον πάντων Ἰουδαίων. Οὐ μόνον γὰρ τροφὰς αὐτοῖς [43] προπαρασκευάζονται [44] μιᾶς ἡμέρας πρὸς τὸ μὴ πῦρ ἅπτειν, ἀλλ' οὐδὲ σκεῦος μετατιθέασιν, οὐδὲ ἐκ-

τοῦσιν· οὐ γὰρ δίχα Θεοῦ περιγίνεσθαί τινι (τισι Porph.) τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ (ἄρχει Porph.), μηδὲ πώποτε ἐξυβρίζειν (ἐξυβρίσαι Porph.) εἰς τὴν ἐξουσίαν, μηδὲ (μὴ Porph.) ἐσθῆτι ἤ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι· τὴν ἀλήθειαν ἀγαπᾷν ἀεὶ καὶ τοὺς ψευδομένους ἐλέγχειν (om. Porph.) προβάλλεσθαι· χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν, καὶ μήτε κρύψειν τι τῶν αἱρετιστάς, μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς (δὲ add. Porph.) τούτοις ὀμνύουσι (ὄμνυσι Porph.) μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβεν (παρέλαβεν Porph.)· ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς (τῆς om. Porph.) αἱρέσεως αὐτῶν βιβλία καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. Τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται.

ἡ'. Τοὺς δὲ ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας ἐκβάλλουσι τοῦ τάγματος, ὁ δὲ ἐκκριθεὶς οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος (ἐνδεδεμένοι Porph.) οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται (δύνανται Porph.) μεταλαμβάνειν, ποηφαγῶν (ποηφαγοῦντες Porph.) δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος διαφθείρεται (διαφθειρόμενοι ἀπόλλυνται Porph.). Διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον (ἀνάγκαις ἔλαβον Porph.), ἱκανὴν (τιμωρίαν δεδωκέναι νομίζοντες add. Porph.) ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν (αὐτῶν om. Porph.) τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι (ἡγ. om. Porph.).

θ'. Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνιόντες, τὸ δὲ ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. Σέβας δὲ μέγιστον παρ' αὐτοῖς μετὰ τὸν Θεὸν τὸ ὄνομα τοῦ νομοθέτου, κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεσθαι θανάτῳ. Τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν ἐν καλῷ τίθενται. Δέκα γοῦν συγκαθεζομένων οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα. Καὶ τὸ πτύσαι δὲ εἰς μέσους ἢ τὸ δεξιὸν μέρος φυλάσσονται· καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι διαφορώτερα Ἰουδαίων ἁπάντων. Οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μηδὲ πῦρ ἀνακαῦσαι

VARIÆ LECTIONES.

[31] συμβαίνειν. συμβαίνει C, M. [32] ὑπερηφανεύσασθαι. ὑπερηφανεύσασθαι R. Scottus. [33] ἀπειθήσειν. An ἀφειδήσειν? vel ἐσθήσει cum adjectivo, quod latet in syllaba ἀπ? [34] Voce συναιρεσιώτης carent lexica. M. Nova Stephani editio exempla affert ex Photii *Bibliotheca*. [35] Litteras uncis inclusas prorsus abdatas e C supplevit M. [36] τάγματος. δόγματος C. [37] Vox οὐδὲ pene tota periit. M. [38] δθεν. In C duæ litteræ desunt. M. [39] ἐλεοῦσι. ἐλεῶσι C. [40] αὐτῶν. αὐτῷ C. [41] ὑπ'. ἀπ' C. [42] φυλάττωνται C. [43] αὐτοῖς. αὐτοῖς C. [44] προπαρασκευάζονται. παρα[illegible] C, M.

Digitized by Google

πατίζουσι, τινὲς δὲ οὐδὲ | κλιν.δίου χωρίζονται. Ταῖς δὲ ἄλλαις ἡμέραις ἐπὰν ἀποπατίσαι [65] θέλοιεν, βόθρον ὀρύξαντες πεδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ ἀξινόριον, ὃ τοῖς προσιοῦσι μαθητεύεσθαι πρώτως διδόασι), καὶ περικαλύψαντες τὸ ἱμάτιον ἰζάνουσι, φάσκοντες μὴ δεῖν ὑβρίζειν τὰς αὐγάς, ἔπειτα τὴν ἀνασκαφεῖσαν γῆν ἐπεμβάλλουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσιν ἐκλε[γό]μενοι [τοὺς] [66] ἐρημοτέρους τόπους. Ἐπὰν δὲ τοῦτ[ο ποιήσωσ]ιν, εὐθὺς ἀπολούονται ὡς μιαινούσης [67] τῆς ἐκκρίσεως [68].

κς'. Διῄρηνται δὲ [κα]τὰ [χρ]όνον καὶ οὐχ ὁμοίως τὴν ἄσκησιν φυλάττουσιν, εἰς τέσσαρα μέρη διαχωρισθέντες. Ἕτεροι γὰρ αὐτῶν τὰ ὑπὲρ τὸ δέον ἀσκοῦσιν, ὡς μηδὲ νόμισμα βαστάζειν, λέγοντες μὴ δεῖν εἰκόνα ἢ φέρειν ἢ ὁρᾶν ἢ ποιεῖν. Διὸ οὐδὲ εἰς πόλιν τις αὐτῶν εἰσπορεύεται, ἵνα μὴ διὰ πύλης εἰσέλθῃ, ἐφ' ᾗ [69] ἀνδριάντες ἔπεισιν, ἀθέμιτον τοῦτο ἡγούμενοι τὸ ὑπὸ εἰκόνας παρε)θεῖν. Ἕτεροι δὲ ἐπὰν ἀκούσωσί τινος περὶ Θεοῦ διαλεγομένου καὶ τῶν τούτου νόμων, εἰ ἀπερίτμητος εἴη, παραφυλάξας τὸν τοιοῦτον ἐν τόπῳ τινὶ μόνον, φονεύειν ἀπειλεῖ εἰ μὴ [70] περιτμηθείη· ὃς εἰ μὴ βούλοιτο πείθεσθαι, οὐ φείδεται, ἀλλὰ καὶ σφάζει. Ὅθεν ἐκ τοῦ συμβαίνοντος τὸ ὄνομα προσέλαβον, Ζηλωταὶ καλούμενοι, ὑπό τινων δὲ Σικάριοι. Ἕτεροι δὲ αὐτῶν οὐδένα Κύριον ὀνομάζουσι πλὴν τὸν Θεὸν, εἰ καὶ αἰκίζοιτό τις ἢ καὶ ἀναιροῖτο. Τοσοῦτον δὲ οἱ μετέπειτα [p. 303. 304.] ἐλάττους τῇ ἀσκῇ | σει γεγένηνται [71], ὥστε τοὺς τοῖς ἀρχαίοις ἔθεσιν ἐμμένοντας μηδὲ προσψαύειν [72] αὐτῶν, ὧν εἰ ψαύσαιεν [73], εὐθέως ἀπολούονται, ὡς τινος ἀλλοφύλου ψαύσαντες. Εἰσὶ δὲ καὶ μακρόβιοι οἱ πλεῖστοι, ὥστε καὶ πλέον ἑκατὸν [74] ἔτεσι ζῆν. Φασὶν οὖν εἶναι αἴτιον [75] τό τε τῆς ἄκρας θεοσεβείας καὶ τῷ καταγνωσθῆναι [76] ἀμέτρως προσφέρεσθαι ἐγκρατιστὰς εἶναι καὶ ἀοργήτους. Θανάτου δὲ καταφρονοῦσι χαίροντες, ἡνίκα μετὰ συνειδήσεως ἀγαθῆς τελευτῶσιν· εἰ δὲ καὶ αἰκίζοιτό τις τοὺς τοιούτους, ἵνα ἢ τὸν νόμον δυσφημήσῃ ἢ εἰδωλόθυτον φάγῃ, οὐ

alvum exonerant, nonnulli autem ne surgunt quidem e lectulo. Cæteris vero diebus si alvum exonerare velint, scrobem pedalem postquam foderunt rastro — nam talis quædam dolabella illa est, quam iis, qui ad disciplinam accedunt, primo tradunt — circumtexeruntque pallio, sublsidunt dictitantes non contumeliam luci esse faciendam, deinde effossam terram superinjiciunt in scrobem, idque faciunt eligentes sibi loca desertiora. Ubi autem id fecerunt, continuo abluuntur, quasi egestio polluat.

26. Discreti autem sunt temporis progressu, neque eodem modo disciplinam custodiunt, in quatuor partes cum sint divisi. Alii enim eorum nimis religiosi sunt, ita ut ne numisma quidem tractent, dicentes non oportere quemquam imaginem, neque ferre, neque spectare, neque conficere. Quapropter ne ingreditur quidem in oppidum quisquam eorum, ne per portam intret, cui statuæ impositæ sint, quia nefas esse existimant sub imaginibus præterire. Alii autem ubi audiverunt aliquem de Deo discrentem ejusque legibus, si non sit circumcisus, cum deprehenderit talem hominem alicubi solum, necem comminatur, nisi circumcidatur, cui, nisi obtemperare velit, non parcit, imo vero et trucidat eum. Quare ex accidenti cognomen traxerunt, Zelotæ appellati, a quibusdam autem Sicarii. Alii autem eorum neminem Dominum appellant præter Deum, etiamsi quis eos cruciet vel etiam interimat. Adeo **484-485** autem ætate posteriores a disciplinæ severitate defecerunt, ut ii, qui in priscis moribus permanent, eos ne attingant quidem; quos si forte contigerint, illico abluuntur, quasi alienigenam quem contigerint. Sunt autem et longævi plerique, ita ut vel plus quam centum annos vivant. Aiunt igitur causam esse eximiæ istius pietatis immodicique, quo ad martyrium feruntur, studii, quod contiuentes sint irræque temperent. Mortem autem contemnunt, gaudentque quando bonæ mentis sibi

---

ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαῤῥοῦσιν, οὐδὲ ἀποπατεῖν. Ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι — τοιοῦτον γάρ ἐστι τὸ διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις — καὶ περικαλύψαντες θοιματίῳ, ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν τοῦ Θεοῦ, θακεύουσιν εἰς αὐτὸν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι. Καίπερ δὲ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν καθάπερ μεμιαμμένοις ἔθιμον.

ι'. Διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως εἰς μοίρας τέσσαρας· καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων ἐλαττοῦνται, ὥστε, εἰ ψαύσειαν αὐτῶν, ἐκείνους ἀπολούεσθαι, καθάπερ ἀλλοφύλῳ συμφυρέντας. Καὶ μακρόβιοι μὲν, ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης, ἔμοιγε δοκεῖν, καὶ τὴν εὐταξίαν. Καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἁλγηδόνας νικῶντες τοῖς φρονήμασι, τὸν δὲ θάνατον, εἰ μετ' εὐκλείας προσίοι, νομίζοντες ἀθανασίας ἀμείνω. Διήλεγξε δ' αὐτῶν ἐν ἅπασι τὰς ψυχὰς ὁ πρὸς Ῥωμαίους πόλεμος· ἐν ᾧ στρεβλούμενοι καὶ λυγιζόμενοι καιόμενοί τε καὶ κλώμενοι καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν ἀσυνήθων, οὐδέτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαί ποτε τοὺς αἰκιζομένους ἢ δακρῦσαι.

VARIÆ LECTIONES.

[65] ἀποπατίσαι. ἀποπατῖσαι C, ἀποπατῆσαι susp. M. [66] Uncis inclusa in C prorsus ablata sunt. M. [67] μιαινούσης. μὴ αἰνούσης C. [68] Sequentia non habet Josephus. M. [69] ἐφ' ᾗ. ἐφ' ἣν C. [70] εἰ μή. εἰμὶ C. [71] γεγένηται C. [72] προσψαύειν. πρὸς ψάβειν C. [73] ψαύσαιεν Sauppius, ψαύσειεν C. M. [74] ἑκατόν. ἑκατὸν C. [75] αἴτιον — ἐγκρατιστάς. αἴτιον τῆς ἄκρας θ. καὶ τοῦ τῷ κτ. ἀ. πρ. τὸ ἐγκρατιστὰς? αἴτιον τό τε τ. ἄ. θ. καὶ τὸ κατὰ [πάντα] ἀγ ὧς δὴ καὶ εὐμέτρως πρ. καὶ ἐγκρατιστὰς Ingeniose conj. Sauppius. [76] καταγνωσθῆναι. καταγνωσθῆ C.

Digitized by Google

consci diem obeunt. Etiamsi vero quis cruciet A hosce, ut vel legi maledicat, vel comedat, quod idolis immolatum est, non faciet, sustinens mori et cruciatus perferre, ne conscientiam suam violet.

27. Valet autem apud eos et resurrectionis dogma; profitentur enim et carnem resurrecturam immortalemque esse futuram, quomodo jam immortalis sit anima, quam separatam nunc aiunt in uno loco bene ventilato et luculento quiescere usque ad judicium, quem locum Græci cum audiverint beatorum insulas appellaverunt. Sed et alia eorum dogmata postquam sibi vindicaverunt multi Græcorum, suas opiniones conflaverunt. **486-487** Est enim eorum cultus divini numinis vetustior omnibus populis, ita ut appareat omnes, qui de Deo loqui ausi sunt vel de mundi fabrica, non aliunde B tradita accepisse initia, quam a Judaica legislatione, quorum in primis Pythagoras et Stoici apud Ægyptios ab iis edocti acceperunt. Dicunt autem et judicium esse futurum et universi deflagrationem et injustos punitum iri in æternum. Colitur autem inter eos vaticinatio et prædictio rerum futurarum.

28. Est igitur et alius Essenorum ordo, qui iisdem moribus et victu utuntur, hac una autem in re ab iis differunt, quod matrimonium ineunt, cum dicant aliquid immane facere eos, qui matrimonium abrogaverint; in vitæ interitum id cedere, neque esse excidendam liberorum successionem dictitantes, cum, si omnes idem sentirent, facile excideretur C universum genus hominum. Tentant tamen per triennium nuptas, cum autem ter purgatæ sint, ad explorandum, num parere possint, ita eas in matrimonium ducunt. Cum gravidis rem non habent,

π[οι]ήσει [87] ὑπομένων θανεῖν καὶ βασάνους βεβῆσαι, ἵνα τὸ συνειδὸς μὴ παρέλθῃ.

κζ'. Ἔρρωται δὲ παρ' αὐτοῖς καὶ ὁ τῆς ἀναστάσεως λόγος· ὁμολογοῦσι γὰρ καὶ τὴν σάρκα ἀναστήσεσθαι καὶ ἔσεσθαι ἀθάνατον, ὃν τρόπον ἤδη ἀθάνατός ἐστιν ἡ ψυχή, ἣν χωρισθεῖσαν νῦν φασιν [88] εἰς ἕνα χῶρον εὔπνουν καὶ φωτεινὸν ἀναπαύεσθαι ἐκ κρίσεως, ὃν χῶρον Ἕλληνες ἀκούσαντες μακάρων νήσους ὠνόμασαν. Ἀλλὰ καὶ ἕτερα τούτων δόγματα πολλοὶ τῶν Ἑλλήνων σφετερισάμενοι ἰδίας δόξας συνεστήσαντο. Ἔστι [p. 304. 305] γὰρ ἡ κατὰ τούτους ἄσκησις περὶ τὸ θεῖον ἀρχαιοτέρα πάντων ἐθνῶν, ὡς δείκνυσθαι πάντας τοὺς περὶ θεοῦ εἰπεῖν τετολμηκότας ἢ περὶ τῆς [89] τῶν ὄντων δημιουργίας μὴ ἑτέρωθεν παρειληφέναι τὰς ἀρχὰς ἢ ἀπὸ τῆς Ἰουδαϊκῆς νομοθεσίας. ὧν μάλιστα μὲν Πυθαγόρας καὶ οἱ ἀπὸ τῆς Στοᾶς παρ' Αἰγυπτίοις τούτοις μαθητευθέντες παρέλαβον. Λέγουσι δὲ καὶ κρίσιν ἔσεσθαι καὶ τοῦ παντὸς ἐκπύρωσιν, καὶ τοὺς ἀδίκους κολασθήσεσθαι εἰσαεί. | Ἄσκεῖται δὲ ἐν αὐτοῖς τὸ προφητεύειν [90] καὶ προλέγειν τὰ ἐσόμενα.

κη'. Ἔστι μὲν οὖν καὶ ἕτερον Ἐσσηνῶν [91] τάγμα, τοῖς μὲν αὐτοῖς ἤθεσι καὶ διαίτῃ χρώμενοι, ἐν ᾧ τούτων ἐνδιαλλάττουσι [92], τῷ γαμεῖν, δεινόν τι λέγοντες [93], ὁρᾶν τοὺς ἀ[πο]ποιήσαντας [94] γάμον πρὸς τὴν ἀναίρεσιν τοῦ βίου γίνεσθαι τοῦτο, καὶ μὴ δεῖν ἐκκόπτειν τὴν τῶν τέκνων διαδοχὴν φάσκοντες· ὡς εἰ πάντες τοῦτο φρονήσειαν, ἐκκοπήσεσθαι ῥᾳδίως τὸ πᾶν γένος ἀνθρώπων. Δοκιμάζουσι μέντοι τριῶν τὰς γαμετάς· ἐπὰν δὲ τρὶς καθαρθῶσιν εἰς [πεῖρα]ν [95] τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐπιδεικνύμενοι τὸ μὴ ὑ

Μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσι καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι.

ια'. Καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα· φθαρτὰ μὲν εἶναι τὰ σώματα καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς, τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μὲν, ἐκ τοῦ λεπτοτάτου φοιτῶσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἰυγγί τινι φυσικῇ κατασπωμένας· ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷα δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. Καὶ ταῖς μὲν ἀγαθαῖς ὁμολογοῦντες παισὶν Ἑλλήνων ἀποφαίνονται τὴν ὑπὲρ Ὠκεανὸν δίαιταν ἀποκεῖσθαι καὶ χῶρον οὔτε ὄμβροις οὔτε νιφετοῖς, οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ Ὠκεανοῦ πραῢς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει· ταῖς δὲ φαύλαις ζοφώδη καὶ χειμέριον ἀφορίζονται μυχὸν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. Δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι, ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς καθ' ᾅδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, Σισύφους, καὶ Ταντάλους, καὶ Ἰξίονας, καὶ Τιτυοὺς, πρῶτον μὲν ἀΐδιους ὑφιστάμενοι τὰς ψυχὰς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς καὶ κακίας ἀποτροπήν· τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτὴν, τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν. Τάδε μὲν οὖν Ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες.

ιβ'. Εἰσὶ δὲ ἐν αὐτοῖς, οἳ καὶ τὰ μέλλοντα προγινώσκειν ὑπισχνοῦνται, βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι, σπάνιον δὲ εἴ ποτε ἐν ταῖς προαγορεύσεσι στοχήσουσιν.

ιγ'. Ἔστι δὲ καὶ ἕτερον Ἐσσηνῶν τάγμα, ὃ δίαιταν μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὸς δὲ τῇ κατὰ γάμον δόξῃ. Μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος, τὴν διαδοχὴν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δὲ, εἰ πάντες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα. Δοκιμάζοντες μέντοι τριετίᾳ τὰς γαμετὰς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐκδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν ἀλλὰ τέκνων χρείαν γαμεῖν. Λουτρὰ δὲ ταῖς γυ-

VARIÆ LECTIONES.

[87] ποιήσει. π . . ήσει duabus litteris ablatis C, πονήσει M. [88] φασιν. ἔστιν C, M. [89] περὶ τῆς. τῆς περὶ C, M. [90] τὸ προφ. καὶ τὸ προφ.? Sauppius. [91] Ἐσηνῶν C. [92] ἐνδιαλάττουσι C. [93] λέγοντες. λέγοντος C. [94] ἀ[πο]ποιήσαντας. Litteræ πο prorsus ablatæ. M. [95] [πεῖρα]ν. Lacuna ex Josepho expleta.

Digitized by Google

ἡδονὴν γαμεῖν, ἀλλὰ διὰ τέκνων χρείαν. Ὁμοίως δὲ καὶ αἱ γυναῖκες ἀπολούονται καὶ αὐταὶ ἐπένδυμα [66] ἐνδυόμεναι λινοῦν, ὃν τρόπον οἱ ἄνδρες τὰ περιζώματα. Ταῦτα μὲν οὖν [τὰ] [67] κατὰ Ἐσσηνούς [68].

Ἕτεροι δὲ καὶ αὐτοὶ τῶν Ἰουδαίων ἐθῶν [69] ἀσκηταὶ καὶ κατὰ γένος [p. 305. 306] καὶ κατὰ νόμους Φαρισαῖοι καλούμενοι, ὧν τὸ μὲν πλεῖστον μέρος ἐστὶ κατὰ πάντα τόπον, πάντων μὲν Ἰουδαίων καλουμένων, διὰ δὲ τὰς ἰδίως δοξαζομένας γνώμας ὀνόμασι κυρίοις [70] ἐπικαλουμένων. Οὗτοι μὲν οὖν τὴν ἀρχαίαν παράδοσιν διακρατοῦντες, ἐπὶ τοῖς κατὰ νόμον καθαροῖς καὶ μὴ καθαροῖς ἐπὶ νεῖκος [71] ἐξετάζοντες διαμένουσι· τά τε τοῦ νόμου ἑρμηνεύουσι, διδασκάλους εἰς ταῦτα προβιβάζοντες. Οὗτοι εἱμαρμένην εἶναι λέγουσι, καὶ τινὰ μὲν κατ' ἐξουσίαν εἶναι, τινὰ δὲ κατὰ τὴν | εἱμαρμένην, ὡς τινὰ μὲν ἐφ' ἡμῖν, τινὰ δὲ τῆς εἱμαρμένης, Θεὸν δὲ πάντων εἶναι αἴτιον, καὶ μηδὲν ἄνευ θελήματος αὐτοῦ διοικεῖσθαι ἢ συμβαίνειν. Οὗτοι καὶ σαρκὸς ἀνάστασιν ὁμολογοῦσι, καὶ ψυχὴν ἀθάνατον, καὶ κρίσιν ἐσομένην, καὶ ἐκπύρωσιν, καὶ δικαίους μὲν ἀφθάρτους ἔσεσθαι, ἀδίκους δὲ εἰσαεὶ κολασθήσεσθαι ἐν πυρὶ ἀσβέστῳ.

κθ'. Ταῦτα μὲν οὖν καὶ Φαρισσαῖοι. Σαδδουκαῖοι δὲ τὴν μὲν εἱμαρμένην ἀναιροῦσι, [καὶ] τὸ[ν Θεὸν] [72] μηδέν τι κακὸν δρᾶν ἢ ἐφορᾶν ὁμολογοῦσιν, εἶναι δὲ ἐξ ἀνθρώπων ἐξουσίας [73] τὸ αἱρεῖσθαι τὸ ἀγαθὸν ἢ κακόν. Ἀνάστασιν δὲ ἀρνοῦνται οὐ μόνον σαρκὸς, ἀλλὰ καὶ ψυχὴν μὴ διαμένειν νομίζουσι· [ταύτῃ δὲ] [74] εἶναι μόνον τὸ ζῆν, καὶ τοῦτο δὲ εἶναι οὗ χάριν ἐγένετο ἄνθρωπος, ἐν δὲ τούτῳ [75] πληροῦσθαι τὸν τῆς ἀναστάσεως λόγον, ἐν τῷ καταλείψαντας ἐπὶ γῆς τὰ τέκνα τελευτᾶν· μετὰ δὲ θάνατον μηδὲν ἐλπίζειν παθεῖν ἢ κακὸν ἢ ἀγαθόν· λύσιν γὰρ ἔσεσθαι καὶ ψυχῆς καὶ σώματος, καὶ εἰς τὸ μὴ εἶναι χωρεῖν τὸν ἄνθρωπον, καθ' ὃ καὶ τὰ λοιπὰ ζῷα. Ὅ τι δ' ἂν δράσῃ ἄνθρωπος ἐν [76] τῷ βίῳ κακὸν, ἀνθρώποις κἂν [77] διαλλαχθῇ [78], [p. 306. 307] κεκέρδηκε, τὴν ὑπὸ ἀνθρώπων διαφυγὼν [79] κόλασιν· ὃ τι δ' ἂν κτήσηται καὶ πλουτήσας δοξασθῇ, τοῦτο κεκέρδηκε· μέλειν [80] δὲ Θεῷ μηδὲν τῶν κατὰ ἕνα [81]. Καὶ οἱ μὲν Φαρισαῖοι

A ostendentes se non voluptatis causa matrimonium inire, sed propter liberorum usum. Simili autem modo etiam mulieres abluuntur ipsa quoque veste indutæ lintea, sicuti viri perizoniis. Hæc igitur sunt, quæ ad Essenos spectant.

Alii autem et ipsi Judæorum mores colunt et quoad genus **488-489** et quoad leges Pharisæi appellati, quorum maxima pars omnibus locis est, cum omnes quidem Judæi appellentur, propter singulares autem opiniones suas propriis nominibus vocentur. Hi igitur vetustam traditionem firmiter tenentes de iis, quæ secundum legem munda sint immundaque, non desinunt litigiose disceptare, legisque sententiam interpretantur magistros ad ista studia producentes. Hi fatum esse aiunt, et ali-
B qua arbitrio esse relicta, aliqua autem fato regi, ita ut aliqua penes nos sint, aliqua autem e fato pendeant, Deum autem universarum rerum esse auctorem nihilque sine ejus voluntate dispensari vel evenire. Hi etiam carnis resurrectionem profitentur et animam esse immortalem et judicium futurum et deflagrationem, et justos nunquam perituros esse, injustos autem in perpetuum punitum iri in igne inexstinguibili.

29. Hæc igitur et Pharisæi. Sadducæi autem fatum tollunt, et Deum nihil mali agere vel providere profitentur, esse autem in hominum potestate electionem boni aut mali. Resurrectionem vero negant
C non solum carnis, sed etiam animam non permanere opinantur; hic autem tantum esse vitam, et hanc esse causam cur homo factus sit, hac autem re expleri resurrectionis notionem, quod relictis in terra filiis vitam finiamus; post mortem autem nullam esse spem patiendi vel malum vel bonum, solutum enim iri et animam et corpus et ad nihilum venire hominem sicuti etiam reliqua animantia. Quidquid autem homo in hac vita fecerit mali, dummodo hominibus reconciliatus sit, lucrifecit, cum hominum **490-491** pœnam subterfugerit; quidquid autem quæsiverit et ditescens excelluerit, hoc lucrifecit; nihil autem curare Deum eorum quæ ad singulos attinent. Et Pharisæi quidem sui invicem

---

ναιξὶν ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι. Τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος.

ιθ'. Δύο δὲ τῶν προτέρων Φαρισαῖοι μὲν, οἱ δοκοῦντες μετὰ ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα καὶ τὴν πρώτην ἐπάγοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ Θεῷ προσάπτουσι πάντα, καὶ τὸ μὲν πράττειν τὰ δίκαια καὶ μὴ κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι, βοηθεῖν δὲ εἰς ἕκαστον καὶ τὴν εἱμαρμένην, ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα τὴν τῶν ἀγαθῶν μόνην, τὴν δὲ τῶν φαύλων ἀΐδίῳ τιμωρίᾳ κολάζεσθαι. Σαδδουκαῖοι δὲ, τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι καὶ τὸν Θεὸν ἔξω τοῦ δρᾶν τι κακὸν ἢ μὴ δρᾶν τίθενται· φασὶ δὲ ἐπ' ἀνθρώπων ἐκλογῇ τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι, καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. Ψυχῆς τε τὴν διαμονὴν καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. Καὶ Φαρισαῖοι μὲν φιλάλληλοί τε καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν

VARIÆ LECTIONES.

[66] ἐπένδυμα. ἐπ' ἕνα C. [67] τὰ om. C, M. [68] Ἐσηνούς C. [69] ἐθῶν. ἐθνῶν C. [70] *κυρίοις*. καιρίοις C. [71] ἐπὶ νεῖκος. ἐπικὸς C, ἐπικῶς M. [72] Litterarum uncis inclusarum tenuissima vestigia in C supersunt. Restituimus ex Josepho. M. [73] ἐξουσίας. ἐξουσίαν C, M, qui corrigendum esse putat τοῦ αἱρ. [74] ταύτῃ δὲ R. Scottus, ταύτην δὲ C, M, qui exesorum vocabulorum satis certa vestigia adesse affirmat: ἐπὶ γῆς? [75] ἐν δὲ τούτῳ. ἐν δὲ τῷ C, ἐνὶ δὲ τῷ M. Sicuti nos etiam R. Scottus conjecit. [76] ἄνθρωπος ἐν. ἄνθρωπον ἐν susp. M. [77] *ἀνθρώποις κἂν*. ἄνθρωπος καὶ C, M, ἀνθρώποις ἂν Sanpius. [78] διαλαχθῇ C. [79] διαφυγὼν. διὰ φυγῶν. [80] μέλειν. μέλλειν C. [81] κατὰ ἕνα. Fortasse κατὰ γῆν vel κάτω.

Digitized by Google

amantes sunt, Sadducæi autem sui ipsorum. Hæc secta in Samaria admodum prævaluit. Et ipsi vero ad legis mores se applicant, dicentes oportere quemque ita vivere, ut pulchre vivat et filios in terra relinquat. Ad prophetas autem non se applicant, neque ad ullos alios sapientes, nisi solum ad Mosis legem, nihil interpretantes. Hæc igitur sunt, quæ et Sadducæi diligunt.

30. Quoniam igitur et quæ inter Judæos sunt differentias exposuimus, congruens mihi esse videtur, etiam cultum eorum divinum silentio non prætermittere. Est igitur apud Judæos in universum doctrina de cultu divino quadruplex : theologica, naturalis, moralis, hierurgica. Et deum quidem unum esse aiunt, et opificem universi et Dominum, qui fecerit universa, cum antea non fuerint neque ex subjacente quadam substantia coæva, sed volens et creans, et esse angelos eosque factos ad ministrandum rebus creatis, verum esse etiam spiritum quemdam potentem ad celebrandum et laudandum apud Deum semper permanentem ; omnia autem in rebus creatis sensum habere, nihilque esse inanime. Et moribus student honestis modestæque vitæ, sicuti ex legibus cognoscere licet. Hæc autem olim accurate definita erant apud ipsos, qui antiquitus, non nuper legem traditam acceperunt, ita ut lector stupescat in tanta modestia et accurata diligentia morum homini lege sanctorum. Hierurgicum autem ministerium summopere excultum est apud eos, decenter numini divino accommodatum, sicuti iis qui volunt, si librum, qui de his rebus agit, legunt, **492-493** facile est cognitu, quam honeste et religiose Deo offerentes primitias eorum, quæ ab ipso in usum et commodum hominum donata sunt, ejus jussu ordinate et assidue ministraverint. Horum autem aliqua Sadducæi negant ; nolunt enim angelos vel spiritus exstare. Omnes autem simili modo Christum exspectant, cum lex et prophetæ adventurum prænuntiaverint, Judæi autem tempus ejus adventus non agnoverint, ita ut remaneat suspicio putantibus, ea, quæ de adventu ejus dicta sunt, non esse impleta, exspectent autem jam adventurum Christum, quia eum cum advenit non agnoverint, et signa temporum quod jam adfuerit videntes perturbentur et pudeat eos confiteri eum venisse, quoniam suis manibus eum necaverint, indignati cum ab eo convincerentur, quod legibus non obedivissent. Et eum, qui ita missus est a Deo,

φιλάλληλοι, οἱ δὲ Σαδδουκαῖοι φίλαυτοι. Αὕτη ἡ αἵρεσις περὶ τὴν Σαμάρειαν μᾶλλον ἐκρατύνθη. Καὶ αὐτοὶ δὲ τοῖς τοῦ νόμου ἔθεσι προσέχουσι, λέγοντες δεῖν οὕτω ζῆν, ἵνα καλῶς βιώσῃ καὶ | τέκνα ἐπὶ γῆς καταλείπῃ. Προφήταις δὲ οὐ προσέχουσιν, ἀλλ' οὐδὲ ἑτέροις τισὶ σοφοῖς, πλὴν μόνῳ τῷ διὰ Μωσέως νόμῳ, μηδὲν ἑρμηνεύοντες. Ταῦτα μὲν οὖν, ἃ καὶ οἱ Σαδδουκαῖοι αἱρετίζουσιν.

λ'. Ἐπεὶ τοίνυν καὶ τὰς παρὰ Ἰουδαίοις διαφορὰς ἐκτεθείμεθα [83], εὔλογον δοκεῖ καὶ τὴν ἄσκησιν τῆς τούτων θεοσεβείας μὴ παρασιωπᾶν. Ἔστι μὲν οὖν ἡ κατὰ πάντας Ἰουδαίους κατὰ τὴν θεοσέβειαν πραγματεία τετραχῆ, θεολογική, φυσική, ἠθική, ἱερουργική. Καὶ τὸν μὲν Θεὸν ἕνα εἶναι λέγουσι, δημιουργόν τε τοῦ παντὸς καὶ Κ[ύριον] [84], ποιήσαντα πάντα ἐ πρότερον δ[ντα] [85], οὐδὲ ἔκ τινος ὑποκειμένης συγχρόνου οὐσίας, ἀ[λλὰ θ]ελήσαντα καὶ κτίσαντα, εἶναί τε ἀγγέλους, καὶ τούτους γενομένους πρὸς λειτουργίαν τῆς κτίσεως, ἀλλὰ καὶ πνεῦμα ἐξουσιαστικὸν πρὸς δόξαν καὶ αἶνον Θεῷ ἀεὶ παραμένον [86]· τὰ πάντα δὲ ἐν τῇ κτίσει αἰσθησιν ἔχειν καὶ μηδὲν εἶναι ἄψυχον. Ἤθους τε ἀντιποιοῦνται σεμνοῦ καὶ σώφρονος βίου, καθὼς ἔστιν ἐκ τῶν νόμων ἐπιγνῶναι. Ταῦτα δὲ πάλαι ἀκριβαζόμενα ἦν παρ' αὐτοῖς, ἀρχῆθεν, [οὐ] νεωστὶ [86] τὸν νόμον παρειληφόσιν, ὡς τὸν ἐντυγχάνοντα καταπλαγῆναι ἐπὶ τοσαύτῃ σωφροσύνῃ καὶ ἐπιμελείᾳ τοῦ περὶ τὸν ἄνθρωπον νομοθετουμένου ἤθους. Ἱερουργικὴ δὲ λειτουργία ἄκρως ἐξήσκηται παρ' αὐτοῖς εὐσχημόνως πρὸς τὸ Θεῖον προσφερομένη. καθὼς τοῖς βουλομένοις ῥᾴδιόν ἐστιν ἐντυχοῦσι τῇ περὶ τούτων ἐξαγορευούσῃ βίβλῳ μαθεῖν, ὡς πανώς [p. 307—309] καὶ ὁσίως τῷ Θεῷ ἀπαρχόμενα τῶν παρ' αὐτοῦ δεδωρημένων εἰς χρῆσιν καὶ ἀπόλαυσιν ἀνθρώπων, κελευόμενοι εὐτάκτως καὶ παραμόνως ἐλειτούργουν. Τούτων δέ τινα οἱ Σαδδουκαῖοι ἀναγορεύουσιν· οὐ γὰρ βούλονται [87] ἀγγέλους ἢ πνεύματα ὑπάρχειν. Οἱ δὲ πάντες ὁμοίως Χριστὸν προσδέχονται, τοῦ μὲν νόμου καὶ τῶν προφητῶν [88] παρεσόμενον προκηρυξάντων, τῶν [89] δὲ Ἰουδαίων τὸν καιρὸν τῆς παρουσίας μὴ ἐπιγνόντων, [ὡς] [90] ἐπιμένειν τὴν ὑπόνοιαν τοῦ δοκεῖν μὴ τε[λ]ρημένα [91] περὶ τῆς παρουσίας τετελέσθαι, προκλᾶν δὲ ἤδη Χριστὸν παρεσόμενον διὰ τὸ παρόντα [92] μὴ ἐπιγινώσκειν, καὶ τὰ σύμβολα τῶν καιρῶν τοῦ ἤδη παραγεγενέναι ὁρῶντας ταράττεσθαι, αἰδεῖσθαί τε ὁμολογεῖν ἐληλυθέναι [93], ἐπεὶ [94] αὐτόχειρες αὐτοῦ γεγένηνται ἀγανακτοῦντες ἐλεγχόμενοι ὑπ' αὐτοῦ, ὅτι τοῖς νόμοις μὴ ὑπήκουσαν. Καὶ τὸν μὲν οὕτως ἀποσταλέντα ὑπὸ

ἀσκοῦντες, Σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἔθος ἀγριώτερον, αἵ τε ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς, ὡς πρὸς ἀλλοτρίους. Τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν

VARIÆ LECTIONES.

[83] ἐκτεθήμεθα C. [84] Κύριον. κτίστην susp. R. Scottus, κόσμου Roeperus : καὶ fortasse his eraturn fuisse putat M. [85] δντα. Lacunam explevit M. [86] παραμένον· τὰ. παραμένοντα· C, M. [86] παρ' αὐτοῖς, ἀρχῆθεν, οὐ νεωστὶ Sauppius, παρὰ τοῖς ἀρχῆθεν νεοστὶ C, M, qui in hoc verbo latere suspicatur iv δρει. [87] βούλονται. βούλοινται C. [88] προφητῶν. προφητῶν τὸν ? Sauppius. [89] προκηρυξάντων. τῶν. προκηρυξάντων. Τῶν C, M. [90] ἐπιγνόντων, ὡς. ἐπιγνόντων C, M, ἐπιγνόντων, ἐγένετο conj. Roeperus. [91] Syllabæ ρημένα ablatæ. M. [92] τὸ παρόντα, τὸ τὸν παρόντα ? [93] Scripsimus ἐληλυθέναι. Initio lacuna est, in fine αι, et paulo ante accentus M. [94] ἐπεὶ. ἐπὶ C.

Digitized by Google

τοῦ Θεοῦ, Χριστὸν οὐκ εἶναι τοῦτον λέγουσιν · ἐλεύσεσθαι δὲ ἕτερον, τὸν οὐκ ὄντα, εἰς ὃν τὰ [96] μὲν σύμβολα ἐκ μέρους [96], ὅσα ὁ νόμος καὶ οἱ προφῆται προέφηναν, ὁμολογοῦσι, τινὰ δὲ καὶ πλανώμενοι [97] νομίζουσι · γένεσιν μὲν γὰρ αὐτοῦ ἐσομένην λέγουσιν ἐκ γένους Δαβὶδ, ἀλλ' οὐκ ἐκ Παρθένου καὶ ἁγίου Πνεύματος, ἀλλ' ἐκ γυναικὸς καὶ ἀνδρὸς, ὡς πᾶσιν ὅρος γεννᾶσθαι [98] ἐκ σπέρματος,. φάσκοντες τοῦτον ἐσόμενον βασιλέα ἐπ' αὐτοὺς, ἄνδρα πολεμιστὴν καὶ δυνατὸν, ὃς ἐπισυνάξας τὸ πᾶν ἔθνος Ἰουδαίων, πάντα τὰ ἔθνη πολεμήσας, ἀναστήσει αὐτοῖς τὴν Ἱερουσαλὴμ πόλιν βασιλίδα, εἰς ἣν ἐπισυνάξει ἅπαν τὸ ἔθνος, καὶ πάλιν ἐπὶ τὰ ἀρχαῖα ἔθη ἀποκαταστήσει βασιλεῦον καὶ ἱερατεῦον καὶ κατοικοῦν ἐν πεποιθήσει ἐν χρόνοις ἱκανοῖς · ἔπειτα ἐπαναστῆναι κατ' αὐτῶν πόλεμον ἐπισυναχθέντων · ἐν ἐκείνῳ τῷ πολέμῳ πεσεῖν τὸν Χριστὸν ἐν μαχαίρῃ [99], ἔπειτα μετ' οὐ πολὺ τὴν συντέλειαν καὶ ἐκπύρωσιν τοῦ παντὸς ἐπιστῆναι, καὶ οὕτως τὰ περὶ τὴν ἀνάστασιν | δοξαζόμενα ἐπιτελεσθῆναι, τάς τε ἀμοιβὰς ἑκάστῳ κατὰ τὰ πεπραγμένα ἀποδοθῆναι.

A hunc Christum non esse dicunt, venturum autem esse alium, qui nondum exstet, in quem cadere signa ex parte, quotquot lex et prophetæ præmonstraverunt, confitentur, aliqua autem etiam errabundi opinantur; namque generationem ejus futuram esse dicunt ex genere David, non autem e Virgine et Spiritu sancto, sed e muliere et viro, sicuti omnibus definitum sit generari ex semine, fatentes hunc futurum esse regem super ipsos, virum belligerantem ac potentem, qui, ubi congregaverit universum populum Judæorum omnesque populos bello persecutus fuerit, instaurabit iis Hierosolyma urbem regiam, in quam congregabit universum populum et rursus ad priscos mores reducet fungentem regio et sacerdotali munere et habitantem in B confidentia per satis longa tempora; tum insurrecturum esse bellum contra eos congregatos; in illo bello casurum esse Christum per gladium; tum haud ita multo post successuram esse consummationem ac deflagrationem universi, et ita quæ de resurrectione opinantur perfectum iri, mercedesque cuique prout egerit tributum iri.

λα'. Δοκεῖ μὲν ἡμῖν ἱκανῶς τὰ πάντων Ἑλλήνων τε καὶ βαρβάρων δόγματα ἐκτεθεῖσθαι [1], μηδὲν δὲ ἀπολελοιπέναι [2] μήτε [p. 309, 310] τῶν φιλοσοφουμένων μήτε τῶν ὑπὸ αἱρετικῶν φ[ασκο]μένων [3] ἀναπόδεικτον, οἷς ἐξ αὐτῶν τῶν ἐκτεθέντων φανερὸς γεγένηται ὁ ἔλεγχος ἢ κλεψιλογησάντων ἢ τινα ἐρανισαμένων αὐτὰ τὰ ὑπὸ Ἑλλήνων πεπονημένα παραθεμένων ὡς θεῖα. Διὰ πάντων οὖν διαδραμόντες καὶ μετὰ πολλοῦ πόνου ἐν ταῖς ἐννέα βίβλοις [4] τὰ πάντα δόγματα ἐξειπόντες, πᾶσί τε ἀνθρώποις ἐφόδιον ἐν βίῳ μικρὸν καταλιπόντες, καὶ τοῖς παροῦσιν οὐκ ὀλίγης [5] χαρᾶς καὶ θυμηδίας [6] φιλομάθειαν παρασχόντες, εὔλογον ἡγούμεθα ὥσπερ κορυφὴν τοῦ παντὸς [τὸν] [7] περὶ ἀληθείας λόγον ἐπενέγκαι, καὶ τοῦτον ἐν μιᾷ βίβλῳ τῇ δεκάτῃ περιγράψαι, ὅπως ὁ ἐντυγχάνων μὴ μόνον ἀνατροπὴν τῶν τετολμηκότων αἱρέσεις συστήσασθαι ἐπιγνοὺς καταφρονήσῃ τῶν ματαίων, ἀλλὰ καὶ τὴν τῆς ἀληθείας δύναμιν ἐπιγνοὺς ἀξίως Θεῷ πιστεύσας σωθῆναι δυνηθῇ. |

31. Videntur nobis sufficienter omnium et Græcorum et Barbarorum placita esse exposita, nihilque remansisse irrefutatum **494-495** neque philosophumenorum neque eorum, quæ ab hæreticis dicta sunt, qui ex ipsis expositis manifeste arguti sunt vel expilando vel quædam corrogando ea ipsa, quæ a Græcis elaborata sunt, C proposuisse tanquam divina. Postquam igitur per omnia percurrimus et magno labore novem his libris omnia placita ediximus, omnibusque hominibus parvum in vita viaticum reliquimus, et præsentibus haud parvæ lætitiæ et oblectationis studium discendi præbuimus, commodum arbitramur tanquam fastigium totius operis sermonem de veritate afferre eumque in uno libro decimo delineare, ut lector non solum cum refutationem eorum qui hæreses condere ausi sunt, cognoverit, inania spernat, sed etiam, cum veritatis vim cognoverit, digne ubi Deo crediderit, salvari possit.

VARIÆ LECTIONES.

[96] εἰς ὃν τά. εἰς ὄντα C, M. [96] ἐκ μέρους. Exciditne vocabulum ἀναφέρεσθαι vel tale quid? [97] πλανώμενοι. πλανώμενον C. [98] γενᾶσθαι C. [99] μαχαίρῃ. μαχαίρᾳ? [1] ἐκτεθῆσθαι C. [2] ἀπολελοιπέναι. ἀπολελυπέναι C, ἀπολελειπέναι M. [3] Litteræ supplet æ lacunam exacte implent; supersunt vestigia litterarum α et κ. M. [4] ταῖς ἐννέα βίβλοις. τοῖς ἐννέα βίβλοις C, vel τοῖς ἐννέα βιβλίοις. [5] ὀλίγης Roeperus, ὀλίγοις C, M. [6] θυμιδίας C. [7] τὸν add. M.

Digitized by Google

ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

ΒΙΒΛΙΟΝ Ι'.

REFUTATIONIS OMNIUM HÆRESIUM

LIBER DECIMUS.

1. Hæc insunt in decimo libro refutationis omnium hæresium :

2. Summarium omnium philosophorum,

3. Summarium omnium hæresium,

4. Et denique post omnia, quænam sit veritatis doctrina.

5. Labyrinthum hæresium postquam non violenter disrupimus, sed sola refutatione veritatis vi dissolvimus, ad veritatis demonstrationem aggredimur. Tum enim erroris artificiosa sophismata male nexa manifesta fient, quando veritatis definitio ostensa fuerit, non a sapientia Græcorum principium nacta, neque Ægyptiorum placita, vana illa inter ipsos cum fiducia culta, tanquam arcana edocta, neque Chaldæorum dissoluta curiositate inducta, neque Babyloniorum stulta vesania per efficaciam dæmonum perculsa, sed quo exstat **496-497** modo definitio vera exsistens et ingenua et sincera, quæ, dummodo apparuerit, refutabit errorem. Cujus etsi sæpissime rationem aperuimus satisque veritatis regulam liberaliter iis qui volunt ostendimus : sed tamen nunc etiam non absonum arbitrati sumus post omnia Græcorum et hæreticorum placita tanquam fastigium librorum hanc afferre demonstrationem per decimum librum.

6. Complexi igitur omnium apud Græcos sapientum placita in quatuor libris, ea autem, quæ hæresiarchis placuerunt in quinque, jam veritatis doctrinam in uno ostendemus, recapitulantes primum omnium placita. Græcorum enim dogmatistæ cum philosophiam trifariam diviserint, ita philosophati sunt, alii physicen, alii ethicen, alii dialecticen nuncupantes. Et qui physicen, fuerunt hi, in

A α'. Τάδε ἔνεστιν ἐν τῇ δεκάτῃ τοῦ κατὰ [illegible] αἱρέσεων ἐλέγχου·

β'. Ἐπιτομὴ πάντων τῶν φιλοσόφων,

γ'. Ἐπιτομὴ [8] πασῶν [τῶν] [9] αἱρέσεων,

δ'. Καὶ ἐπὶ πᾶσι, τίς ὁ τῆς ἀληθείας λόγος.

ε'. Τὸν λαβύρινθον τῶν αἱρέσεων οὐ βίᾳ [illegible] τες, ἀλλὰ μόνῳ ἐλέγχῳ ἀληθείας δυνάμει [illegible] πρόσιμεν [10] ἐπὶ τὴν τῆς ἀληθείας ἀπόδειξιν. [illegible] γὰρ τῆς πλάνης ἔντεχνα σοφίσματα ἀσύστατα [illegible] ρωθήσεται, ἐπὰν ὁ τῆς ἀληθείας ὅρος ἐπιδειχ[illegible] ἀπὸ σοφίας Ἑλλήνων ἀρχὰς μεταλαβὼν, οὐδ[illegible] πτίων δόγματα, τὰ ἐν αὐτοῖς μετ' ἀξιοπιστ[illegible] σκευόμενα μάταια, ὡς ἄῤῥητα διδαχθεὶς, οὐδ[illegible] δαίων ἀσυστάτῳ περιεργίᾳ σοφισθεὶς, οὐδὲ [illegible]

B νίων ἀλογίστῳ μανίᾳ [p. 310. 311] δι' ἐν[ερ[illegible] δαιμόνων καταπλαγεὶς, ἀλλ' ᾧ [12] ὑπάρχει [illegible] ὅρος ἀληθὴς [13] ὢν ἀφύλακτός τε καὶ ἀκαλλ[illegible] ὃς [14] μόνον φανεὶς ἐλέγξει τὴν πλάνην. Π[illegible] καὶ πλειστάκις ἀποδείξεις ἐποιήσαμεν καὶ [illegible] τὸν τῆς | ἀληθείας κανόνα ἀφθόνως τοῖς [illegible] νοις ἐπεδείξαμεν, ἀλλά γε καὶ νῦν οὐκ ἄλο[illegible] ναμεν ἐπὶ πᾶσι τοῖς Ἕλλησι δεδοκημένοις [illegible] ρετικοῖς ὡσεὶ κορωνίδα τῶν βίβλων ἐπενέγ[illegible] την τὴν ἀπόδειξιν διὰ τῆς δεκάτης βίβλου.

ς'. Συμπεριλαβόντες τοίνυν τὰ πάντων [illegible] Ἕλλησι σοφῶν δόγματα ἐν τέσσαρσι βιβλ[illegible] δὲ τοῖς αἱρεσιάρχαις [16] ἐν πέντε, νῦν τὸν [illegible] θείας λόγον ἐν α' [17] ἐπιδείξομεν, ἀνακεφαλα[illegible] πρῶτον τὰ πᾶσι δεδοκημένα. Οἱ μὲν γὰρ τῶν [illegible]

C νων δογματισταὶ τὴν φιλοσοφίαν τριχῇ [illegible] οὕτως ἐφιλοσόφησαν, οἱ μὲν φυσικὴν, οἱ δὲ [illegible] οἱ δὲ διαλεκτικὴν προσαγορεύσαντες. Καὶ [illegible]

Sext. Empir. *Adv. Physic.* x, § 310 sqq. p. 684 sqq. : Περὶ γενέσεως καὶ φθορᾶς. Ἡ μὲν γ[illegible] καὶ φθορᾶς ζήτησις συνίσταται τοῖς Σκεπτικοῖς πρὸς τοὺς Φυσικοὺς σχεδόν τι περὶ τῶν ὅλων· εἰ [illegible] σκεψαμένων περὶ τῆς τοῦ παντὸς συστάσεως οἱ μὲν ἐξ ἑνὸς ἐγέννησαν τὰ πάντα, οἱ δ' ἐκ πλε[illegible] καὶ τῶν ἐξ ἑνὸς οἱ μὲν ἐξ ἀποίου, οἱ δὲ ἐκ ποιοῦ· καὶ τῶν ἐκ ποιοῦ οἱ μὲν ἐξ ἀέρος, οἱ δ' ἐξ ὕδατος [illegible]

VARIÆ LECTIONES.

[8] Ἐπιτομὴ. Ἐπὶ τῷ μὴ C. [9] τῶν om. C. [10] πρόσιμεν. πρόσειμεν C. [11] Lacunam explevit M. [illegible] ᾧ. ἀλλ' ὡς C. [13] ἀληθὴ[illegible] [14] ἀκαλλώπιστος, ὃς. ἀκαλλώπιστος C, M. [15] βιβλίοις. [illegible] [16] Post αἱρεσιάρχαις cu[illegible] serendum esse videtur; confer autem infra p. 502, 88, ubi [illegible] recurrunt. [17] ἐν α' J [illegible] *crit. ad Bunsenium* : ἕνα C, M, qui ἐνὶ legendum esse [illegible]

Digitized by Google

τὴν φυσικὴν οὕτοι γεγένηνται, οὕτως δὲ διηγήσαντο· οἱ μὲν [18] ἐξ ἑνὸς τὰ πάντα, οἱ δὲ ἐκ πλειόνων· καὶ τῶν ἐξ ἑνὸς οἱ μὲν ἐξ ἀποίου, οἱ δὲ ἐκ [τοῦ] ποιοῦ [19]· καὶ τῶν ἐκ ποιοῦ οἱ μὲν ἐκ πυρὸς, οἱ δὲ ἐξ ἀέρος, οἱ δὲ ἐξ ὕδατος, ἄλλοι δὲ ἐκ γῆς· καὶ τῶν ἐκ πλειόνων οἱ μὲν ἐξ ἀριθμητῶν, [οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν] [20] οἱ μὲν ἐκ δυοῖν, οἱ δὲ ἐκ τεσσάρων, οἱ δὲ ἐκ ς', οἱ δὲ ἐκ ζ'· καὶ τῶν ἐξ ἀπείρων οἱ μὲν ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ ἐξ ἀνομοίων· καὶ τούτων [21] οἱ μὲν ἐξ [ἀπα]θῶν, οἱ δὲ ἐκ παθητῶν. Ἐξ ἀποίου [22] μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων συνεστήσαντο γένεσιν οἱ Στωϊκοί. Ἀρχὴ [p. 311, 312] γὰρ τῶν ὅλων κατ' αὐτούς ἐστιν ἡ ἄποιος ὕλη καὶ δι' ὅλων τρεπτή [23]· μεταβαλλούσης δὲ αὐτῆς γίνεται πῦρ, ἀὴρ, ὕδωρ, γῆ. Ἐξ ἑνὸς δὲ καὶ ποιοῦ γεγενῆσθαι τὰ πάντα | θέλουσιν οἵ τε [24] περὶ τὸν Ἵππασον καὶ Ἀναξίμανδρον καὶ Θαλῆ τὸν Μιλήσιον. Ἵππασος [25] μὲν ὁ Μεταπόντιος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος ἐκ πυρὸς ἀπεφήναντο τὴν γένεσιν, Ἀναξίμανδρος δὲ ἐξ ἀέρος, Θαλῆς δὲ ἐξ ὕδατος. Ξενοφάνης δὲ ἐκ γῆς. *Ἐκ γῆς* [26] *γὰρ*, φησὶ, *πάντα ἐστὶ, καὶ εἰς γῆν* [27] *πάντα τελευτᾷ.*

A hunc autem modum disputaverunt : alteri ex uno omnia (sc. generaverunt), alteri ex pluribus; et ex iis, qui ex uno, alteri ex nulla qualitate prædito, alteri ex aliqua prædito qualitate; et ex iis, qui ex aliqua prædito qualitate, alii ex igne, alii ex aere, alii ex aqua, alii e terra; et ex iis, qui ex pluribus, alteri ex numerabilibus, alteri ex infinitis; et ex iis, qui ex numerabilibus, alii ex duobus, alii ex quatuor, alii ex quinque, alii ex sex; et ex iis, qui ex infinitis, alteri ex similibus eorum quæ generantur, alteri ex dissimilibus; et ex his alteri ex impatibilibus, alteri ex patibilibus. Ex corpore igitur nulla qualitate prædito eoque uno universitatis originem constituerunt Stoici. Principium **498-499** enim universi ex eorum sententia est materia nulla prædita B qualitate et omni ex parte mutabilis; ea autem cum convertitur, nascuntur ignis, aer, aqua, terra. Ex uno autem eoque qualitate prædito facta esse volunt omnia et Hippasi et Anaximandri et Thaletis Milesii schola. Hippasus quidem Metapontius et Heraclitus Ephesius ex igne declaraverunt esse rerum originem, Anaximander autem ex aere, Thales autem ex aqua, Xenophanes autem ex terra. *Ex terra enim*, inquit, *omnia sunt, et in terram omnia desinunt*

ζ'. Ἐκ πλειόνων δὲ καὶ ἀριθμητῶν [28], δυεῖν μὲν, γῆς τε καὶ ὕδατος, τὰ ὅλα συνεστηκέναι φησὶν [29] ὁ ποιητὴς Ὅμηρος, ὁτὲ μὲν λέγων·

Ὠκεανόν [30] *τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν* [31],

ποτὲ δέ·

Ἀλλ' ὑμεῖς [32] *μὲν* [33] *πάντες ὕδωρ καὶ γαῖα γέ-* [*νοισθε.*

Συμφέρεσθαι [34] δ' αὐτῷ δοκεῖ καὶ ὁ Κολοφώνιος Ξενοφάνης· φησὶ γάρ·

Πάντες [35] [γὰρ] *γαίης* [τε] [36] *καὶ ὕδατος ἐγεγόμεσθα* [37].

7. Ex pluribus autem et numerabilibus, duobus quidem, terra et aqua universum constare ait poeta Homerus, tum quidem dicens :

Oceanumque deorum originem et matrem Tethyn,

C tum vero :

Sed vos omnes aqua et terra fiatis.

Concinere autem cum eo videtur etiam Xenophanes Colophonius : ait enim :

Nos omnes enim ex terra et aqua exorti sumus.

ἐκ πυρὸς, ἄλλοι ἐκ γῆς· καὶ τῶν ἐκ πλειόνων οἱ μὲν ἐξ ἀριθμητῶν, οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν οἱ μὲν ἐκ δύο, οἱ δ' ἐκ τεσσάρων, οἱ δ' ἐκ πέντε, οἱ δ' ἐξ ἕξ· καὶ τῶν ἐξ ἀπείρων οἱ μὲν ἐξ ὁμοίων τοῖς γεννωμένοις, οἱ δὲ ἐξ ἀνομοίων· καὶ τούτων οἱ μὲν ἐξ ἀπαθῶν, οἱ δ' ἐκ παθητῶν. Ἐξ ἀποίου μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων ὑπεστήσαντο γένεσιν οἱ Στωϊκοί. Ἀρχὴ γὰρ τῶν ὄντων κατ' αὐτούς ἐστιν ἡ ἄποιος ὕλη καὶ δι' ὅλων τρεπτὴ, μεταβαλλούσης τε ταύτης γίνεται τὰ τέσσαρα στοιχεῖα, πῦρ καὶ ἀὴρ, ὕδωρ καὶ γῆ. Ἐξ ἑνὸς δὲ καὶ ποιοῦ γεγενῆσθαι τὰ πάντα θέλουσιν οἵ τε περὶ τὸν Ἵππασον καὶ Ἀναξίμανδρον καὶ Θαλῆ· ὧν Ἵππασος μὲν καὶ κατά τινας Ἡράκλειτος ὁ Ἐφέσιος ἐκ πυρὸς ἀπέλιπον τὴν γένεσιν, Ἀναξίμανδρος δὲ ἐξ ἀέρος, Θαλῆς δὲ ἐξ ὕδατος. Ξενοφάνης δὲ κατ' ἐνίους ἐκ γῆς·

Ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.

Ἐκ πλειόνων δὲ καὶ ἀριθμητῶν δυοῖν μὲν, γῆς τε καὶ ὕδατος, ὁ ποιητὴς Ὅμηρος ὁτὲ μὲν λέγων·

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν·

ὁτὲ δέ·

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Συμφέρεσθαι δ' αὐτῷ δοκεῖ κατ' ἐνίους καὶ ὁ Κολοφώνιος Ξενοφάνης· φησὶ γάρ·

Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐγεγόμεσθα.

VARIÆ LECTIONES.

[18] Quæ sequuntur, hausta sunt ex Sexto Empirico, cujus verba textui supposuimus [19] ἐκ ποιοῦ. ἐκ τοῦ ποιοῦ C, M. [20] οἱ δὲ ἐξ ἀπείρων· καὶ τῶν ἐξ ἀριθμητῶν om. C. [20a] γεννωμένοις. γενομένοις C, M. [21] τούτων. πρὸς τούτοις C. M. [22] παθητῶν. Ἐξ ἀποίου. παθητικῶν. Ἀποίου C, M. [23] τρεπτή. τρέπει D. [24] οἵ τε. οἱ δὲ C. [25] Μιλήσιον. Ἵππασος. Μιλήσιον. ὧν Ἵππασος? [26] Apud Karsten. fr. 3, p. 45. Fort. versus restituendus qui apud Sextum. M. [27] γῆν. τὴν γῆν C, M. [28] ἀριθμητῶν. ἀριθμῶν C. [29] φησὶ C. [30] Hom. Il, xiv, 201. [31] Τηθύν. τιθὲν C. [32] Hom. Il, vii. 99. [33] μὲν om. C. [34] Συμφέρεσθαι. Συμφερὲς, posito ς super φε C. [35] Fragm. 9, p. [36] γὰρ γαίης τε. γαίης C, M. [37] ἐγεγόμεσθα. ἐγενόμεθα C, M.

Digitized by Google

Ex terra autem et æthere Euripides, ut licet cognoscere ex eo quod dicit :

Æthera et terram universorum genitricem canto.

Ex quatuor autem Empedocles, cum ait in hunc modum :

500-501 *Quatuor universorum radices primum audi.*
Jupiter lucidus Junoque alma et Aidoneus
Nestisque quæ lacrymis humectat scaturiginem humanam.

Ex quinque autem Ocellus Lucanus et Aristoteles ; simul enim cum quatuor elementis assumpserunt quintum idque in orbem motum corpus, ex quo dicunt esse cœlestia. Ex sex autem universi ortum posuit Empedoclis schola. Cum enim ait : *Quatuor universorum radices primum audi*, ex quatuor statuit esse originem ; quando autem addit :

Discordia perniciosa præter illos, ex omni parte
Et amicitia cum his, par ad longitudinem et latitu-

sex tradit universorum principia, quatuor quidem materialia, terram, aquam, ignem, aera, duo autem agentia, amicitiam et discordiam. Ex infinitis autem opinati sunt universorum esse originem Anaxagoræ Clazomenii et Democriti et Epicuri scholæ aliique permulti, quorum antea ex parte mentionem fecimus. Sed Anaxagoras quidem ex similibus eorum quæ generantur, Democriti autem schola et Epicuri ex dissimilibus iisque impatibilibus, hoc est ex individuis, Heraclidis autem Pontici et Asclepiadis scholæ ex dissimilibus quidem, sed patibilibus, sicuti ex inconcinnis corpusculis, Platonis autem schola ex tribus ; hæc esse dicunt Deum et materiam et exemplum. Materiam autem dividit in quatuor principia :

A Ἐκ γῆς δὲ καὶ αἰθέρος [38] Εὐριπίδης, ὡς πάρεστιν ἐπιγνῶναι ἐκ τοῦ λέγειν αὐτόν·

Αἰθέρα [39] *καὶ γαῖαν πάντων γενέτειραν ἀείδω.*

Ἐκ τεσσάρων δὲ Ἐμπεδοκλῆς, οὕτως λέγων

[p. 313, 314] *Τέσσαρα* [40] *τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε*
Ζεὺς ἀὴρ, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς.
Νῆστις δὲ ἡ δακτοῖς σπόνδε κρουνῷ μιξόντεσσι.

Ἐκ πέντε δὲ Ὄκελλος [41] ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα, ἐξ οὗ [42] λέγουσιν εἶναι τὰ οὐράνια. Ἐκ δὲ τῶν ς' τὴν τῶν πάντων ὑπέθεντο γένεσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα. Ἐ. B οἷς μὲν γὰρ λέγει· *δ' τῶν* [43] *πάντων ῥιζώματα πρῶτον ἄκουε*, ἐκ τεσσάρων ποιεῖ τὴν γένεσιν· ὅταν δὲ προσθῇ·

Νεῖκός τ' οὐλόμενον [44] *δίχα τῶν, ἀτάλαντον* [45] *ἁπάντῃ,*
Καὶ φιλίη μετὰ τοῖσιν [46]*, ἴση μῆκός τε πλάτος τε,*

ἓξ [47] παραδίδωσι τὰς τῶν ὅλων ἀρχάς, δ' μὲν ὑλικάς, γῆν, ὕδωρ, πῦρ, ἀέρα, δύο δὲ τὰς δραστηρίους, φιλίαν καὶ νεῖκος. Ἐξ ἀπείρων δὲ ἐδογμάτισαν τὴν τῶν πάντων γένεσιν οἱ περὶ Ἀναξαγόραν τὸν Κλαζομένιον, καὶ Δημόκριτον, καὶ Ἐπίκουρον, καὶ ἄλλοι παμπληθεῖς, ὧν ἐκ μέρους πρότερον ἐμνήσθημεν. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας ἐξ ὁμοίων τοῖς γινομένοις, οἱ δὲ περὶ τὸν Δημόκριτον καὶ Ἐπίκουρον C ἐξ ἀνομοίων τε καὶ ἀπαθῶν, τουτέστιν ἐκ τῶν ἀτόμων, οἱ δὲ περὶ τὸν Ποντικὸν Ἡρακλείδην καὶ Ἀσκληπιάδην ἐξ ἀνομοίων [μὲν], [48], παθητῶν | δὲ, καθάπερ τῶν ἀνάρμων [49] ὄγκων, οἱ δὲ περὶ τὸν Πλάτωνα ἐκ τριῶν· εἶναι ταῦτα λέγουσι θεὸν, καὶ ὕλην καὶ παράδειγμα. Τὴν δὲ ὕλην μερίζει εἰς τέσσαρας

Ἐκ γῆς δὲ καὶ αἰθέρος Εὐριπίδης, ὡς πάρεστιν ἐκδέξασθαι ἐκ τοῦ λέγειν αὐτόν·

Αἰθέρα καὶ γαῖαν πάντων γενέτειραν ἀείδω.

Ἐκ τεσσάρων δὲ ὁ Ἐμπεδοκλῆς·

Τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεύς,
Νῆστίς θ' ἡ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ἐκ πέντε δὲ Ὄκελλος ὁ Λευκανὸς καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον καὶ κυκλοφορητικὸν σῶμα, ἐξ οὗ λέγουσιν εἶναι τὰ οὐράνια. Ἐκ δὲ τῶν ἓξ τὴν πάντων ὑπέθεντο γένεσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα. Ἐν οἷς μὲν γὰρ λέγει *τέσσαρα τῶν πάντων ῥιζώματα*, ἐκ τεσσάρων ποιεῖ τὴν γένεσιν· ὅταν δὲ προσθῇ·

Νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
Καὶ φιλίη μετὰ τοῖσιν, ἴσον μῆκός τε πλάτος τε,

ἓξ παραδίδωσι τὰς τῶν ὄντων ἀρχάς, τέσσαρας μὲν τὰς ὑλικάς, γῆν, ὕδωρ, ἀέρα, πῦρ, δύο δὲ τὰς δραστηρίους, φιλίαν καὶ νεῖκος. Ἐξ ἀπείρων δὲ ἐδόξασαν τὴν τῶν πραγμάτων γένεσιν οἱ περὶ Ἀναξαγόραν τ... Κλαζομένιον, καὶ Δημόκριτον, καὶ Ἐπίκουρον, καὶ ἄλλοι παμπληθεῖς. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας ἐξ ὁμοίων τοῖς γεννωμένοις· οἱ δὲ περὶ τὸν Δημόκριτον καὶ Ἐπίκουρον ἐξ ἀνομοίων τε καὶ ἀπαθῶν, τουτέστι τῶν ἀτόμων· οἱ δὲ περὶ τὸν Ποντικὸν Ἡρακλείδην καὶ Ἀσκληπιάδην ἐξ ἀνομοίων μέν, παθητῶν δὲ, καθάπερ

VARIÆ LECTIONES.

[38] αἰθέρος. ἀέρος C. M. [39] De hoc versu, quem ex Euripidis hymnis repetitum esse putat I. A. Fabricius, cf. quæ vir clariss. disputavit ad locum Sexti. [40] Cf. quæ supra p. 384 sq. ad hos versus adnotavimus. [41] Ὄκελλος ὁ Λευκανός. ὁ κη. γλος λευκανός C. [42] ἐξ οὗ. καὶ C, M. [43] δ' τῶν. δὲ τῶν C. [44] Empedocl. vss. 106 sq. Karsten., 79 sq. Stein. [45] δίχα τῶν ἀταλαντον. διχάζων ἀταλλάττων C. [46] φιλίη μετὰ τοῖσιν. φιλία μετὰ οἷσιν C. [47] ἓξ καὶ C, M. [48] μὲν om. C, M. [49] ἀνάρμων. ἀνάρχων C, M.

Digitized by Google

ἀρχὰς, πῦρ, ὕδωρ, γῆν, [p. 314, 315] ἀέρα· Θεὸν δὲ τὸν ταύτης εἶναι δημιουργὸν, τὸ δὲ παράδειγμα νοῦν. A

ignem, aquam, **502 - 503** terram, aera; Deum autem esse ejus opificem, exemplum autem mentem.

η'. Πεπεισμένοι τοίνυν ὅτι πᾶσι τούτοις ὁμολογουμένως ἄπορος εὑρίσκεται ὁ τῆς φυσιολογίας λόγος, αὐτοὶ περὶ τῶν τῆς ἀληθείας παραδειγμάτων ὡς ἔστι[80] καὶ πεπιστεύκαμεν, ἀδόκνως ἐροῦμεν, πλ[ὴν][81] καὶ τὰ τοῖς αἱρεσιάρχαις[82] ἐπιτομῇ πρότερον ἐκθέμενοι, ἵνα καὶ διὰ τούτου εὔγνωστα τὰ πάντων δόγματα παραστήσαντες φανερὰν καὶ εὔγνωστον τὴν ἀλήθειαν ἐπιδείξωμεν.

8. Persuasi igitur ab his omnibus sine dubio parum firmam inveniri physiologiæ rationem, ipsi de veritatis exemplis, quomodo sint et prout nos confidamus, impavide loquemur, insuper et hæresiarcharum placitis summatim prius expositis, ut, ubi etiam hoc modo perspecta omnium dogmata exposuerimus, apertam et perspectam veritatem ostendamus.

θ'. Ἀλλ'[83] ἐπεὶ οὕτως δοκεῖ, ἀρξώμεθα πρῶτον ἀπὸ τῶν τοῦ ὄφεως λειτουργῶν. Ναασσηνοὶ[84] ἄνθρωπον καλοῦσι τὴν πρώτην τῶν ὅλων ἀρχὴν, τὸν αὐτὸν καὶ υἱὸν ἀνθρώπου· τοῦτον δὲ τριχῇ διαιροῦσιν. Ἔστι μὲν γὰρ αὐτοῦ, φασὶ, τὸ μὲν νοερὸν, τὸ δὲ ψυχικὸν, τὸ δὲ χοϊκόν. Καλοῦσι δὲ αὐτὸν Ἀδάμαν, καὶ νομίζουσι τὴν εἰς αὐτὸν[85] εἶναι γνῶσιν ἀρχὴν τοῦ δύνασθαι γνῶναι Θεόν. Καὶ ταῦτα πάντα τὰ νοερὰ, καὶ τὰ ψυχικὰ, καὶ τὰ χοϊκὰ κεχωρηκέναι εἰς τὸν Ἰησοῦν, καὶ ὁμοῦ δι' αὐτοῦ λελαληκέναι τὰς τρεῖς οὐσίας τοῖς τρισὶ γένεσι. Τοῦ παντὸς οὖτοι[86] φάσκουσι τρία γένη[87], ἀγγελικὸν, ψυχικὸν, χοϊκὸν, καὶ τρεῖς εἶναι ἐκκλησίας, ἀγγελικὴν, ψυχικὴν, χοϊκήν· ὀνόματα δὲ αὐταῖς, ἐκλεκτὴ, κλητὴ, αἰχμάλωτος. Ταῦτά ἐστι τὰ κατ' αὐτοὺς κεφάλαια, ὡς ἐν ὀλίγῳ ἔστι καταλαβεῖν. Ταῦτά φασι[88] παραδεδωκέναι τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου τῇ Μαριάμνῃ, καταψευδόμενοι ἀμφοτέρων. | B

9. Sed quoniam ita placet, initium ducamus primum a serpentis cultoribus. Naasseni hominem vocant primum universorum principium, ipsumque et filium hominis, eum autem trifariam dividunt. Est enim ejus, inquiunt, aliud rationale, aliud animale, aliud choicum. Vocant autem eum Adaman atque censent cognitionem ejus esse initium cognitionis Dei. Et hæc omnia rationalia et animalia et choica cessisse in Jesum et simul una per eum locutas esse has tres substantias tribus generibus. Universi hi dictitant tria genera, angelicum, animale, choicum, tresque esse ecclesias, angelicam, animalem, choicam; nomina autem earum: electa, vocata, captiva. Ea sunt doctrinæ eorum capita, sicuti breviter complecti licet. Hæc dicunt tradidisse Jacobum Domini fratrem Mariamnæ, diffamantes ambos.

ι'. Οἱ δὲ[89] Περάται[90], Ἀδέμης[91] ὁ Καρύστιος[92] καὶ Εὐφράτης ὁ Περατικὸς[93], λέγουσιν ἕνα εἶναι κόσμον τινὰ, οὕτως καλοῦντες τοῦτον, τριχῇ διῃρημένον. Ἔστι δὲ [τῆς] τριχῇ[94] διαιρέσεως [p. 315] παρ' αὐτοῖς [τὸ μὲν ἓν μέρος,][95] οἷον ἡ[96] μία ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τομὰς τῷ λόγῳ τμηθῆναι δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προεχεστέρα[97] κατ' αὐτούς ἐστιν ἡ τριὰς, καὶ [τὸ μὲν ἓν μέρος][98] καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον μέρος τῆς τριάδος οἱονεὶ δυνάμεων C

10. Peratæ autem, Ademes Carystius et Euphrates Peraticus, dicunt esse unum aliquem mundum, ita vocantes huncce, trifariam divisum. Est autem trifariæ divisionis apud eos **504 - 505** [una pars] quasi unum initium tanquam magnus fons, in infinita per rationem dissecabilis segmenta. Primum autem segmentum et potius secundum eos est trias, et una quidem pars appellatur bonum perfectum, magnitudo patria; secunda autem pars triadis tanquam potestatum innumera quædam multitudo;

τῶν ἀνάρμων ὄγκων. Προειληφότες οὖν ὅτι πᾶσι τούτοις ἄπορος δείκνυται ὁ τῆς φυσιολογίας τρόπος ἀναιρεθείστης τῆς γενέσεως· καὶ τῆς φθορᾶς, προθυμότερον ἁπτώμεθα τῶν λόγων· καίτοι γε ἐὰν ἐξετάζωμεν, διὰ τῶν ἔμπροσθεν αὐτάρκως ἤδη συμβεβίβασται τὸ κεφάλαιον.

Theodoret. *Hær. fab.* i, 17. Ἀδέμης δὲ ὁ Καρύστιος καὶ ὁ Περατικὸς Εὐφράτης, ἀφ' οὗ Περάται προσηγορεύθησαν οἱ τούτων ὁμόφρονες, ἕνα κόσμον εἶναί φασι τριχῇ διῃρημένον. Καὶ τὸ μὲν ἓν μέρος οἷόν τινα πηγὴν εἶναι μεγάλην, εἰς ἄπειρα διαιρεθῆναι τῷ λόγῳ δυνάμενον. Τὴν δὲ πρώτην τομὴν τριάδα προσαγορεύουσι καὶ καλοῦσιν αὐτὴν ἀγαθὸν τέλειον, μέγεθος πατρικόν. Τὸ δὲ δεύτερον δυνάμεων ἀπείρων τὸ πλῆθος·

VARIÆ LECTIONES.

[80] ἔστι. ἔσται C. [81] Lacunam explevit M. [82] τὰ τοῖς αἱρεσιάρχαις. Suppleudum esse videtur διδοκημένα. Cf. supra p. 311, 25, 26. [83] Ἀλλ' — ἀμφοτέρων. Cf. supra p. 132, 154 et Bernaysium l. l, p. 309-11. [84] Ναασηνοὶ C. [85] εἰς αὐτόν. Scribendum videtur esse αὐτοῦ, quod sententia postulari jam Jac. Bernaysius vidit l. l. Cf. supra, p. 132, 68. [86] γένεσι. Τοῦ παντὸς οὗτοι. γένεσι τοῦ παντὸς, οὕτω C, M, γένεσι τοῦ παντός. Τούτου Bernaysius. [87] τρία γένη. τριγενῆ C, M. Sicut nos Bernaysius quoque et R. Scottus correxerunt. [88] φασι. φησιν C. [89] οἱδὲ Περάται — Περάται. Cf. supra p. 176, 178, Bernaysium l. l. p. 311-18 et Theodoret. *Hær. fab.* i, 17, cujus verba ex Hippolyto hausta textui supposuimus. [90] Περάται. Περᾶται C, M, Bernaysius. [91] Ἀδέμης. Cf. supra p. 51 not. ad l. 16, 17. [92] Καρύστιος. Καρύστιος, C. [93] Εὐφράτης ὁ Περατικός. Ἐφράτης Περατικὸς C. [94] τῆς τριχῇ. τριχῆς C, cf. supra p. 176, 72. [95] τὸ μὲν ἓν μέρος. Hæc verba h. l. delenda et lin. 15. ante καλεῖται inserenda esse videntur, ut ratio constet, quanquam dubitari nequit Hippolytum ipsum ita scripsisse ut textus habet, cum Theodoretus quoque cum eo concinat. Cf. supra p. 176, 73, 75, 76. [96] οἷον ἡ. οἱονεὶ? Sicuti nos etiam M, conjecit. [97] προεχεστέρα. προτεχεστέρα C, M. Cf. supra p. 176, 75. [98] τὸ μὲν ἓν μέρος om. C, M, Bernaysius.

Digitized by Google

tertia speciale. Et est prima quidem id quod non genitum est bonum, secunda autem bonum ex se genitum, tertia genitum : unde perspicue dicunt tres Deos, tres logos, tres mentes, tres homines. Singulis enim partibus mundi, divisione discreta, tribuunt et Deos et logos et homines et quæ reliqua sunt. Desuper autem ex non generatione et primo mundi segmento, cum ad consummationem deinceps mundus constitisset, descendisse Herodis temporibus trinaturatum quemdam hominem et tricorporem et tripotentem, vocatum Christum, in se habentem a tribus partibus mundi omnia concrementa et potestates. Et hoc esse volunt quod dicitur : *In quo inhabitat omnis plenitudo divinitatis corporaliter*. Delata autem esse a superjacentibus mundis duobus, et non generato et ex se ipso generato, in hunc modum, in quo versamur nos, omnifariarum potestatum semina. Devenisse autem Christum desuper a non generatione, ut per descensionem ejus omnia salvarentur trifariam divisa. Quæ enim, inquit, desuper devenerunt, ascendent per eum, quæ vero insidiata sunt delapsis, abjiciuntur et punita ablegantur. Duas autem esse partes dicit, quæ salventur, superjacentes, sejunctas ab interitu, tertiam autem perire, quem mundum specialem vocat. Hæc et Peratæ.

506-507

11. Sethianis autem placet universi esse tria principia descripta. Unumquodque autem principium . . . . . fieri potest, ut in humana anima omnis quæ docetur ars, veluti cum prope accesserit infans tibicini, posse eum tibiis cantare, vel geometræ, geometrica callere, vel alicui arti consimiliter. Principiorum autem, inquiunt, naturæ sunt lux et tenebræ, harum autem intermedius est spiritus intermistus. Spiritus autem intermedius positus

A ἄπειρόν [69] τι πλῆθος · τρίτον ἰδικόν. Καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον [ὅπερ [70] ἐστὶν ἀγαθόν· τὸ δὲ δεύτερον ἀγαθὸν αὐτογενές· τὸ τρίτον γεννητόν·] θεὸν διαῤῥήδην λέγουσι τρεῖς θεούς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου, τῆς διαιρέσεως διακεκριμένης, δίδόασι καὶ θεοὺς καὶ λόγους καὶ ἀνθρώπους καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς τοῦ κόσμου πρώτης τομῆς, ἐπὶ συντελείᾳ λοιπὸν τοῦ κόσμου καθεστηκότος, κατεληλυθέναι ἐπὶ τοῖς Ἡρώδου χρόνοις τριφυῆ [71] τινα ἄνθρωπον καὶ τρισώματον καὶ τριδύναμον, καλούμενον Χριστὸν, ἀπὸ τῶν τριῶν ἐχόντα τοῦ κόσμου μερῶν ἐν αὐτῷ [72] πάντα τὰ [τοῦ κόσμου] [73] συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναι θέλουσι τὸ εἰρημένον· *Ἐν ᾧ* [74] *κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς* [75]. Κατενεχθῆναι δὲ ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου καὶ τοῦ αὐτογεννήτου, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμεν ἡμεῖς, παντοίων [76] δυνάμεων σπέρματα. Κατεληλυθέναι δὲ τὸν Χριστὸν ἄνωθεν ἀπὸ ἀγεννησίας [77], ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ πάντα σωθῇ [78] τὰ τριχῇ διῃρημένα. Ἃ μὲν γάρ φησιν, ἐστὶν ἄνωθεν κατενηνεγμένα, ἀνελεύσεται δ' αὐτοῦ, [p. 315. 316] τὰ δὲ ἐπιβουλεύσαντα τοῖς κατενηνεγμένοις | ἀφίεται καὶ [79] κολασθέντα ἀποπέμπεται. Δύο δὲ εἶναι μέρη τὰ σωζόμενα λέγει, τὰ ὑπερκείμενα, ἀπαλλαγέντα τῆς φθορᾶς, τὸ δὲ τρίτον ἀπόλλυσθαι [80], ὃν κόσμον ἰδικὸν [81] καλεῖ. Ταῦτα καὶ Περάται [82].

B

C ια'. Τοῖς δὲ [83] Σηθιανοῖς [84] δοκεῖ, ὅτι τῶν ὅλων εἰσὶ τρεῖς ἀρχαὶ περιωρισμέναι. Ἑκάστη δὲ τῶν ἀρχῶν [85] . . . . . πέφυκε [δύνασθαι] [86] γενέσθαι, ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἠτισοῦν ἐδασκομένη τέχνη, οἱονεὶ [87] γένοιτο παιδίον αὐλητῇ γενέσθαι αὐλεῖν, ἢ γεωμέτρῃ γεωμετρεῖν, ἢ καὶ τέχνῃ ὁμοίως. Αἱ δὲ τῶν ἀρχῶν, φασὶν, οὐσίαι εἰσὶ φῶς καὶ σκότος· τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ τεταγμένον ἐν μέσῳ τῶ

τὸ δὲ τρίτον καλοῦσιν ἰδικόν. Καὶ τὸ μὲν πρῶτον ἀγέννητον λέγουσι καὶ ὀνομάζουσι τρεῖς θεούς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς πρώτης τοῦ κόσμου διαιρέσεως παρ' αὐτὴν τὴν τοῦ κόσμου συντέλειαν, ἐν τοῖς Ἡρῴδου χρόνοις κατεληλυθέναι τριφυῆ τινα ἄνθρωπον καὶ τρίσωμον καὶ τριδύναμον, καλούμενον Χριστὸν, καὶ διελθεῖν τόν τε ἀγέννητον κόσμον καὶ τὸν αὐτογενῆ, καὶ ἐλθεῖν εἰς τόνδε τὸν κόσμον, ἐν ᾧ ἐσμεν. Κατελθὼν δὲ ὁ Χριστὸς τὰ μὲν ἄνωθεν κατενηνεγμένα ἐπανελεῖν ἄνω παρασκευάσει, τὰ δὲ τούτοις ἐπιβουλεύσαντα παραδώσει κολάσει. Καὶ τὸν μὲν ἀγέννητον κόσμον καὶ τὸν αὐτογενῆ σωθήσεσθαι λέγουσι, τοῦτον δὲ τὸν κόσμον ἀπόλλυσθαι, ὃν ἰδικὸν ὀνομάζουσι.

VARIÆ LECTIONES.

[69] ἄπειρόν. ἀπείρων C, M. Cf. supra p. 176, 77. [70] ὅπερ — γεννητόν. om. C, M, Bernaysius. Cf. supra p. 176, 79, 80. [71] τριφυῆ. τριφυὴν C. [72] αὐτῷ. αὐτῷ C, M. [73] τοῦ κόσμου. Hæc verba delenda esse jam Bernaysius vidit. Cf. supra p. 178, 89. [74] Coloss. II, 9. [75] σωματικῶς. σώματι C. [76] παντοίων. παντοῖα C, M. Sicuti nos etiam Bernaysius correxit. Cf. supra p. 178, 95. [77] ἀγεννησίας. τῆς ἀγεννησίας? Cf. supra p. 178, 97. [78] σωθῇ. σωθεῖ C. [79] ἀφίεται καὶ. ἀφιεῖ εἰχῆ καὶ C, M, ὀφιοειδῆ Bernaysius, ἀφίεται εἰκῆ conj. Sauppius. Cf. supra p. 178, 1. [80] ἀπόλυσθαι C. [81] ἰδικόν. ἴδιον C, M, correxit jam Bernaysius. Cf. supra p. 178, 8. [82] Περᾶται C, M, Bernaysius. [83] Τοῖς δὲ — οὗτοι λέγουσιν. Cf. supra p. 198, 57-206, 89; et Bernaysium l. l. p. 518 sqq. [84] Σηθιανοῖς. Σιθιανοῖς C, M. [85] Post ἀρχῶν lacunam signavimus. Recte enim Bernaysius (l. l. p. 329) perspexit, vel ipsum Hippolytum excerpendi festinatione aberrasse, vel librarium negligentem, utrumque autem hominem delento deceptum a p. 198, 58, 59 ἑκάστην δὲ τῶν ἀρχῶν aberrasse ad p. 200, 61, 62, ἑκάστη τῶν ἀρχῶν πέφυκε, et ita factum esse, ut omitterentur ea, quæ interque ea periret subjectum πᾶν ὅτι, κ. τ. λ. p. 200, 60, quod pertinet ad πέφυκε. [86] δύνασθαι uncinis inclusimus suadente Bernaysio, qui hanc vocem ab initio ascriptam emendandi causa ad alterum γενέσθαι, quod exstat lin. 41, 42, per errorem insertam esse ante prius γενέσθαι putat. [87] οἷον, εἰ ἐγγὺς γένοιτο παιδίον αὐλητῇ, δύνασθαι αὐλεῖν, κ. τ. λ. Bernaysius : οἱονεὶ γένοιτο παιδίον [ἐγχρονίσαν] αὐλητῇ γενέσθαι αὐλητὴν, ἢ γεωμέτρῃ γεωμέτρην, ἢ ἡτινιοῦν τέχνῃ ὁμοίως. M : οἷον, εἰ γένοιτο παιδίον αὐλητῇ ἐγγὺς, εἴσεται αὐλεῖν, κ. τ. λ.?

Digitized by Google

σκότους, ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτὸς, ὅπερ ἐστὶν ἄνω, λέγουσιν, οὐκ ἔστι πνεῦμα ὡς ἀνέμου ῥιπὴ [88] ἢ λεπτή τις αὔρα νοηθῆναι δυναμένη, ἀλλ' οἱονεί τις ὀσμὴ μύρου ἢ θυμιάματος ἐκ συνθέσεως κατασκευαζομένου λεπτὴ, διοδεύουσα [89] δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι λόγου φορᾷ [90] εὐωδίας. Ἐπεὶ τοίνυν ἐστὶν ἄνω τὸ φῶς καὶ κάτω τὸ σκότος καὶ τούτων μέσον τὸ πνεῦμα, τὸ δὲ φῶς [ὡς] [91] ἀκτὶς ἡλίου ἄνωθεν ἐλλάμπουσα [92] εἰς τὸ ὑποκείμενον σκότος, ἡ δὲ τοῦ πνεύματος εὐωδία φέρεται μέσην ἔχουσα τάξιν καὶ ἐξικνεῖται, ὥσπερ ἡ τῶν θυμιαμάτων ὀσμὴ ἐπὶ τῷ πυρὶ φέρεται, τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν διῃρημένων τριχῶς, τοῦ πνεύματος καὶ τοῦ φωτὸς ὁμοῦ ἐστι κάτω ἡ δύναμις ἐν τῷ σκότει τῷ ὑποτεταγμένῳ. Τὸ δὲ σκότος ὕδωρ εἶναί φασι φοβερὸν, εἰς ὃ κατέσπασται [p. 316—318] [καὶ] [93] μετενήνεκται εἰς τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Φρόνιμον οὖν τὸ σκότος | ὂν καὶ γινῶσκον, ὅτι, ἂν ἀπαρθῇ ἀπ' αὐτοῦ τὸ φῶς, μένει [94] τὸ σκότος ἔρημον, ἀφανὲς, ἀλαμπὲς, ἀδύναμον, ἄπρακτον, ἀσθενὲς, τῷδε [95] πάσῃ συνέσει καὶ φρονήσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ τὸν σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Εἰκόνα τούτου ταύτην παρεισάγουσι, λέγοντες· Ὥσπερ ἡ κόρη τοῦ ὀφθαλμοῦ [ὑπὸ] ὑποκειμένων [96] ὑδάτων σκοτεινὴ φαίνεται, φωτίζεται δὲ ὑπὸ τοῦ πνεύματος, οὕτως ἀντιποιεῖται τὸ σκότος τοῦ πνεύματος, ἔχει δὲ παρ' ἑαυτῷ πάσας τὰς δυνάμεις βουλομένας ἀφίστασθαι καὶ ἀνιέναι. Εἰσὶ δὲ αὗται ἀπειράκις ἄπειροι, ἐξ ὧν τὰ πάντα τυποῦται [97] καὶ γίνεται ἐπιμιγνυμένων δίκην σφραγίδων. Ὥσπερ γὰρ σφραγὶς ἐπικοινωνήσασα κηρῷ [98] τὸν τύπον ἐποίησεν αὐτὴ [99] παρ' ἑαυτῇ ἡτισοῦν [ἦν] [1] μένουσα, οὕτως καὶ αἱ δυνάμεις ἐπικοινωνήσασαι τὰ πάντα ἀπεργάζονται γένη ζώων ἄπειρα. Γεγονέναι [2] οὖν ἀπὸ τῆς πρώτης συνδρομῆς τῶν τριῶν ἀρχῶν μεγάλης σφραγῖδος ἰδέαν [3], οὐρανὸν καὶ γῆν [4], εἶδος ἔχουσαν παραπλήσιον [5] μήτρᾳ ὀμφαλὸν ἐχούσῃ μέσον. Οὕτως δὲ καὶ τὰς λοιπὰς ἐκτυπώσεις τῶν πάντων ἐκτετυπῶσθαι ὥσπερ οὐρανὸν καὶ γῆν μήτρᾳ παραπλησίους. Ἐκ δὲ τοῦ ὕδατος γεγονέναι φασὶ πρωτόγονον ἀρχὴν, ἄνεμον σφοδρὸν [6] καὶ λάβρον καὶ πάσης γενέσεως αἴτιον [7], βρασμόν τινα καὶ κίνησιν ἐργαζόμενον τῷ κόσμῳ ἐκ τῆς τῶν ὑδάτων κινήσεως. Τοῦτον δὲ ἐπιτελεῖν εἶδος συρίγματι [8] ὄφεως παραπλήσιον, φέρων ὅθεν ἦν ὁ φορῶν [9] ὁ κόσμος πρὸς γένεσιν ὁρμᾷ ὀργήσας ὡς μήτρα, καὶ ἐντεῦθεν θέλουσι συνίστασθαι τὴν τῶν | ὅλων γένεσιν. Τοῦτον δὲ εἶναι πνεῦμα ἀνέμου [10] λέγουσι τέλειον θεὸν ἐκ τῆς τῶν

A inter tenebras, quæ sunt infra, et lucem, quæ est supra, aiunt, non est spiritus ut venti vis aut tenuis quædam aura, quæ sentiri potest, sed tanquam odor quidam unguenti vel suffimenti ex mistura fabricati tenuis, permeans potestas insensibili quadam et vehementiori, quam quæ verbis exprimatur, vi odoramenti. Quoniam igitur supra est lux et infra tenebræ et harum intermedius spiritus, lux autem ut radius solis desuper illucescens in subjectas tenebras, spiritus autem odoramentum sese diffundit medium tenens locum et porrigitur, sicuti suffimentorum odor super igni sese diffundit; — cum hæc igitur sit potestas trifariam divisorum: spiritus et lucis simul est infra potestas in tenebris subjectis. Tenebras autem aquam esse aiunt terribilem,

B **508 - 509** in quam derepta sit et translata in talem naturam cum spiritu lux. Mente autem cum præditæ sint tenebræ et cognoscant, ubi abstrahatur ipsis lux, manere tenebras desolatas, sine luce, sine splendore, sine vi, sine efficacia, debiles: ideo omni ratione et cogitatione nituntur continere in sese splendorem et scintillam lucis cum spiritus odoramento. Hujus imaginem hanc introducunt, dicentes: sicuti pupilla oculi sub subjacentibus aquis tenebrosa apparet, illustratur autem spiritu, ita sectantur tenebræ spiritum, habent autem apud se omnes potestates, quæ volunt recedere et redire. Sunt autem ipsæ infinities infinitæ, ex quibus omnia figurantur et nascuntur, cum instar sigillorum contingant. Sicuti enim sigillum cera contactum effigiem

C efficit, ipsum per se manens quodquod fuit, ita quoque potestates contagione sua efficiunt omnia genera animalium infinita. Nata igitur esse ex primo concursu trium principiorum magni sigilli speciem, cœlum et terram, formam habentem consimilem utero umbilicum habenti medium. Ita autem et reliquas figuras universorum effiguratas esse sicuti cœlum et terram utero consimiles. Ex aqua autem natum esse primigenium principium, ventum gravem et vehementem et omnis generationis auctorem, fervorem quemdam et motum efficientem mundo ex aquarum motu. Hunc autem perficere . . . . . sibilo serpentis consimilem alati, in quem suspiciens mundus ad generationem ruit intensus sicuti uterus, et hinc volunt manasse universorum originem. Hunc

D autem esse spiritum venti dicunt perfectum Deum ex aquarum et spiritus odoramento et lucis splendore natum esse, et esse generamen femellæ men-

VARIÆ LECTIONES.

[88] ἀνέμου ῥιπὴ. ἄνεμος ἢ ῥιπὴ C, M. Bernaysius. [89] λεπτὴ διοδεύουσα. λεπτῆς, διοδεύσασα C, M; cf. supra p. 200, 72. [90] φορᾷ. φορᾶς C. [91] φῶς ὡς. φῶς C, M. Sicuti nos etiam Bernaysius correxit. [92] ἐλλάμπουσα. ἐκλάμπουσα C, M; cf. supra p. 200, 76. [93] καὶ om. C. [94] μένει. μενεῖ Roeperus, qui ita etiam supra p. 200, 86 corrigendum esse censet. [95] τῷδε. τῷ δὲ C, τόδε M, ἐπὶ τῷδε Roeperus, οὕτω δὴ Bernaysius, ὧδε? Sauppius. [96] ὑπὸ ὑποκειμένων Bernaysius, ὑποκειμένων C, M. [97] τυποῦται Bernaysius: κυκλοῦται C, M. [98] κηρῷ. κλήρῳ C. [99] αὐτὴ. αὐτῇ C. [1] ἦν. om. C, M, Bernaysius. [2] Γεγονέναι. Γέγονεν C. [3] ἰδέαν. εἰδέαν C. [4] οὐρανὸν καὶ γῆν. οὐρανοῦ καὶ γῆς Bernaysius. [5] παραπλήσ.ον. παραπλησίαν C. [6] ἄνεμον σφοδρόν. ἀνεμόφθορον C; cf. supra p. 204, 28. [7] αἴτιον. ἀγγεῖον C.; cf. supra l. l. [8] ἐπιτελεῖν εἶδος συρίγματι. ἐπὶ τέλειον εἶδος σύρματι Bernaysius. [9] παραπλήσιον, φέρων ὅθεν ἦν ὁ φορῶν. παραπλήσιον, φέρων ὅθεν ἦν, ὁ φορῶν Roeperus, παραπλήσιον μορφωθῆναι, ὁ ἀφορῶν Bernaysius, παραπλήσιον πτερωτοῦ, ἐς ὃν ὑφορῶν? [10] ἀνέμου. ἄνεμον C, M. Bernaysius.

Digitized by Google

tem ; superne devenientem scintillam infra permistam cum appendicibus corporis niti effugere, effugientem **510-511** discedere neque liberationem reperire, cum aquis sit vincta. Propterea vociferata est ex aquarum mistura secundum Psalmistam, ut aiunt. Omnis igitur cura lucis supernæ est, ut liberet scintillam, quæ infra est, a patre, qui infra est ; vento, qui excitat fervorem et turbam sibique mentem filium generavit, qui, inquiunt, non proprius illius est, quem, ubi viderit perfectum logum lucis supernæ, mutata forma sub specie serpentis cessisse in uterum, ut mentem illam, lucis scintillam, recipere posset. Et hoc esse id quod dictum est : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit formam servi accipiens.* Et hanc esse servilem formam miseri volunt ac pestiferi Sethiani. Hæc igitur et hi dicunt.

Καὶ ταύτην εἶναι τὴν [δουλικὴν] [22] μορφὴν οἱ κακοδαίμονες θέλουσι καὶ πολυπή[μονες] [24] Σηθιανοί [25]. Ταῦτα μὲν οὖν καὶ οὗτοι λέγουσιν.

12. Sapientissimus autem Simon dicit in hunc modum : infinitam esse potestatem, hanc esse radicem universorum. Est autem, inquit, infinita potestas, quæ est ignis, secundum eum non simplex quiddam, sicuti plerique, qui dicunt simplicia esse quatuor elementa, et ignem simplicem esse censuerunt, sed esse ignis naturam duplicem, ejusque duplicis quidem naturæ alterum vocat absconditum, alterum manifestum ; latere autem abscondita illa in manifestis ignis et manifesta ignis ab absconditis exstitisse. Omnes autem, inquit, partes ignis visibiles et invisibiles habitæ sunt sensum habere. Exstitit igitur, inquiunt, mundus qui generatus est a non generato igni. Cœptus autem est fieri, inquit, in hunc modum : Sex radices easque primas principii generationis sumens is qui generatus est a principio ignis illius ; has enim radices exstitisse per conjugationes ab igne, quas quidem appellat Mentem et Intelligentiam, Vocem et Nomen, Ratiocinationem et Cogitationem. Esse autem in sex his radicibus infinitam simul illam **512-513** potestatem, quam esse dicit eum qui stat, stetit, stabit, qui cum effigiatus erit in sex illis potestatibus, erit re, vi, magnitudine, perfectione una eademque quæ est non generata et infinita potestas, nulla omnino ex

ιβ'. Ὁ δὲ πάνσοφος [26] Σίμων οὕτως λέγει· ἀπέραντον εἶναι δύναμιν, ταύτην ῥίζωμα τῶν ὅλων εἶναι. Ἔστι δέ, φησίν, ἡ ἀπέραντος δύναμις, τὸ πῦρ, κατ' αὐτὸν [27] οὐδὲν ἁπλοῦν, καθάπερ οἱ πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ [δὲ] [28] τέσσαρα στοιχεῖα καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλ' εἶναι τοῦ πυρὸς τὴν φύσιν διπλῆν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι [29] κρυπτὸν τὸ δὲ φανερόν· κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τοῦ πυρός, [30], καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Πάντα | δὲ, φησὶ, νενόμισται τὰ μέρη τοῦ πυρὸς ὁρατὰ καὶ ἀόρατα φρόνησιν ἔχειν. Γέγονεν οὖν, φασὶν, [31], ὁ κόσμος ὁ γεννητὸς [32] ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δὲ, φησὶν, οὕτως γίνεσθαι· ἓξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γενέσεως ὁ γεννητὸς [33] ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου λαβών· ταύτας γὰρ ῥίζας γεγονέναι κατὰ συζυγίας [34] ἀπὸ τοῦ πυρὸς, ἅστινας καλεῖ *Νοῦν* καὶ *Ἐπίνοιαν*, *Φωνὴν* καὶ *Ὄνομα*, *Λογισμὸν* καὶ *Ἐνθύμησιν*. Εἶναι δὲ ἐν ταῖς ἓξ ῥίζαις ὁμοῦ τὴν ἀπέραντον δύναμιν, [ἣν] εἶναί [35] φησι τὸν ἑστῶτα, στάντα [36], στησόμενον, [p. 319. 320] ὃ[ἐὰν] [37] ἐξικονισθῇ ἐν ταῖς ἓξ δυνάμεσιν, ἔσται οὐσίᾳ, δυνάμει, μεγέθει, ἀποτελέσματι μία καὶ [ἡ] αὐτὴ [38] τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει, οὐδὲν ὅλως ἔχουσα ἑτεροῖον ἐκείνης τῆς ἀγεννήτου καὶ ἀπαραλλάκτου [39]

VARIÆ LECTIONES.

[11] γεγονέναι. γεγονότα, Roeperus. [12] γέννημα, γέντημα C. [13] νοῦν. νοῦν δὲ Roeperus. [14] περισυγκρίτους Bernaysius et Roeperus, περὶ συνκρίτους C, περὶ συγκρίτοις M. [15] σώματος. τοῦ σώματος Roeperus. [16] ἐκφεύγειν Bernaysius, καὶ φεύγειν C, M. [17] ἐκφυγόντα. καὶ ἐκφυγόντα Bernaysius, ἐκφυγόντα δὲ Roeperus. [18] Διὸ ἐβόα — μίξεως. Hæc verba ad psal. xxix, 3, alludere Bernaysius monuit. [19] νοῦν υἱοποιήσαντος Roeperus, νοῦν ποιήσαντος C, M. Bernaysius. [20] φάσκουσιν, ἴδιον, ὂν ἰδόντα. φάσκουσιν, ἰδόντα C, M, ὃ, φάσκουσιν, ἰδόντα Bernaysius, φάσκουσιν, ἴδιον· εἶτα Roeperus. [21] ἐν μήτρᾳ. ἐς μήτραν Bernaysius. [22] Philipp. II, 6, 7. [23] δουλικὴν Roeperus inseruit, om. C, M. Bernaysius. [24] πολυπήμονες. Cernuntur vestigia litterarum η et compendii ες. M. [25] Σηθιανοί. Σιθιανοί C, M. [26] Cf. supra p. 236 sqq. [27] κατ' αὐτόν. καθ' αὐτὸν C, M. Cf. supra p. 286, 83. [28] δὲ ex δ' ortum esse delendum monuit jam M. [29] μέν τι μέν τοι C. Cf. supra p. 238, 86. [30] τοῦ πυρός. τὸ πῦρ C, M. Sicuti nos etiam R. Scottus correxit. Cf. supra p. 238, 87, 88. [31] φασίν. φησὶν susp. M. [32] ὁ γεννητός. ἀγέννητος C, M. Cf. supra, p. 240, 31. [33] γεννητός. ἀγέννητος C, M. Cf. supra p. 240, 33. [34] συζυγίας. συζυγίαν C, M. Cf. supra p. 240, 35. [35] δύναμιν, ἣν εἶναι. δύναμιν· εἶναι C, M, Bernaysius coll. libro sexto, p. 240, 38 per homœoteleuton verba δυνάμει, οὐκ ἐνεργείᾳ· ἥτινα ἀπέραντον δύναμιν ante εἶναι φησι excidisse putat. [36] στάντα. πάντα C. [37] ἐὰν om. C. Cf. supra p. 240, 39. [38] ἡ αὐτή. αὐτὴ C, αὐτὴ M. Cf. supra p. 240, 41. [39] ἀπαραλλάκτου C.

Digitized by Google

καὶ ἀπεράντου δυνάμεως· ἐὰν δὲ μείνῃ δυνάμει [46] μόνον ἐν ταῖς ἓξ δυνάμεσι καὶ μὴ ἐξεικονισθῇ, ἀφανίζεται, φησὶ, καὶ ἀπόλλυται οὕτως ὡς ἡ δύναμις ἡ γραμματικὴ ἢ γεωμετρικὴ [ἐν] [47] ἀνθρώπου ψυχῇ ὑπάρξασα [48] μὴ προσλαβοῦσα τεχνίτην τὸν διδάξαντα [49]. Αὐτὸν [50] δὲ εἶναι ὁ Σίμων λέγει τὸν ἑστῶτα, στάντα, στησόμενον, ὄντα δύναμιν τὴν ὑπὲρ τὰ πάντα. Ταῦτα τοίνυν καὶ ὁ Σίμων.

A parte inferior quam non generata illa et immutabilis et infinita potestas; sin vero manebit sola potestate in sex potestatibus et non effigiabitur, evanescit, inquit, et perit ita ut potestas grammatica vel geometrica in animo hominis exstans, non adepta artificem qui doceat. Se ipsum autem esse Simon dicit eum qui stat, stetit, stabit, cum sit potestas illa quæ est super omnia. Hæc igitur et Simon.

ιγ'. Ὁ δὲ Οὐαλεντῖνος [51] καὶ οἱ ἀπὸ τῆς τούτου σχολῆς εἶναι λέγουσι τὴν τοῦ παντὸς ἀρχὴν Πατέρα, καὶ ἐναντίᾳ δὲ δόξῃ προσφέρονται. Οἱ μὲν γὰρ αὐτῶν μόνον εἶναι καὶ γεννητικὸν, οἱ δὲ ἀδυνάτως ἔχειν γεννᾷν ἄνευ θηλείας καὶ τούτου σύζυγον προστιθέασι Σιγὴν, Βυθὸν αὐτὸν ὀνομάσαντες. Ἐκ τούτου τινὲς καὶ τῆς συζύγου προβολὰς γεγονέναι ἓξ, Νοῦν καὶ Ἀλήθειαν, Λόγον καὶ Ζωὴν, Ἄνθρωπον καὶ Ἐκκλησίαν, καὶ εἶναι ταύτην τὴν ὀγδοάδα πρωτογενέτειραν· τὰς τε ἐντὸς τοῦ Ὅρου [52] προβολὰς γεγενημένας πάλιν καλεῖσθαι ἐντὸς [53] πληρώματος, δεύτερα δὲ τὰ ἐκτὸς πληρώματος, καὶ τρίτα [54] τὰ ἐκτὸς τοῦ Ὅρου, ὧν ἡ γέννησις τὸ ὑστέρημα ὑπάρχει. Τὸ δὲ ἔκτον ἐν ὑστερήματι προβληθέντος αἰῶνος γεγονέναι [55], καὶ τοῦτον εἶναι δημιουργὸν λέγει, μὴ βουλόμενος [56] αὐτὸν πρῶτον εἶναι θεὸν, ἀλλὰ δυσφημῶν τε [57] αὐτὸν καὶ τὰ ὑπ' αὐτοῦ γεγενημένα, τὸν δὲ Χριστὸν ἐκ τοῦ ἐντὸς πληρώματος κατεληλυθέναι ἐπὶ σωτηρίᾳ τοῦ ἀποπλανηθέντος πνεύματος, ὃ κατοικεῖ [58] ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ, ὃν σωζόμενόν φασι τούτου χάριν τοῦ ἐνοικοῦντος. Τὴν δὲ σάρκα μὴ σώζεσθαι θέλει, δερμάτινον χιτῶνα ἀποκαλῶν καὶ ἄνθρωπον φθειρόμενον. Ταῦτα ἐν ἐπιτομῇ [p. 320. 321] ἐξεῖπον, πολλῆς ὕλης κατ' αὐτοὺς τυγχανούσης καὶ διαφόρων γνωμῶν. Οὕτως οὖν δοκεῖ καὶ τῇ Οὐαλεντίνου σχολῇ.

13. Valentinus autem et qui eum sectantur esse dicunt universarum rerum principium Patrem, in contrarias autem sententias abeunt. Alii enim eorum solum esse et genitalem (sc. eum putant), alii autem non posse generare sine femina, ejusque conjugem addunt Sigen, Bythum ipsum appellantes. Ex ipso quidam ejusque conjuge projectiones factas esse sex Mentem et Veritatem, Logum et Vitam, Hominem et Ecclesiam, et esse hanc ogdoadem primogenitricem; et eas, quæ intra Terminum exstiterunt projectiones, rursus appellari, ea quæ intus in pleromate sunt, secunda autem, ea quæ extra pleroma; et tertia, ea quæ extra Terminum, quorum generatio hysterema exstat . . . . . et hunc esse demiurgum dicit, nolens eum primum esse deum, sed maledicens et ei et iis, quæ ab eo facta sunt; Christum autem ex iis, quæ intus in pleromate sunt, descendisse ad salvandum spiritum, qui aberravit, qui habitat in interiori nostro homine, quem salvari dicunt hujusce eum inhabitantis gratia. Carnem autem non salvari vult, pelliciam tunicam eam denominans et hominem pereuntem. Hæc summatim effatus sum, cum magna **514-515** sit doctrinæ eorum materia variæque sententiæ. Sic igitur placet et Valentini Scholæ.

ιδ'. Βασιλείδης δὲ [59] καὶ αὐτὸς [60] λέγει εἶναι Θεὸν οὐκ ὄντα, πεποιημένον κόσμον ἐξ οὐκ ὄντων οὐκ ὄντα [61], οὐκ ὂν καταβαλλόμενόν [62] τι σπέρμα, ὡσεὶ κόκκον σινάπεως [63] ἔχοντα ἐν ἑαυτῷ τὸ πρέμνον, τὰ φύλλα, τοὺς κλάδους, τὸν καρπὸν, ἢ ὡς ὠὸν ταὼ ἔχον [64] ἐν ἑαυτῷ τὴν τῶν χρωμάτων ποικίλην πληθύν· καὶ τοῦτο εἶναί φασι [65] τὸ τοῦ κόσμου σπέρμα, ἐξ οὗ τὰ πάντα γέγονεν. Ἔχειν γὰρ ἐν ἑαυτῷ τὰ πάντα οἷον οὐκ ὄντα [66] ὑπό [τε] τοῦ οὐκ ὄντος Θεοῦ γενέσθαι προβεβουλευμένα. Ἦν οὖν, φασὶν, [67], ἐν αὐτῷ [68] τῷ σπέρματι υἱότης τριμερὴς, κατὰ πάντα

14. Basilides autem et ipse dicit esse Deum non-entem, qui sibi mundum fecerit ex non-entibus non-entem, cum non-ens dejecerit semen quoddam, veluti granum sinapeos habens in se ipso stirpem, folia, ramos, fructum, vel sicuti ovum pavonis habens in se ipso colorum variam copiam, et hoc esse dicunt mundi semen, ex quo res universæ exstiterunt. Habere enim in se ipso universa tanquam non-entia et a non-ente deo ut fierent præmeditata. Fuit igitur, inquiunt, in ipso semine filietas tripertita, per omnia non-enti Deo consubstantialis, ge-

VARIÆ LECTIONES.

[46] δυνάμει. δύναμις C, M. Cf. supra p. 240, 44. [47] ἐν om. C. [48] ὑπάρξασα. ὑπάρξαι C, M, qui hoc vocabulum, quod supra non legatur, nostrum locum turbare monet. [49] διδάξαντα. διδάξοντα susp. Roeperus. [50] Αὐτόν. Αὐτὸν C, M. [51] Cf. quæ Hippolytus supra p. 270 sqq. de Valentinianis exposuit, a quibus vero ea, quæ hic leguntur, admodum discrepant. [52] ἐντὸς τοῦ ὄρου. ἑνὸς τοῦ ὅρου C, M. Sicuti nos etiam R. Scottus correxit. [53] ἐντός. τὰ ἐντὸς susp. M. [54] τρίτα · τρία C. [55] Τὸ δὲ ἕκτου — γεγονέναι. Τὸ δὲ ἕκτον — γεγονέναι M, Τοῦ δὲ ἐκτὸς — γεγονέναι R. Scottus. Inter Τὸ δὲ et ἕκτου, pro quo fort. ἐκ τοῦ legendum est, lacuna esse videtur. [56] βουλόμενος. βουλόμενον pr. C et R, Scottus. [57] δυσφημῶν τε. δύσφημόν τε C, M, δυσφημοῦντα R. Scottus. [58] κατοικεῖ. κατομεῖ C. [59] Cf. supra p. 356 sqq. [60] καὶ αὐτός. καὶ υἱὸς αὐτοῦ? [61] ἐξ οὐκ ὄντων οὐκ ὄντα, οὐκ ὂν—σπέρμα Uhlhornius l. l. ἐξ οὐκ ὄντων, οὐκ ὄντα, οὐκ ὤν,—σπέρμα C, M. cf. supra p. 358, 6, 7, 14, 15. [62] καταβαλόμενον. καταβαλλόμενον C, M. [63] συνάπεως C. [64] ἔχον. ἔχοντα C. [65] φασί. φησὶ susp. M. [66] οἷον οὐκ ὄντα, — Ἦν οὖν. τὸν οὐκ ὄντα ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι. Προβεβουλευμένα ἦν οὖν C, τὸν οὐκ ὄντα ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι. Προβεβουλευμένη ἦν οὖν M. Cf. supra p. 360, 48, 49. [67] φασίν. φησὶν susp. M [68] αὐτῷ. ἑαυτῷ C.

Digitized by Google

nerata ex non-entibus. Hujus filietatis trifariam divisæ aliud erat subtile, aliud crassum, aliud purgationis indigens. Subtile igitur statim, ubi primum exstitit seminis prima dejectio a non-ente, perrupit et escendit in supernum et devenit ad non-entem; illum enim omnis natura expetit propter exsuperantiam pulchritudinis, alia autem aliter. Crassior autem illa adhuc manens in semine, utpote imitabilis quædam, escendere quidem non potuit — multo enim inferior erat subtiliore — instruxit autem se ipsam tanquam alis Spiritu sancto; hunc enim beneficio afficit filietas induta et vicissim beneficio afficitur. Tertia autem filietas purgatione eget; hæc mansit in universorum seminum acervo, et ipsa beneficia edens et recipiens. Esse autem quiddam, quod vocetur *mundus*, alterum autem *supermundana*; dividuntur enim ab eo quæquæ sunt in duas principes classes. Quod autem horum intermedium est, vocat *conterminum Spiritum sanctum*, qui odorem filietatis habet. A seminario acervi mundani seminis erupit et generatus est magnus archon, caput mundi, pulchritudine et magnitudine ineffabili. Hic postquam in **516 517** altum sese extulit usque ad firmamentum, putavit non esse supra semet ipsum ullum alium, et exstitit subjacentibus omnibus splendidior et potentior præter relictam filietatem, quam ignorabat esse semet sapientiorem. Hic igitur ad fabricam mundi versus primum generat sibi filium se ipso superiorem, et hunc ad dexteram suam considere jussit; atque hanc hi dictitant esse ogdoadem. Ipse igitur cœlestem fabricam universam fabricatur. Alius autem archon a seminario surrexit, major quidem omnibus subjacentibus præter relictam filietatem, multo autem inferior priore, quem vocant hebdomadem. Hic est omnium, quæ subter ipso sunt, factor et opifex et rector, et ipse sibi fecit filium sapientiorem et intelligentiorem. Hæc autem omnia secundum præmeditationem esse illius non-entis dicunt, esse autem mundos et gradus infinitos. Ad Jesum autem ex Maria natum venisse Evangelii potestatem, quæ devenerit et illuminaverit et ogdoadis filium et hebdomadis, ad illuminandum et ex classibus separandam et purgandam filietatem relictam ad benefaciendum animis et bene patiendum. Et semet esse filios aiunt, qui eam ob causam sint in mundo, ut docendo animas purgent et simul cum filietate escendant ad supernum patrem, quo prima venerit filietas, et eo usque constare dictitant mundum, quousque omnes animæ simul cum filietate illuc ve-

A τῷ [65] οὐκ ὄντι Θεῷ ὁμοούσιος, γεννητὴ [66] ἐξ οὐκ ὄντων. Ταύτης τῆς | υἱότητος τριχῆ διηρημένης [67] τὸ μέν τι ἦν λεπτομερὲς, τὸ δὲ παχυμερὲς, τὸ δὲ ἀποκαθάρσεως δεόμενον. Τὸ μὲν οὖν λεπτομερὲς εὐθέως πρῶτον ἅμα [68] τῷ γενέσθαι τοῦ σπέρματος τὴν πρώτην καταβολὴν ὑπὸ τοῦ οὐκ ὄντος διέπτη καὶ ἀνῆλθεν ἄνω, καὶ ἐγένετο πρὸς τὸν οὐκ ὄντα ἐκείνου γὰρ πᾶσα φύσις ὀρέγεται δι' ὑπερβολὴν κάλλους, ἄλλη [69] δὲ ἄλλως. Ἡ δὲ παχυμερεστέρα ἔτι μένουσα ἐν τῷ σπέρματι, μιμητική τις οὖσα, ἀναδραμεῖν μὲν οὐκ ἠδυνήθη (πολὺ γὰρ ἐνδεεστέρα ἦν τῆς λεπτομεροῦς), ἀνεπτέρωσε δὲ αὐτὴν τῷ Πνεύματι τῷ ἁγίῳ· τοῦτο γὰρ εὐεργετεῖ ἡ υἱότης ἐκλεξαμένη [70] καὶ εὐεργετεῖται [71]. Ἡ δὲ τρίτη υἱότης ἀποκαθάρσεως δεῖται· αὕτη μεμένηκεν ἐν τῷ τῆς

B πανσπερμίας σωρῷ, καὶ αὐτὴ [72] εὐεργετοῦσα καὶ εὐεργετουμένη. Εἶναι δέ τι καλούμενον *κόσμον*, τὸ δὲ *ὑπερκόσμια* [73]· διαιρεῖται γὰρ ὑπ' αὐτοῦ [τὰ ὄντα] [73] εἰς δύο τὰς πρώτας διαιρέσεις. Τὸ δὲ τούτων μέσον καλεῖ *μεθόριον* [74] *Πνεῦμα ἅγιον*, ἔχον τὴν ὀσμὴν τῆς υἱότητος. Ἀπὸ τῆς πανσπερμίας τοῦ σωροῦ τοῦ κοσμικοῦ σπέρματος διέσφυξε [75] καὶ ἐγεννήθη ὁ μέγας ἄρχων, ἡ κεφαλὴ κοῦ κόσμου, κάλλει καὶ μεγέθει ἀνεκλαλήτῳ. Οὗτος ὑψώσας [p. 321] ἑαυτὸν ἄχρι τοῦ στερεώματος ᾠήθη μὴ εἶναι ἑαυτοῦ ἐπάνω ἕτερον, καὶ ἐγένετο πάντων τῶν ὑποκειμένων φωτεινότερος καὶ δυνατώτερος πλὴν τῆς ὑπολελειμμένης υἱότητος, ἣν ἠγνόει οὖσαν αὐτοῦ σοφωτέραν. Οὗτος οὖν [76] τραπεὶς ἐπὶ τὴν τοῦ κόσμου

C δημιουργίαν πρῶτον γεννᾷ υἱὸν αὐτῷ αὐτοῦ κράτιστον, καὶ τοῦτον ἐκ δεξιῶν αὐτοῦ ἐκάθισε· καὶ τοῦτον τὴν οὖσαν φάσκουσι τὴν ὀγδοάδα. Αὐτὸς [77] δὲ τὸν οὐράνιον κτίσιν ἅπασαν ἐργάζεται. Ἕτερος δὲ ἄρχων ἀπὸ τῆς παν | σπερμίας ἀνέβη, μείζων μὲν πάντων τῶν ὑποκειμένων χωρὶς τῆς ἐγκαταλειμμένης υἱότητος, πολὺ δὲ ἐλάττων [78] τοῦ προτέρου, ὃν καλοῦσιν ἑβδομάδα. Αὐτός [79] ἐστι πάντων τῶν ὑπ' αὐτὸν ποιητὴς καὶ δημιουργὸς καὶ διακτήτης· καὶ οὗτος ἑαυτῷ ἐποίησεν υἱὸν φρονιμώτερον καὶ πρώτερον. Ταῦτα δὲ πάντα κατὰ προλογισμὸν εἶναι τοῦ τοῦ οὐκ ὄντος λέγουσιν, εἶναι δὲ κόσμους καὶ διαστήματα ἄπειρα. [Ἐπὶ] τὸν δὲ [80] Ἰησοῦν ἐκ Μαρίας κεχωρηκέναι τὴν Εὐαγγελίου δύναμιν, τὴν κατελθοῦσαν καὶ φωτίσασαν τόν τε τῆς ὀγδοάδος

D υἱὸν καὶ [τὸν] τῆς [81] ἑβδομάδος, ἐπὶ τῷ φωτίσαι καὶ φυλοκρινῆσαι καὶ καθαρίσαι τὴν καταλειμμένην υἱότητα εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς καὶ εὐεργετεῖσθαι. Καὶ αὐτοὺς εἶναι υἱοὺς [82] φασιν, οἱ τούτου [83] χάριν εἰσὶν ἐν κόσμῳ, ἵνα διδάξαντες τὰς ψυχὰς καθαρίσωσι καὶ ἅμα τῇ υἱότητι ἀνέλθωσι

VARIÆ LECTIONES.

[65] πάντα τῷ. πάντων C, πάντα M. Cf. supra p. 362, 51, 52. [66] γεννητή. γεννητὴ supra l. l. [67] ξών. [68] διηρημένης. διηρημένου C. [68] πρῶτον ἅμα. ἅμα πρῶτον C, M. Cf. supra, p. 362, 55. [69] ἄλλα C, M. Cf supra, p. 362, 60. [70] ἐνδυναμένη. ἐναυξομένη C, M. Cf. supra p. 362, 62. [71] εὐεργετεῖται. εὐεργετοῦσα C, M. Cf. supra l. l. [72] καὶ αὐτὴ. καὶ αὕτη C. [73] κόσμον κόσμος M. [74] καὶ κόσμια. ὑπερκόσμιον C, M. Cf supra p. 364, 10. [75] τὰ ὄντα om. C, M. Cf. supra [76] μεθόριον. καλλιμεθόριον C. [75] διέσφιξε C. [76] Οὗτος οὖν. Οὗτος ὁ C, M. [77] Αὐτός. Οὗτος. Cf. supra p. 362, 58, sed cf. supra p. 366, 38. [78] ἐλάττων. ἐλάττω C. [79] Αὐτὸς — οὗτος. Οὗτος — αὐτός? Cf. supra p. 362, 59-61. [80] Ἐπὶ τὸν δέ. Τὸν δὲ C, M. [81] τὸν τῆς. τῆς C, M. [82] υἱούς. αἰτίους C, M. [83] οἱ τούτου. οἱ τούτου C, M.

Digitized by Google

πρὸς τὸν ἄνω πατέρα, οὗ ἡ πρώτη ἐχώρησεν υἱότης· καὶ ἕως τούτου συνεστάναι φάσκουσι τὸν κόσμον, ἕως πᾶσαι αἱ ψυχαὶ ἅμα τῇ υἱότητι χωρήσωσι [84]. Ταῦτα δὲ καὶ Βασιλείδης τερατολογῶν οὐκ αἰσχύνεται.

ιε'. Ἰουστῖνος δὲ [85] καὶ αὐτὸς ὅμοια τούτοις [86] τολμῶν οὕτως λέγει· τρεῖς εἶναι ἀρχὰς τῶν ὅλων ἀγεννήτους, ἀῤῥενικὰς δύο, θηλυκὴν [87] μίαν. Τῶν δὲ ἀῤῥενικῶν ἡ μέν τις ἀρχὴ καλεῖται Ἀγαθὸς, αὐτὸ μόνον οὕτω λεγόμενος [88], προγνώστης τῶν ὅλων· ἡ δὲ ἑτέρα πατὴρ πάντων τῶν γεννητῶν, ἀπρόγνωστος καὶ ἄγνωστος καὶ ἀόρατος, Ἐλωεὶμ δὲ καλεῖται, φησίν. Ἡ [δὲ] θήλεια [89] ἀπρόγνωστος, ὀργίλη, δίγνωμος, διεώματος. καθὼς ἐν τοῖς περὶ αὐτοῦ λόγοις λεπτομερῶς διηγησάμεθα, τὰ μὲν ἄνω αὐτῆς μέχρι βουβῶνος εἶναι παρθένον, ἀπὸ δὲ βουβῶνος τὰ κάτω [90] ἐχιδναν [91]. [p. 322 | 324] Καλεῖται δὲ ἡ τοιαύτη Ἐδὲμ καὶ Ἰσραήλ. Ταύτας φάσκει ἀρχὰς εἶναι τῶν ὅλων, ἀφ' | ὧν τὰ πάντα ἐγένετο. Τὸν Ἐλωεὶμ δὲ ἀπρογνώστως ἐλθεῖν εἰς ἐπιθυμίαν τῆς μιξοπαρθένου, καὶ ἐπιμιγέντα γεννῆσαι ἀγγέλους δώδεκα. Τούτων τὰ ὀνόματα [92] ..... καὶ οἱ μὲν πατρικοὶ [τῷ πατρὶ] [93] συναίρονται [94], οἱ δὲ μητρικοὶ τῇ μητρί. Τούτους εἶναι τοῦ [95] ..... ἀλληγορικῶς εἰρηκότος Μωσέως τὰ ἐν τῷ νόμῳ γεγραμμένα. Πεποιῆσθαι δὲ τὰ πάντα ὑπὸ τοῦ Ἐλωεὶμ καὶ τῆς Ἐδὲμ, καὶ τὰ μὲν ζῶα ἅμα τοῖς λοιποῖς ἀπὸ τοῦ θηριώδους μέρους, τὸν δὲ ἄνθρωπον ἀπὸ τῶν ἄνωθεν τοῦ βουβῶνος. Καὶ ἡ [96] μὲν Ἐδὲμ κατατεθεῖσθαι ἐν αὐτῷ τὴν ψυχὴν, ἥτις αὐτῆς δύναμις ἦν [Ἐλωεὶμ δὲ τὸ πνεῦμα] [97]. Τοῦτον δὲ φάσκει μαθόντα ἀνεληλυθέναι πρὸς τὸν ἀγαθὸν καὶ καταλελοιπέναι [98] τὴν Ἐδέμ· ἐφ' ᾧ ὀργισθεῖσαν ταύτην πᾶσαν τὴν [99] ἐπιβουλὴν ποιεῖσθαι κατὰ τοῦ πνεύματος τοῦ Ἐλωεὶμ, ὅπερ κατέθετο ἐν τῷ ἀνθρώπῳ. Καὶ τούτου χάριν ἀπεσταλκέναι τὸν πατέρα τὸν Βαρούχ διατατόμενον τοῖς προφήταις, ἵνα ῥυσθῇ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ, καὶ πάντας ὑποσεσύρθαι ὑπὸ [1] τῆς Ἐδέμ. Ἀλλὰ καὶ τὸν Ἡρακλέα φάσκει προφήτην γεγονέναι, ἠττῆσθαι δὲ αὐτὸν ὑπὸ τῆς Ὀμφάλης [2], τουτέστιν ὑπὸ τῆς Βάβελ, ἣν Ἀφροδίτην ὀνομάζουσιν. Ὕστερον δὲ ἐν ταῖς ἡμέραις Ἡρώδου γεγονέναι τὸν [δὲ] [3] Ἰησοῦν υἱὸν Μαρίας καὶ Ἰωσὴφ, ᾧ τὸν Βαρούχ φάσκει λελαληκέναι· καὶ τούτῳ δὲ ἐπιβεβουλευκέναι τὴν Ἐδέμ, μὴ δεδυνῆσθαι δὲ αὐτὸν ἀπατῆσαι, καὶ τούτου χάριν πεποιηκέναι σταυρωθῆναι· οὗ τὸ πνεῦμα ἀνεληλυθέναι πρὸς τὸν Ἀγαθὸν λέγει.

nerint. Hæc igitur et Basilides mirabilia narrans non erubescit.

15. Justinus autem et ipse consimilia his conatus ait in hunc modum: tria esse principia universorum non generata, mascula duo, femininum unum. Masculorum autem unum principium vocatur Bonus, ipsum hoc solum vocatus, præscius universorum; alterum autem pater omnium generatorum, non præscius et ignarus et visu carens, Elohim autem vocatur, inquit. Femininum autem non præsciens, iracundum, bimens, bicorpor, sicuti in nostra de eo disputatione subtiliter exposuimus, superiora ejus inguinibus tenus esse virginem, inferiora **518-519** autem ab inguinibus inde viperam. Vocatur autem hæc talis Edem et Israel. Hæc dictitat principia esse universorum, unde omnia exstiterint. Elohim autem non præscientem venisse in cupiditatem semivirginis illius, et corporibus commistis generavisse duodecim angelos. Horum nomina . . . . . et paterni quidem patrem comitantur, materni autem matrem. Hos esse . . . . . cum allegorice dixerit Moses ea, quæ in lege scripta sunt. Facta autem esse omnia ab Elohim et Edem, et animalia quidem simul cum reliquis e bestiali parte, hominem autem ex partibus supra inguina. Et Edem quidem deposuit in eo animam, quæ ipsius potestas erat [Elohim autem spiritum]. Hunc autem dictitat, postquam didicerit, escendisse ad Bonum et desernisse Edem; propter quod iratam eam omnes insidias facere spiritui Elohim, quem hic deposuit in homine. Et hanc ob causam patrem legavisse Baruch, mandata dantem prophetis, ut liberaret spiritum Elohim, et omnes allectos esse ab Edem. Sed et Herculem dictitat prophetam exstitisse, superatum autem eum esse ab Omphale, hoc est a Babel, quam Venerem nominant. Postea autem diebus Herodis exstitisse Jesum, filium Mariæ et Josephi, ad quem Baruch illum dictitat esse locutum; et huic vero insidiatam esse Edem, non autem potuisse eum seducere, et propterea fecisse, ut in crucem suffigeretur; cujus spiritum escendi se ad Bonum dicit. Et omnium vero, qui ita studiis illis et debilibus sermonibus obtemperant, spiritum quidem salvatum iri, corpus autem et animam Edem

VARIÆ LECTIONES.

[84] χωρήσωσι. χρήσωσι C. [85] Cf. supra p. 218 sqq. [86] τούτοις. Ad Sethianos respicere videtur, quos Justinus exc pit libro v 23. [87] θήλυν. θῆλυν C, M Cf. supra p. 218, 64. [88] λεγόμενος. λεγόμενον C. M. Cf. supra p. 218. 65. [89] Ἡ δὲ θήλεια. Ἡ θήλεια C, M. Cf. supra p. 218. 67. [90] τὰ κάτω. καὶ κάτω C, M. Cf. supra p. 218. 69. [91] ἔχιδναν ἔχιδνα C. [92] Lacunam signavit jam M. Plura hic omissa esse videntur. Cf. supra, p. 218, 79 85. [93] τῷ πατρὶ om. C. Cf. supra p. 218. 84. [94] συναίρονται. συναιροῦνται C, M. Cf. supra l. l. [95] Post τοῦ lacuna e signavimus respic entes ad p. 220. 90, 91. Fort. inserendum : παραδείσου ξύλα. [96] Καὶ ἡ. Καὶ τῇ M. καὶ τὴν Roeperus, καὶ ἡ — κατατέθεισαι susp. Sanppius. Cf. supra p. 220. 4. [97] Ἐλωεὶμ δὲ τὸ πνεῦμα om. C, M. Verba hæc ex p. 220, 5 sumpta hic esse inserenda jam Roeperus monuit. [98] καταλελοιπέναι. κατατελυπηκέναι C, M Cf supra p. 222, 41 et 224, 61. [99] πᾶσαν τὴν. Fort. delendum τὴν M. [1] ὑπό. ἀπὸ C, M. [2] Ὀμφαλῆς C, ut libro V. M. [3] τὸν δέ. Delendum potius videtur δὲ quam scribendum τόνδε M.

Digitized by Google

illius derelinqui, quam et terram Justinus demens vocat.

16. Docetæ autem talia dicunt: Esse primum Deum tanquam semen arboris fici, ab hac autem profectos esse tres æones, tanquam stirpem et folia et fructum; hos autem projecisse **520-521** triginta æones, unumquemque decem; unitos autem esse eos secundum decades omnes, solum autem positionibus differre, ut alii aliis sint priores. Projectos autem esse infinities infinitos æones, et esse universos masculofemineos. Hos autem consilio capto simul congressos ex [cum] medio æone genuisse ex virgine Maria Salvatorem omnium, ab omni parte consimilem primo Deo, qui tanquam semen ficulneum sit, hac re autem inferiorem, quod genitus sit, semen enim, unde fici arbor, non-genitum. Erat igitur magna æonum lux tota, nullam insuper recipiens ornationem, habens in semetipsa omnium animalium species. Hanc, cum intraverit in subjacens chaos, causam præbuisse iis, quæ exstiterunt et sunt, et deveniens superne specierum æternarum expressit infra in chao formas. Tertius enim æon, qui se ipsum triplicaverat, cum videret notas suas universas detractas in tenebras, quæ infra sunt, cumque neque tenebrarum immanitatem ignoraret, neque lucis simplicitatem, fecit cœlum, et postquam intermedium firmavit, divisit tenebras a luce. Universis igitur speciebus tertii æonis . . . . . et ejus ipsius imaginem superari ait a tenebris, quæ ignis vivus a luce ortus exstitit, unde dictitant magnum archontem exstitisse, de quo Moses disputat, cum dicit esse hunc deum igneum et demiurgum, qui etiam ideas omnium transmutat continuo in corpora, hoc est animas, quapropter dictitant Salvatorem supergeneratum esse, qui monstret viam, qua effugient superatæ animæ, Jesu autem indutum fuisse potestatem illam unigenitam; ideo non potuisse spectari ab aliquo propter exsuperantem magnitudinem splendoris. Omnia autem accidisse ei dicunt, sicuti in Evangeliis scriptum est.

522-523 17. Qui autem Monoimum Arabem

A Καὶ [4] πάντων δὲ τῶν οὕτως τοῖς μωροῖς καὶ ἀδόκαν[illegible] λόγοις πειθομένων [τὸ μὲν πνεῦμα[[5] σωθή | [illegible] τὸ δὲ σῶμα καὶ τὴν ψυχὴν τῆς Ἐδὲμ καταλείπασθαι, ἣν καὶ γῆν Ἰουστῖνος ὁ ἄφρων καλεῖ.

ιϛ'. Οἱ δὲ [6] Δοκηταὶ [7] τοιαῦτα λέγουσιν· εἶναι [illegible] πρῶτον Θεὸν ὡς σπέρμα συκῆς, ἐκ δὲ τούτου ἐλ[illegible]θέναι τρεῖς αἰῶνας, ὡς τὸ πρέμνον καὶ τὰ φύλλα [illegible] τὸν καρπόν· τούτους δὲ προβεβληκέναι [p. [illegible] 325] λ' αἰῶνας, ἕκαστον ι'· ἡνῶσθαι [8] δὲ αὐτοὺς [illegible] δέκα πάντας, μόνον δὲ διαθέσεσι [9] διαφέρειν [illegible] τινῶν πρώτους [10]. Προβεβλῆσθαι δὲ ἀπειράκις [illegible]ρους αἰῶνας, καὶ εἶναι τοὺς πάντας ἀῤῥενοθη[illegible] Τούτους δὲ βουλευσαμένους ὁμοῦ συνελθόντας [illegible] μέσου αἰῶνος [11] γεννῆσαι ἐκ Παρθένου Μαρίας [illegible]τῆρα τῶν πάντων, κατὰ πάντα ὅμοιον τῷ [illegible]
B σώματι ἐν σπέρματι [12] συκίνῳ [13], ἐν τούτῳ δὲ ἥττ[illegible] τῷ [14] γεννητὸν εἶναι [15], τὸ γὰρ σπέρμα, ὅθεν ἡ [illegible] ἀγέννητον. Ἦν οὖν τὸ μέγα τῶν αἰώνων φῶς [illegible] οὐδεμίαν ἐπιδεχόμενον κόσμησιν, ἔχον ἐν ἑαυτ[illegible] πάντων τῶν ζώων ἰδέας· τοῦτο ἐπιφοιτῆσαν εἰς [illegible] ὑποκείμενον χάος παρεσχηκέναι αἰτίαν τοῖς γεγονο[illegible] καὶ οὖσι, καταβάν τε ἄνωθεν ἰδεῶν [16] αἰωνίων [illegible]εμάξατο [17] κάτω [εἰς[τὸ χάος [18] τὰς μορφάς. Ὁ γὰρ τρίτος αἰὼν, ὁ ἑαυτὸν τριπλασιάσας, ὁρῶν τοὺς [illegible]ρακτῆρας αὐτοῦ πάντας κατασπωμένους εἰς τὸ κάτω σκότος, οὐκ ἀγνοῶν τήν τε τοῦ σκότους δεινότητα καὶ τὴν τοῦ φωτὸς ἀφελότητα, ἐποίησεν οὐρανὸν [illegible] μέσον πήξας διεχώρισεν ἀναμέσον τοῦ σκότους [illegible] ἀναμέσον τοῦ φωτός. Πασῶν οὖν τῶν ἰδεῶν [19] [illegible] τρίτου αἰῶνος [20] ..... καὶ αὐτοῦ τὸ ἐκτύπωμα κρα-
C τεῖσθαί φησιν ὑπὸ τοῦ σκότους [21], πῦρ [22] ὢν [illegible] ζῶν ὑπὸ τοῦ φωτὸς γενόμενον ὑπῆρξεν, ἐξ ἧς [23] φάσκουσι τὸν μέγαν ἄρχοντα γεγονέναι, περὶ οὗ Μωϋσῆς ὁμιλεῖ, λέγων εἶναι τοῦτον θεὸν πύρινον [illegible] δημιουργὸν, ὃς καὶ τὰς ἰδέας πάντων μεταβάλλει ἀεὶ εἰς σῶμα. Ταύτας τὰς [24] ψυχὰς [25], οὗ χάριν φάσκουσι [26] τὸν Σωτῆρα παραγεννηθῆναι [27], ἐπιδεικνύντα τὴν ὁδὸν, δι' ἧς φεύξονται αἱ κρατούμεναι ψυχαὶ, ἐνδεδύσθαι δὲ τὸν Ἰησοῦν τὴν δύναμιν [illegible] τὴν μονογενῆ· διὸ μὴ δύνασθαι θεαθῆναι [illegible] διὰ τὸ μεθαλλόμενον [28] μέγεθος τῆς δόξης. Πάντα δὲ συμβεβηκέναι αὐτῷ φασι καθὰ ἐν τοῖς Εὐαγγελίοις γέγραπται

[p. 325. 326] ιζ'. Οἱ δὲ [29] κατὰ Μονόϊμον [30] [illegible]

VARIÆ LECTIONES.

